This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

**Usage guidelines**

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

**About Google Book Search**

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/

KD
56389
NEDL TRANSFER
HN 274T $
Digitized by Google

2/80

~~Gs 31.126~~ KO 56389

SIGILL: COLL: HARVARD: CANTAB: NOV: ANGL: 1650.

CHRISTO ET ECCLESIAE

ROBERT TROUP PAINE
TO
HARVARD COLLEGE.
A LEGACY
IN HIS NAME BEING APPLIED
IN PART TO AN ANNUAL INCREASE
OF THE LIBRARY

*Received 9 April, 1879.*

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Robert Troup Paine to Harvard College

Sophocles.

# SOPHOCLIS

## TRAGOEDIÆ,

OEDIPUS TYRANNUS,
PHILOCTETES,
ET
OEDIPUS COLONEUS.

NOVA VERSIONE DONATÆ
SCHOLIISQUE VETERIBUS
ILLUSTRATÆ.

Accedunt notæ perpetuæ, & variæ lectiones.

---

Operâ *THOMÆ JOHNSON*, A. M.

---

---

*LONDINI*,
Apud G. INNYS, R. MANBY & H. S. COX, Bibliopolas.
*ETONÆ*,
Apud Jos. POTE Bibliopolam.
MDCCXLVI.

Digitized by Google

KD 56389 ~~G.s. 31.126~~

1879, April 9.
Paine bequest.

HARVARD
UNIVERSITY
LIBRARY

Digitized by Google

# ὙΠΟΘΕΣΙΣ ΟἸΔΙΠΟΔΟΣ

## τυράννου ἔμμετρος Ἀριστοφάνους γραμματικοῦ.

Λιπὼν Κόρινθον Οἰδίπους πατρὸς νόθος
Πρὸς τῶν ἁπάντων λοιδορούμενος ξένος,
Ἦλθεν πυθέσθαι Πυθικῶν θεσπισμάτων,
Ζητῶν ἑαυτὸν, καὶ γένους φυτοσπόρον.
Εὑρὼν δὲ τλήμων ἐν στεναῖς ἁμαξιτοῖς
Ἄκων ἔπεφνε Λάϊον γεννήτορα.
Σφιγγὸς δὲ δεινῆς θανάσιμον λύσας μέλος,
Ἤσχυνε μητρὸς ἀγνοουμένης λέχος.
Λοιμὸς δὲ Θήβας εἷλε, καὶ νόσος μακρά.
Κρέων δὲ πεμφθεὶς Δελφικὴν πρὸς ἑστίαν,
Ὅπως πύθηται τοῦ κακοῦ παυστήριον,
Ἤκουσε φωνῆς μαντικῆς θεοῦ πάρα,
Τὸν Λαΐειον ἐκδικηθῆναι φόνον.
Ὅθεν μαθὼν ἑαυτὸν Οἰδίπους τάλας,
Διοσαῖσαι χερσὶν ἐξετύφλωσεν κόρας·
Αὐτὴ δὲ μήτηρ ἀγχόναις διώλετο.

# ΔΙΑ ΤΙ ΟΙΔΙΠΟΥΣ ΤΥΡΑΝΝΟΣ

## ἐπιγέγραπται.

Ὁ Τύραννος Οἰδίπους ἐπὶ διακρίσει θατέρου ἐπιγέγραπται· χαριέντως δὲ τύραννον ἅπαντες αὐτὸν ἀπέγραφον, ὡς ἐξέχοντα πάσης τῆς Σοφοκλέους ποιήσεως· καίπερ ἡττηθέντα ὑπὸ Φιλοκλέους, ὥς φησι Δικαίαρχος.



Digitized by Google

Εἰσὶ δὲ καὶ οἱ πρότερον αὐτὸν οὐ τύραννον ἐπιγράφοντες, διὰ τοὺς χρόνους τῶν διδασκαλιῶν, καὶ διὰ τὰ πράγματα· ἀλήτην γὰρ καὶ πηρὸν Οἰδίποδα τὸν ἐπὶ Κολωνῷ εἰς τὰς Ἀθήνας ἀφικνεῖσθαι. ἴδιον δέ τι πεπόνθασιν οἱ μεθ' Ὅμηρον ποιηταὶ, τοὺς πρὸ τῶν Τρωϊκῶν βασιλεῖς τυράννους προσαγορεύοντες, ὀψέ ποτε τοῦδε τοῦ ὀνόματος εἰς τοὺς Ἕλληνας διαδοθέντος, κατὰ τοὺς Ἀρχιλόχου χρόνους, καθάπερ Ἱππίας ὁ σοφιστής φησιν. Ὅμηρος γοῦν τὸν πάντων παρανομώτατον Ἔχετον, βασιλέα φησὶ, καὶ οὐ τύραννον, Εἰς Ἔχετον βασιλῆα βροτῶν δηλήμονα. προσαγορευθῆναι δέ φασι τὸν τύραννον ἀπὸ τῶν Τυρρηνῶν· χαλεποὺς γάρ τινας περὶ λῃστείαν τούτους γενέσθαι. Οἱ δὲ λέγουσιν αὐτὸν γεννηθῆναι ἀπὸ Τύρου πόλεως. Εἴρηται δὲ τύραννος κατὰ τὸ ἔτυμον, οἱονεὶ Τύρων τοὺς λαοὺς, καὶ ἀνίας ἐπιφέρων, καὶ τυρεύων δόλους κατὰ τῶν ὑπ' αὐτόν. Ὅτι δὲ νεώτερον τὸ τοῦ τυράννου ὄνομα, δῆλον. Οὔτε γὰρ Ὅμηρος, οὔτε Ἡσίοδος, οὔτε ἄλλος οὐδεὶς τῶν παλαιῶν, τύραννον ἐν τοῖς ποιήμασιν ὀνομάζει. ὁ δὲ Ἀριστοτέλης ἐν Κυμαίων πολιτείᾳ, τοὺς τυράννους φησὶ τοπρότερον αἰσυμνήτας προσαγορεύεσθαι. εὐφημότερον γ' ἐκεῖνο τοὔνομα.

# ΑΛΛΩΣ.

Ὁ Τύραννος Οἰδίπους πρὸς ἀντιδιαστολὴν τοῦ ἐν τῷ Κολωνῷ ἐπιγέγραπται. Τὸ κεφάλαιον δὲ τοῦ δράματος, γνῶσις τῶν ἰδίων κακῶν Οἰδίποδος, πήρωσίς τε τῶν ὀφθαλμῶν, καὶ δι' ἀγχόνης, θάνατος Ἰοκάστης.

# ΧΡΗΣΜΟΣ δοθεὶς Λαΐῳ τῷ Θηβαίῳ.

ΛΑΐε Λαβδακίδη, παίδων γένος ὄλβιον αἰτεῖς.
Δώσω τοι φίλον υἱὸν ἀτὰρ πεπρωμένον ἐστὶ
Σοῦ παιδὸς χείρεσσι λιπεῖν φάος. ὡς γὰρ ἔνευσε
Ζεὺς Κρονίδης, Πέλοπος στυγεραῖς ἀραῖσι πιθήσας,
Οὗ φίλον ἥρπασας υἱόν· ὁ δ' ηὔξατό σοι τάδε πάντα.

# Τὸ ΑΙΝΙΓΜΑ τῆς Σφιγγός.

ΕΣΤΙ δίπουν ἐπὶ γῆς καὶ τετράπον· οὗ μία φωνὴ,
Καὶ τρίπον· ἀλλάσσει δὲ βοὴν μόνον, ὅσσ' ἐπὶ γαῖαν
Ἑρπετὰ κινεῖται, ἀνά τ' αἰθέρα καὶ κατὰ πόντον.
Ἀλλ' ὁπόταν πλείστοισιν ἐπειγόμενον ποσὶ βαίνῃ,
Ἔνθα τάχος γυίοισιν ἀφαυρότατον πέλει αὐτοῦ.



Digitized by Google

# ΣΟΦΟΚΛΕΟΥΣ

## ΟΙΔΙΠΟΥΣ ΤΥΡΑΝΝΟΣ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ πρόσωπα.

ΟΙΔΙΠΟΥΣ,
ΙΕΡΕΥΣ,
ΚΡΕΩΝ,
ΧΟΡΟΣ ἐκ Θηβαίων γερόντων,
ΤΕΙΡΕΣΙΑΣ,
ΙΟΚΑΣΤΗ,
ΑΓΓΕΛΟΣ,
ΘΕΡΑΠΩΝ πολύβου,
ΕΞΑΓΓΕΛΟΣ,

Προλογίζει δὲ ὁ Οἰδίπους.

Digitized by Google

# SOPHOCLIS TRAGOEDIA
# OEDIPI TYRANNI.

PERSONAE Fabulae.

OEDIPUS.
SACERDOS.
CREON.
CHORUS Thebanorum Senum.
TIRESIAS.
JOCASTE.
NUNCIUS.
EDUCATOR Polybi.
FAMULUS.

Proloquitur Oedipus.

ΣΟΦΟ-

Digitized by Google

# ΣΟΦΟΚΛΕΟΥΣ

## ΟΙΔΙΠΟΥΣ ΤΥΡΑΝΝΟΣ.

Οἰ. Ὦ Τέκνα, Κάδμου τοῦ πάλαι νέα τροφή,
Τίνας ποθ' ἕδρας τάσδε μοι θοάζετε
Ἱκτηρίοις κλάδοισιν ἐξεστεμμένοι;
Πόλις δ' ὁμοῦ μὲν θυμιαμάτων γέμει,
Ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων.

1. Ὦ τέκνα, Κάδμου τοῦ πάλαι νέα τροφή] Φιλόδημον καὶ προνοητικὸν τοῦ κοινῆ συμφέροντος τὸ τοῦ Οἰδίποδος ἦθος, καὶ εὔνοιαν ἔχον ἀπὸ τοῦ πλήθους, δι' ὧν αὐτοὺς εὐεργέτησεν. εἰκότως οὖν κέχρηται τῷ τέκνα, ὡσπερεὶ πατήρ. νέοι ὄντες νῦν, ἀπὸ τοῦ ἀρχαίου Κάδμου. οἰκτρὸν δὲ τὸ νέα. Ὦ τέκνα] ἐμά. Κάδμου] Κάδμου τοῦ πρὸ μακροῦ γεγονότος ἀπόγονοι, νῦν βλαστήσαντες. Ib. Τροφή] ἀνατροφή, ἣν ἀνατρέφει τὶς τινά, ἢ ἣν ἀνατρέφεταί τις ὑπό τινος. ἐνταῦθα δὲ νέαν ἀνατροφὴν λέγει τοὺς ἀνατραφέντας νῦν. τὸ δὲ προοίμιον τοῦτο ἐστι προσφωνητικόν. 2. Τίνας πόθ' ἕδρας] περισσὸν τὸ ποτέ. τίνες εἰσὶν αἱ καθέδραι αὗται ἃς καθῆσθε χάριν ἐμοῦ; κάθημαι τήνδε τὴν καθέδραν, καὶ βαδίζω ταύτην τὴν ὁδὸν, καὶ ὑβρίζω· τοιαῦτά τινα τὸν αὐτὸν ἔχουσι σχηματισμὸν τῷ, λέγω λόγον, καὶ γράφω γραφὴν, καὶ τοῖς τοιούτοις. Ἐμοὶ δὲ εἰκότως εἴρηκεν] δι' αὐτὸν γὰρ ἐκάθηντο. Ib. Θοάζετε] κατὰ διάλυσιν, ἀντὶ τοῦ θάσσετε· ἢ θοῶς προκάθησθε. 3. Ἱκτηρίοις κλάδοισιν] ἀντὶ τοῦ ταῖς ἱκτηρίοις· τὸ δὲ ἐξεστεμμένοι ἀντὶ τοῦ κεκοσμημένοι· εἰώθασι γὰρ τῷ στέφειν χρῆσθαι ἀντὶ τοῦ κοσμεῖν· στέμμα δέ ἐστι τὸ προσειλημένον ἔριον τῷ θαλλῷ. 4. Πόλις δ' ὁμοῦ μὲν θυμιαμάτων] οἱ μὲν μηδὲν πεπονθότες ἐπὶ ἀποτροπῇ τοῦ κακοῦ θύουσι, καὶ παιᾶνας ᾄδουσιν· οἱ δὲ ἐπταικότες, ἐπὶ τοῖς οἰκείοις κακοῖς ἀποιμώζουσιν· τὸ δὲ ὁμοῦ, ἐπὶ συνάψει δύο κώλων λεγόμενον, ἐπὶ τοῦ προτέρου κώλου λεγόμενον, ἐπὶ τοῦ προτέρου κώλου δύναται λέγεσθαι καὶ τοῦ δευτέρου, ὥσπερ τὸ ἅμα, καὶ ὁ καὶ σύνδεσμος. καθ' ὃ λέγεται ἐνταῦθα, ὁμοῦ μὲν θυμιαμάτων γέμει, ὁμοῦ δὲ παιάνων.

ΣΧΟΛ.

# SOPHOCLIS TRAGOEDIA
# OEDIPI TYRANNI.

*Oe.* O Filii, Cadmi veteris nova progenies,
Quasnam sessiones hasce mihi sedetis
Supplicibus ramis coronati?
Urbs autem simul quidem suffitibus plena est,
Simulque cantibus *sacris* et suspiriis.

ΣΧΟΛ. ΤΡΙΚΛ. 3. Ἐξεστεμμένοι] ὅτι οὐ μόνον ἐστεφανωμένοι ἦσαν, ἀλλὰ ϗ ἐν χερσὶν ἔφερον, δῆλόν ἐστι ϗ ἐξ ὧν ἔμπροσθεν λέγει, Τοὺς δ' ἄραντες ἱκτῆρας κλάδους. ἔθος γὰρ ἦν τοῖς παλαιοῖς ἐστεφανωμένους πρὸς ἱκετείαν χωρεῖν, ἵν' αἰδέσιμοι δοκοῖεν τοῖς οὓς ἱκέτευον.

¶ Σχήμ. Τρικλ. 1. Ω τέκνα] προσφωνητικὸν τὸ προοίμιον κατ' ἐρώτησιν. ἐνταῦθα δὲ ϗ πρότασις. 4. Πόλις δ' ὁμ.] κατασκευή.

SCHOL. INED. 1. Κάδμου] Κάδμου τοῦ πρὸ μακροῦ γεγονότος ἀπόγονοι, νῦν βλαστήσαντες. Ib. Τροφὴ] Ἀνατροφὴ, ἣν ἀνατρέφει τὶς τίνα, ἢ ἣν ἀνατρέφεταί τις ὑπό τινος. Ἐνταῦθα δὲ νέαν ἀνατροφὴν λέγει τοὺς ἀνατραφέντας νῦν. 2. Τίνας πόθ' ἕδρας] Τίνες εἰσὶν αἱ καθέδραι αὗται ἃς κάθησθε χάριν ἐμοῦ; Ib. Θοάζετε] Κάθημαι τήνδε τὴν καθέδραν, ϗ βαδίζω ταύτην τὴν ὁδὸν, ϗ ὑβρίζω τοιαῦτα τινὰ, τὸν αὐτὸν ἔχουσι σχηματισμὸν τῷ, λέγω λόγον, ϗ γράφω γραφὴν, ϗ ταῖς τοιούτοις. 3. Ἱκτηρίοις κλάδοισιν ἐξεστεμμένοι] Ἀντὶ τοῦ ἱκετηρίους κλάδους στέμματι ἐστεμμένους κατέχοντες; κρατοῦντες κλάδους ἱκετηρίους στέμματι ἐστεμμένους. 5. Ὁμοῦ] Τὸ ὁμοῦ ἐπὶ συνάψει δύο κώλων λεγόμενον, ϗ ἐπὶ τοῦ προτέρου κώλου δύναται λέγεσθαι ϗ τοῦ δευτέρου, ὥσπερ ϗ τὸ ἅμα, ϗ ὁ ϗ σύνδεσμος. Καθ' ὃ λέγεται ἐνταῦθα, ὁμοῦ μὲν θυμιαμάτων γέμει, ὁμοῦ δὲ παιάνων τε ϗ στεναγμάτων. Ib. Παιάνων] Τῶν εἰς τὸν Ἀπόλλωνα ὕμνων· οὗτος γὰρ αἴτιος τοῦ λοιμοῦ· [ἢ] γοῦν τοὺς παιᾶνας ϗ τὰ τοιαῦτα.

8. Ὁ

Ἁ'γὼ δικαιῶν μὴ παρ' ἀγγέλων, τέκνα,
Ἄλλων ἀκούειν, αὐτὸς ὧδ' ἐλήλυθα,
Ὁ πᾶσι κλεινὸς Οἰδίπους καλούμενος.
Ἀλλ', ὦ γεραιὲ, φράζ' (ἐπεὶ πρέπων ἔφυς
Πρὸ τῶνδε φωνεῖν) τίνι τρόπῳ καθέστατε.
Δείσαντες, ἢ στέρξαντες· ὡς θέλοντος ἂν
Ἐμοῦ προσαρκεῖν πᾶν. δυσάλγητος γὰρ ἂν
Εἴην, τοιάνδε μὴ οὐ κατοικτείρων ἕδραν.—
Ἱε. Ἀλλ', ὦ κρατύνων Οἰδίπους χώρας ἐμῆς,
Ὁρᾷς μὲν ἡμᾶς ἡλίκοι προσήμεθα

6. Ἁ'γὼ δικαιῶν] οὐ δι' ἀγγέλων μαθεῖν τὴν αἰτίαν ἠξίωσα, ἀλλ' αὐτὸς παραγενόμενος, προκηδόμενος ὑμῶν. 8. Ὁ πᾶσι κλεινὸς] ἢ πᾶσι ἐπιτηδεύμασιν, ἢ ὑπ' ἀνθρώπων. πιθανῶς δὲ τὸ ὄνομα τοῦ προλογίζοντος ἐδήλωσεν. ἅμα τε καὶ εἰς ἐπιθυμίαν φέρει τὸν θεατὴν τῶν περὶ τοῦ Οἰδίποδος. οὐκ εὐθὺς δὲ τὰς αἰτίας τῆς δόξης ἐπάγει, ἀλλὰ ταμιεύεται κατὰ βραχὺ ἐν καιρῷ ἐνθήσειν. καλῶς δὲ, οὐ δι' ἀγγέλων ἀπήγγελται. ἵνα διαλεγομένου αὐτοῦ ἐκ Δελφῶν εἰσαγάγῃ τὸν Κρέοντα. 9. Ἀλλ' ὦ γεραιὲ] εὐτάκτως ἑκάστῳ τὸ δέον ἀπένειμε· διὰ μὲν τῶν παίδων, τὸν οἶκτον τῆς ἱκετείας· διὰ δὲ τοῦ πρεσβύτου, ἡ πρὸς βασιλέα ἀπόκρισις· εἰς γὰρ τοῦτο ἀπρεπὲς τὸ τῶν νέων πρόσωπον· δεδήλωται οὖν ἡμῖν τὸ χρήσιμον τῆς παρουσίας τοῦ γέροντος. 10. Τίνι τρόπῳ] ἀντὶ τοῦ, ἐπὶ ποίᾳ προφάσει ἐκετεύετε. εἶτα ἐπιφέρει τὰς αἰτίας· ἢ γὰρ διὰ δέος κολάσεως, ἢ παθόντες, ἐκδικίας τυχεῖν ἀξιοῦτε· ὅπερ ἐδήλωσε διὰ τοῦ στέρξαντες, οἷον ἤδη πεπονθότες. 12. Δυσάλγητος] σκληρός. δυσμετάκλαστος. ἀναλγής. ἀπαθής. ἀνελεής. ἴσως τὸ ἀνάλγητος καὶ σκληρός. 13. Τοιάνδε —— ἕδραν] ἀνθρώπους οὕτω καθημένους ἐλεεινῶς. 14. Ἀλλ' ὦ κρατύνων] ἐν τῷ πρώτῳ λόγῳ ἐγνώκαμεν τὸ ὄνομα τοῦ Οἰδίποδος, καὶ ὅτι παιᾶνες εἰσὶν ἐν τῇ πόλει· νῦν δὲ, διὰ τῆς ἐντέχνου ἐπεξεργασίας, ὅτι καὶ βασιλεὺς, καὶ τὴν αἰτίαν τῶν παιάνων, πρωταγωγὸν δὲ εἰς πειθὼ τὸ προοίμιον. 15. Ἡλίκοι προσήμεθα] τοῦτο καὶ τὴν ἡλικίαν σημαίνει, καὶ δυσωπητικόν πως τυγχάνει· ὡς γὰρ ἐπὶ θεοῦ βωμοὺς πάρεισιν ἐπὶ τοὺς πρὸ τῶν βασιλείων ἱδρυμένους· τὸ ἡλίκος δὲ, πρὸς τὸ τηλικοῦ δὲ ἔχει τὴν ἀναφοράν· λέγεται δὲ καὶ ἀμφότερα ἐπὶ ἡλικίας κυρίως· οἷον τηλικόσδε ἐστὶν, ἀντὶ τοῦ τοσοῦτος τὴν ἡλικίαν. καὶ ἀπὸ τούτου ἐπὶ μεγέθους ἁπλῶς. ἔστι δὲ αὕτη προκατάστασις καὶ διήγησις τῶν συμβάντων αὐτοῖς ἐκ τοῦ λοιμοῦ.

ΣΧΟΛ. ΤΡΙΚΛ. 11. Δείσαντες, ἢ στέρξαντες] φοβηθέντες τι, καὶ διὰ

Quae ego judicans non ex aliorum, filii,
Nunciis debere cognoſci, ipſe huc veni
Ille omnibus celebratus Oedipus.
At *tu*, o Senex, fare (quoniam decet
Te priorem hiſce eloqui) quo in ſtatu eſtis,
Veritine an paſſi *malum:* cupio enim (prorſu
*Vobis* opem ferre in omnibus; nam durus eſſem
Si non tam lugubrem miſerarer ſeſſionem.
*Sac.* At o Rector Oedipus patriae meae,
Vides quidem nos, quales aſſidemus

διὰ τῦτο πρὸς βοήθειαν ἐκκαλύμενοί με· ἢ ςέρξαντες, ϗ παθόντες ϗ ὑπομείναντές τι κακὸν, ϗ διὰ τῦτο ζητῦντες ἐκδίκησιν παρ' ἐμοῦ. Προσαρκεῖν] τὸ πρὸς, πρὸς τὸ πᾶν ἔχει τὴν δύναμιν. 15. Ἡλίκοι προσήμεθα] ὁποῖοι τήν τε ἡλικίαν ϗ τῷ ἐκ τῦ λοιμῦ πάθει, προσκαθήμεθα τοῖς ἐπὶ τῶν βασιλείων βωμοῖς. ἢ τὸ βωμοῖσι τοῖς σοῖς, ἀντὶ τῦ ἐν τῇ πρός σε ἱκετείᾳ. εἴρηται δ' ἐκ μεταφορᾶς τῶν ἐν τοῖς θεοῖς βωμῶν, εἰς ὃς, ὅτε συμφορὰ καταλάβοι, προσεδρεύοντες ἄνθρωποι, θυσίαις τὸ θεῖον ἐξιλεῦνται.

Σχήμ. Τρικλ. 6. Ἀ 'γὼ] βάσις. 14. Ἀλλ' ὦ κρατύνων] προκατάςασις ϗ διήγησις τῶν συμβάντων αὐτοῖς ἐκ τῦ λοιμῦ.

SCHOL. INED. 6. [ὁ] πατὴρ ἐπὶ τὺς παῖδας, τῦτο βασιλεὺς ἐπὶ τὺς ὑπ' αὐτῦ [ὄν]. 9. Διὰ τὴν τῦ αἰνίγματος τῆς σφιγγὸς λύσιν. 13. Ἐκ παραλλήλυ τὸ μὴ ϗ τὸ ὐ. Ib. ἀντὶ ἀνθρώπυς ἄνυς ὕτω καθημένυς ἐλεεινῶς δηλονότι. 14. Κρατῶ—τὸ ἄρχω. Κρατύνω δὲ τὸ ἰσχυροποιῶ. ἐνταῦθα δὲ τὸ κρατύνω ἀντὶ τῦ ἄρχω. 15. Ἡλίκος τηλικόσδε.] Τὸ ἡλίκος, πρὸς τὸ τηλικόσδε ἔχει τὴν ἀναφοράν. λέγεται δὲ ϗ ἀμφότερα ἐπὶ ἡλικίας κυρίως. οἷον τηλικόσδε ἐςὶν, ἀντὶ τῦ τοσῦτος τὴν ἡλικίαν· ϗ ἡλίκος ἀντὶ τῦ ὁπόσος τὴν ἡλικίαν. ϗ ἀπὸ τύτυ, ϗ ἐπὶ μεγέθυς ἁπλῶς. ϗ θεὸν ἐνταῦθα φαίνει τὸν βασιλέα·

16. Ἀντὶ τῦ ναοῖς· εἶχον γὰρ φασὶ ναὺς ἱδρυμένυς πρὸ τῶν βασιλείων. Βωμός· τὸ οἰκοδόμημα ἐν ᾧ ἔθυον, ἀπὸ τύτυ βωμὸς, ϗ ὁ περιέχων τῦτον ναός. βωμός· ϗ ἐν ᾧ τὰ ἅρματα ἐτίθετο· ὡς παρ' Ὁμήρῳ. Ἅρματα δ' ἀμβωμοῖσι τίθει· ναὸς ϗ ἱερὸν, πᾶν τὸ οἰκοδόμημα ὑφ' ᾧ περιέχεται ὁ βωμός· πρόναον· τὸ ἔμπροσθεν τῦ ναῦ· τέμενος, ἐν ᾧ καθιδρύετο τὸ ἄγαλμα λέγεται τέμενος ἁπλῶς, ϗ ὁ ἀποτετμημένος ϗ ἀνατεθειμένος τόπος τινί.

Βωμοῖσι τοῖς σοῖς· οἱ μὲν, οὐδέ πω μακρὰν
Πτέσθαι σθένοντες· οἱ δὲ, σὺν γήρᾳ βαρεῖς
Ἱερεῖς, ἐγὼ μὲν Ζηνός· οἱ δέ τ' ἠϊθέων
Λεκτοί. τὸ δ' ἄλλο φῦλον ἐξεστεμμένον
Ἀγοραῖσιν θακεῖ, πρός τε Παλλάδος διπλοῖς
Ναοῖς, ἐπ' Ἰσμηνοῦ τε μαντείᾳ σποδῷ.
Πόλις γὰρ, ὥσπερ κ' αὐτὸς εἰσορᾷς, ἄγαν
Ἤδη σαλεύει, κἀνακουφίσαι κάρα

16. Βωμοῖσι] ναοῖσι. βωμὸς, τὸ οἰκοδόμημα ἐν ᾧ ἔθυον, ἀπὸ τούτου βωμὸς, καὶ ὁ περιέχων τοῦτον ναός. βωμὸς καὶ ἐν ᾧ τὰ ἅρματα ἐτίθετο, ὡς παρ' Ὁμήρῳ, Ἅρματα δ' ἀμβωμοῖσι τίθει. ναὸς καὶ ἱερὸν πᾶν τὸ οἰκοδόμημα, ὑφ' οὗ περιέχεται ὁ βωμός. πρόναον ἔμπροσθεν τοῦ ναοῦ. τέμενος, ἐν ᾧ καθιδρύετο τὸ ἄγαλμα. λέγεται τέμενος ἁπλῶς, καὶ ὁ ἀποκεκομμένος καὶ ἀνατιθειμένος τόπος τινί. 17. Πτέσθαι] ἀντὶ τοῦ βαδίσαι. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν νεοττῶν. Ib. Σὺν γήρᾳ βαρεῖς] ἐφ' ἑαυτοῦ τῷ πληθυντικῷ ἐχρήσατο, καὶ τὸ ἱερεῖς ὁμοίως. βαρὺς δὲ ἐνίοτε μὲν λέγεται ἐπὶ ψυχῆς, ὡς ἐν τῷ, Τοιαῦτ' ἀνὴρ δύσοργος, ἐν γήρᾳ βαρύς· ἐνίοτε δὲ ἐπὶ τοῦ σώματος, ὡς ἐνταῦθα. 19. Λεκτοὶ] τὸ λεκτοὶ, τάχα μὲν εἰς σύστασιν τῶν παίδων, τάχα δὲ καὶ δημοσίαν ἐκφαίνει τὴν ἐκπομπὴν, ὡς ἐπιλεχθεῖσαι καὶ πεμφθεῖσαι παρὰ τοῦ κοινοῦ. 20. Πρός τε Παλλάδος διπλοῖς ναοῖς] δύο ἱερὰ ἐν ταῖς Θήβαις ἵδρυται τῇ Ἀθηνᾷ, τὸ μὲν, ὀγκαίας, τὸ δὲ, ἰσμηνίας. οἱ δὲ οὕτως, τὸ μὲν, ἀλαλκομενίας, τὸ δὲ, καδμείας. τινὲς δὲ τὸ τῆς ἀλαλκομενείας οὐκ ἐν Θήβαις, ἀλλ' ἐν κώμῃ εἶναί φασιν. 21. Ἐπ' Ἰσμηνοῦ τε μαντείᾳ] καὶ γάρ ἐστι παρὰ τῷ Ἰσμηνῷ Ἀπόλλωνος ἱερόν. διό φησι, μαντείᾳ σποδῷ. τοῦτο δὲ ἀντὶ τοῦ βωμῷ, ὅτι διὰ τῶν ἐμπύρων ἐμαντεύοντο οἱ ἱερεῖς, ὡς φησι Φιλόχορος. Ib. Μαντείᾳ σποδῷ] μαντικῇ. χρησμὸς μὲν, ὁ τῶν θεῶν· μαντεία δὲ καὶ μάντευμα, τὸ ἀπὸ μάντεων ἀνθρώπων. ἐνταῦθα δὲ τὸ ἁπλοῦν ἀντὶ τοῦ κτητικοῦ. 23. Ἤδη σαλεύει] ἡ μεταφορὰ ἀπὸ τῶν χειμαζομένων νεῶν.

ΣΧΟΛ. ΤΡΙΚΛ. 18. Ἐγὼ μὲν] ἀπατώμενοί τινες, ἐκ τοῦ, Ἐγὼ μὲν Ζηνὸς, φασὶ τὸ Οἱ δέ τ' ἠϊθέων, ἀντὶ τοῦ οὗτοι τῶν Διοσκούρων ἱερεῖς. τὸ δὲ οὐ τοιοῦτον· ἀλλ' εἰπὼν ἄνω τὸ, ἥλικοι προσήμεθα, καὶ διελὼν τοῦτο εἰς τὸ Οἱ μὲν οὔπω πτέσθαι σθένοντες, καὶ εἰς τὸ Οἱ δὲ σὺν γήρᾳ βαρεῖς ἱερεῖς, ἑρμηνεύει πάλιν αὐτὰ, τὸ μὲν, οἱ δὲ σὺν γήρᾳ βαρεῖς ἱερεῖς, ἀντὶ

Aris tuis: Hi quidem nullatenus procul
Volare valentes: Illi verò senio graves
Sacerdotes, *interque eos* ego Jovis: Haec quoque juvenum
Lectorum *turba*. Reliquum autem vulgus coronatum
*In* foro sedet, juxtaque Palladis bina
Delubra, et ad Ismeni fatidicum cinerem.
Civitas enim, quemadmodum et ipse vides, nimis
Nunc fluctuat, et levare caput

ἀντὶ τοῦ ἐγὼ μὲν ὑπάρχων γέρων ἱερεὺς τοῦ Διός· τὸ δ', οἱ δὲ οὔπω πτέσθαι σθένοντες, ἀντὶ τοῦ οἱ δὲ τῶν ἠϊθέων καὶ τῶν νέων ὄντες. ἀντὶ τοῦ, νέοι λεκτοὶ καὶ ἔκκριτοι. ἰστέον δ' ὅτι οἱ τῶν τῆς πόλεως ἐκκρίτων νήπιοι παῖδες ἦσαν μετὰ μόνου τοῦ ἱερέως. διὰ τοῦτο γὰρ καὶ ἄνω λέγει τὸ, Οἱ μὲν οὔπω πτέσθαι σθένοντες, καὶ ἐν ἀρχῇ τὸ, νέα τροφή. διὰ τοῦτο δὲ τούτους ἔλαβε, διὰ τὸ εἰσακουσθῆναι αὐτὸν ὑπὸ Οἰδίποδος, ἐλεήσαντος τὸ τῆς ἡλικίας αὐτῶν ἄωρον, καὶ τὴν εὐγένειαν αἰδεσθέντος. 21. Μαντείᾳ σποδῷ] εὕρηται καὶ μαντείας, καὶ μαντεία. καὶ τοῦτο πάλιν τὸ μαντεια διπλοῦν. εἴτε γὰρ περισπάσεις, τότε αἰτιατικὴ πληθυντικοῦ ἐστι, τὰ μαντεῖα· εἴτ' ὀξυνεῖς, δοτική ἐστι, τῇ μαντείᾳ. εἰ μὲν οὖν μαντείας γράψεις, οὕτως ἐρεῖς, καὶ ἐν σποδῷ Ἰσμηνοῦ μαντείας. τοῦτ' ἔστιν, οἱ μὲν Ἀθηνᾶς ἐν τοῖς ναοῖς καθίδρυνται, οἱ δὲ θυσίαν ἐν τῷ Ἰσμηνῷ ποιοῦσι, καθ' ἣν ἐκ τῆς ἀνάψεως τοῦ πυρὸς τὸ μέλλον μαντεύονται. εἰ δὲ μαντείᾳ, οὕτως, ἐπὶ σποδῷ μαντείᾳ καὶ μαντικῇ. τὸ δὲ ἕτερον μαντεῖα, οὕτως, ἐν σποδῷ τοῦ Ἰσμηνοῦ, ἐπὶ μαντεῖα καὶ μαντεύματα. ὅπως δ' ἐποίουν τὴν μαντείαν διὰ πυρὸς, ἐν Αἰσχύλῳ ἐῤῥέθη εἰς τοὺς ἑπτὰ ἐπὶ Θήβαις.

¶ Σχόλ. Τρικλ. 18. Οἱ δέ τ' ἠϊθέων] συνίζησις.

SCHOL. INED. 17. Ἰδὲ, βεβαρημένοι, δυσκίνητοι, συνόντες γήρᾳ. ἀπὸ τῶν ἠϊθέων ἤγουν τοῦ Κάστορος καὶ τοῦ Πολυδεύκους· Τὸ βαρὺς ἐνίοτε μὲν λέγεται ἐπὶ ψυχῆς, ὡς ἐν τῷ Τοιοῦτ' ἀνὴρ δύσοργος ἐν γήρᾳ βαρύς. ἐνίοτε δὲ ἐπὶ σώματος, ὡς ἐνταῦθα. 21. Χρησμὸς ... ἡ τῶν θεῶν μαντεία· μαντεία δὲ καὶ μάντευμα, τὸ, ἀπὸ μάντεων ἀνθρώπων, ἐνταῦθα δὲ τὸ μαντεία ἀντὶ τοῦ μαντικὴ λέγεται, ἁπλοῦν ἀντὶ κλητικοῦ. 23. Ἄγαν σαλεύει. ἤγουν πάνυ ταράττεται, ἐν μεγάλῳ κλύδωνί ἐστιν, ἐν μεγάλῳ κινδύνῳ. Ib. Ἀπὸ τοῦ σάλου τῶν βυθῶν τοῦ φονικοῦ, οὐκέτι οἵα τέ ἐστιν, ἤγουν δυνατή.



Digitized by Google

Βυθῶν ἔτ' οὐχ οἵα τε, φοινίου σάλου
Φθίνουσα μὲν κάλυξιν ἐγκάρποις χθονὸς,
Φθίνουσα δ' ἀγέλαις βουνόμοις, τόκοισί τε
Ἀγόνοις γυναικῶν. ἐν δ' ὁ πυρφόρος θεὸς
Σκήψας ἐλαύνει, λοιμὸς ἔχθιστος, πόλιν,
Ὑφ' οὗ κενοῦται δῶμα Καδμείων· μέλας
Δ' ἅδης στεναγμοῖς καὶ γόοις πλουτίζεται.
Θεοῖσι μὲν νυν οὐκ ἰσούμενόν σ' ἐγὼ,
Οὐδ' οἵδε παῖδες, ἑζόμεσθ' ἐφέστιοι,
Ἀνδρῶν δὲ πρῶτον ἔν τε συμφοραῖς βίου
Κρίνοντες, ἔν τε δαιμόνων ξυναλλαγαῖς.
Ὅς γ' ἐξέλυσας, ἄστυ Καδμείων μολὼν,
Σκληρᾶς ἀοιδοῦ δασμὸν ὃν παρείχομεν.

25. Φθίνουσα μὲν κάλυξι] σὺν τοῖς βλαστήμασιν. οὐ μόνον ἀφορίαν φησὶν εἶναι τῆς γῆς, ἀλλὰ καὶ τοὺς πεφυκότας καρποὺς διαφθείρεσθαι ὑπὸ τοῦ λοιμοῦ. 27. Ἀγόνοις] κακογόνοις. Ib. Πυρφόρος θεὸς] ὁ λοιμὸς ὁ πυρετοφόρος. τὸν γὰρ πυρετὸν, πῦρ καλοῦσι. καὶ τὸ ἐναντίον, ὡς Ὅμηρος, Καί τε φέρει πολλὸν πυρετόν. 28. Σκήψας] ἐπιβαλών. 29. Δῶμα Καδμεῖον] περιφραστικῶς ἡ πόλις. ἢ ἀντὶ τοῦ τὰ δώματα πάντα τὰ τῆς πόλεως. 33. Ἀνδρῶν δὲ πρῶτον] οὐ μόνον οὖν ὡς βασιλέως δέονται, ἀλλὰ καὶ σοφοῦ. κατὰ βραχὺ δὲ παρεμβάλλει ἡμῖν ὁ ποιητὴς τὰ τῆς ἱστορίας τοῦ Οἰδίποδος. Ib. Συμφοραῖς] ταῖς βιωτικαῖς συντυχίαις. 34. Ἔν τε δαιμόνων ξυναλλαγαῖς] καὶ ἐν ταῖς πρὸς τὸ θεῖον κοινωνίαις καὶ φιλίαις. τὸ στοχάζεσθαι τῆς τῶν θεῶν διανοίας. ἐκ τούτου δὲ παθητικωτέραν τὴν τραγῳδίαν ποιεῖ, ὅταν ὁ τοιοῦτος εἶναι νομιζόμενος, φανῇ καινοῖς μίσεσιν ἔνοχος. 35. Ὅς γ' ἐξέλυσας ἄστυ Καδμείων μολὼν] ὥς τε μολὼν ἄστυ Καδμείων. ἵνα καὶ ἡ ἀπὸ ξένης αὐτοῦ ἄφιξις δηλωθῇ. 36. Σκληρᾶς ἀοιδοῦ] ὅτι τὸ ἀοιδοῦ εὔφημόν ἐστι, προσέθηκε σκληρᾶς· ὅ ἐστι δυσκόλου, διὰ τὸ αἴνιγμα· ἢ φονικῆς.

ΣΧΟΛ. ΤΡΙΚΛ. 24. Φοινίου σάλου] ἤγουν τοῦ θανάτου παρεκτικοῦ λοιμοῦ. ἔστι δὲ τὸ βυθῶν, καὶ τὸ φοινίου σάλου, ὥσπερ ταὐτὸ, οὕτως, καὶ οὐχ οἵα τε ἐστὶν ἀνακουφίσαι καὶ ἄνω τῶν βυθῶν ἐνέγκαι τὸ κάρα τοῦ φοινίου, λέγω σάλου. τοῦτ' ἔστιν, οὐ δύναται τῶν κατασχόντων αὐτὴν ἀπαλλαγῆναι κακῶν. εἴρηται δ' ἐκ μεταφορᾶς τῶν ἐν ὕδασι κινδυνευόντων.

Digitized by Google

Profundis adhuc non valet, ſanguineâque undâ
Conſumta quidem immaturis terrae frugibus,
Conſumta quoque boum armentis, partubuſque
Infructuoſis mulierum. Ignifer autem Deus (bem,
Incumbens affligit, peſtis *nimirum* teterrima, ur-
Per quem evacuatur domus Cadmeorum; niger
Autem Pluto ſuſpiriis et lamentis diteſcit.
Diis quidem nunc non aequantes te ego,
Neque hi pueri, tuas conſedimus ad aras,
Sed virum eximium inque vitae *bujus* cladibus
Judicantes *depellendis*, Deiſque placandis.
Qui liberaſti, urbem Cadmeorum profectus,
Durae vatis tributum, quod *prius* pendimus,

ὤλων. γίγνωσκε δ' ὅτι ἐν ταῖς Θήβαις τότε ϗ πεῖνα ϗ λοιμικὴ νόσος ἦν· ὡς ϗ αὐτὸς πρϊὼν δείξει, πρῶτον τὴν τῆς γῆς πρὸς τὰ φυτὰ δυστυχίαν διεξιὼν, δι' ἧς τὰ θρέμματα ἐφθείρετο· ἔπειτα δὲ ϗ τὴν λοιμικὴν νόσον προσθείς. 25. Ἐγκάρποις χθονός] εἰκότως εἶπε τὸ ἐγκάρποις πρὸς τὸ κάλυξι. κάλυξ γὰρ κυρίως τὸ τοῦ ῥόδου περικάλυμμα· νῦν δὲ ἐκ τοῦ ἐγκάρποις, πάντα τὰ ζωὴν ἀνθρώποις ϗ κτήνεσι φέροντα σπέρματ' ἐδήλωσεν. 35. Ὅς γ' ἐξέλυσας] ἡ σύνταξις, ὃς μολὼν ϗ ἐλθὼν ἐκ Κορίνθου, ἐξέλυσας ϗ ἠλευθέρωσας τὸ ἄστυ τῶν Καδμείων τῆς σκληρᾶς ἀοιδοῦ. δέον δ' εἰπεῖν τοῦ δασμοῦ ϗ τοῦ φόρου, ὃν ἑκάστοτ' αὐτῇ παρείχομεν, διὰ τὴν τῶν αἰνιγμάτων ἄγνοιαν· ὁ δὲ πρὸς τὸ ὃν ἐποίησε δασμόν.

SCHOL. INED. 25. Φθείρομαι μὲν κατὰ τὰς καρποφόρους κάλυκας τῆς γῆς. κάλυξ κάλυκος ὁ βλαστός· κυρίως δὲ, ἐπὶ ῥόδων. Ib. Φθείρομαι δὲ, κατὰ τὰς ἀγέλας τῶν νομάδων βοῶν. ἀντὶ τοῦ τῶν ζώων ἁπλῶς τῶν νεμομένων· 26. Καὶ μετὰ τοὺς τόκους τῶν γυναικῶν τοὺς ἀγόνους ἤγουν τοὺς κακογόνους. τὴν λοιμικὴν νόσον ἐκάλεσαν ἐνταῦθα θεόν. 29. Στερίσκεται τοῦ πλήθους τοῦ πληροῦντος αὐτό. 30. Ἅδης. ὁ περὶ τὴν γῆν σκοτεινὸς ἀήρ. 35. Ὅς γε ἐλθὼν εἰς τὴν πόλιν τῶν Καδμείων, ἐξέλυσας ἀντὶ τοῦ ἔλυσας ἤγουν ἔπαυσας τὸν δασμὸν τῆς σκληρᾶς ἀοιδοῦ, ἤγουν τῆς σφιγγὸς, ὃν παρείχομεν. 36. Ἀοιδοῦ λέγει ἐπεὶ ἐμμέτρως ἔλεγε τὰ αἰνίγματα. Δάσμα τὸ τέλος διότι κατ' ἔτος ἀπῄτει τοῖς πολίταις ἄνθρωπον. Δασμὸς τὸ τέλος ϗ φόρος. ἀναδασμοὶ δὲ τῆς γῆς, ἡ ἀναμέτρησις ϗ ἡ ἐκ δευτέρου διαίρεσις.

Καὶ

Καὶ ταῦθ' ὑφ' ἡμῶν οὐδὲν ἐξειδὼς πλέον,
Οὐδ' ἐκδιδαχθείς. ἀλλὰ προσθήκῃ θεοῦ
Λέγῃ νομίζῃ θ' ἡμῖν ὀρθῶσαι βίον.
Νῦν τ', ὦ κράτιστον πᾶσιν Οἰδίπου κάρα,
Ἱκετεύομέν σε πάντες οἵδε πρόστροποι,
Ἀλκήν τιν' εὑρεῖν ἡμῖν, εἴτε του θεῶν
Φήμην ἀκούσας, εἴτ' ἀπ' ἀνδρὸς οἶσθά που.
Ὡς τοῖσιν ἐμπείροισι καὶ τὰς ξυμφορὰς
Ζώσας ὁρῶ μάλιστα τῶν βουλευμάτων.
Ἴθ' ὦ βροτῶν ἄριστ', ἀνόρθωσον πόλιν·

37. Οὐδὲν ἐξειδὼς πλέον] οὐδὲν πλέον εἰδὼς, οὐδὲν εἰς προσθήκην τῆς σῆς γνώσεως. τὸ πλέον οὕτω τιθέμενον, οὐ περισσὸν τίθεται, ἀλλ' ἔχει ἀεὶ ὅποι ἀποδοθήσεται· οἷον, σπουδάσας, οὐδὲν πλέον ἤνυσα. ἀντὶ τοῦ, οὐδὲν πλέον τῆς σπουδῆς. καὶ, Δένδρεσιν εὐκάρποις οὐδὲν πλέον· τῆς εὐκαρπίας δηλονότι, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. 38. Οὐδ' ἐκδιδαχθεὶς] οἷον, οὐ προακούσας παρ' ἡμῶν τὸν τρόπον τῶν αἰνιγμάτων. ὅπερ συνελάμβανέ πως σοι πρὸς τὴν λύσιν· ὡς πρὸς θεοφιλῆ οὖν καὶ εὐτυχῆ ἀπαντῶσι. περιττεύει δὲ ἡ ἐξ, ἢ ἡ ὑπό. Ib. Προσθήκῃ] συμβουλῇ, ἐπικουρίᾳ. 39. Ὀρθῶσαι βίον] ἀνορθῶσαι. ἀπὸ μεταφορᾶς τῶν κλινομένων, ὅταν αὐτά τις ἀνορθοῖ. 40. Ὦ κράτιστον πᾶσιν Οἰδίπου κάρα] ἢ ὑπὸ πάντων κράτιστος εἶναι ὑπολαμβανόμενος, ἢ πᾶσι τοῖς προειρημένοις. Ib. Τύχῃ] συνέσει, θεοφιλίᾳ. 41. Πρόστροποι] προσπεπτωκότες, προστετραμμένοι. ἴσως δὲ τοῦτο εἰπὼν ὁ ὑποκριτὴς προσπίπτει πρὸς τοὺς πόδας τοῦ ἄρχοντος. 43. Φήμην] χρησμόν. ἐπὶ μὲν θεῶν χρησμὸς ἁπαντᾷ οἰκείως· ἐπὶ δὲ τοῦ ἀνδρὸς προσυπακούεται ἡ μαντεία κατ' ἀναλογίαν. 44. Ὡς τοῖσιν ἐμπείροισι] ἐν τοῖς συνετοῖς τὰς συντυχίας καὶ τὰς ἀποβάσεις τῶν βουλευμάτων ὁρῶ ζώσας καὶ οὐκ ἀπολλυμένας. οὐ σφάλλεται, ἀλλὰ τὸ ἀποβησόμενον στοχάζεται καλῶς. 45. Ζώσας] ἐνεργεστέρας. 46. Ἴθ' ὦ βροτῶν ἄριστ'] διεξελθὼν τὰ τῆς πόλεως κακὰ, καὶ ὅτι ἱκανός ἐστιν ἐπινοῆσαι ἀπαλλαγὴν, ἐπάγει ὅτι καὶ χρήσιμον σῶσαι τὴν πόλιν, μᾶλλον δὲ κινδυνῶδες τὸ ἀμελῆσαι. ἴθι οὖν καὶ εὐλαβήθητι μὴ τὴν ὑπάρχουσαν δόξαν τὴν ἐπὶ τῇ εὐποιΐᾳ ἀπολέσῃς. πάνυ δὲ αἰδημόνως οὐκ εἶπεν ὅτι οὐκ ἔτι τιμήσει σε ἡ πόλις, ἀλλὰ σὺν τῇ εὐχῇ τὸ ὅλον κατέθηκεν. εἰώθαμεν δὲ καὶ τῶν ἀτυχημάτων καὶ τῶν εὐημεριῶν μνημονεύειν, καθὼς ἄρχοντες ἀποβῶσιν. ἔασον οὖν (φησὶν) ἀκέραιον τὴν προγεγενημένην σοι δόξαν· ἵνα αὐτὸ τοῦτο λέγωμεν, ὅτι ἐπὶ Οἰδίποδος τῆς σφιγγὸς ἀπαλλαγέντες, εὖ διαγεγόναμεν.

ΣΧΟΛ. ΤΡΙΚΛ. 44. Ὡς τοῖσιν ἐμπείροισι] ὅτι καὶ τοῖς ἐμπείροις τῶν βουλευμάτων, ἤγουν τοῖς ἄριστα βουλευομένοις, ὁρῶ καὶ βλέπω οὐ μόνον

τὰ

Digitized by Google

Idque, a nobis nihil monitus omnino,
Neque edoctus, sed ope consilii divini
Diceris, haberisque nostram erexisse vitam.
Nunc ergò, ô optimum Oedipodis caput,
Rogamus te omnes *sic* ad *tua* cadentes *genua*
Opem ut aliquam invenias nobis, vel alicujus
 Deorum
Oraculo audito, vel ab homine edoctus aliquo:
Expertis enim eventus quoque
Consiliorum maximè florere video.
Ito igitur, ô mortalium optime, erige urbem,

τὰ κακὰ ϗ τὴν περὶ τούτων ζήτησιν, ἀλλὰ ϗ μάλιστα τὰς συμφορὰς ζώσας. τοῦτ' ἔστιν, ἐν μὲν τοῖς ἄλλοις πᾶσιν ὥσπερ νεκρά ἐστι τὰ συμβάντα καλὰ ἢ κακὰ, διὰ τὸ μὴ δύνασθαι καταλαμβάνειν αὐτὰ, ϗ ὅθεν ἐπῆλθε φράζειν· τοῖς δὲ καλῶς βουλευομένοις, ϗ τὰ καλὰ ζῶσιν. ἤγουν ἄριστα καταλαμβάνεται δι' ἣν αἰτίαν συνέβη· ϗ μάλισθ' αἱ ὑπαρχόμεναι δυστυχίαι τῷ κόσμῳ. οὗτοι γὰρ δύνανται ϗ ὅθεν ἐπῆλθεν ἐξηγεῖσθαι, ϗ μηχανήν τινα φράζειν δι' ἧς τάχιστα παύσεται. 46. Ἴθ' ὦ βροτῶν] τοῦτο βουλόμενος παρακινῆσαι αὐτὸν εἰς τὴν αὐτῶν βοήθειαν, λέγει, αἰδέσθητι ϗ βοήθησον ἡμῖν, ἐπεί σε σωτῆρα ἀνακαλεῖται ἡ πόλις, τῆς προτέρας ἐπιθέσεως τῆς σφιγγὸς ἐλευθερωθεῖσα. ὥστε μηδαμῶς ἔχωμεν μνημονεύειν τῆς σῆς ἀρχῆς, πρότερον μὲν κειμένους ἀνορθωσάσης ἡμᾶς, ὕστερον δὲ, ἤγουν νῦν, ὑπὸ τοῦ λοιμοῦ καταλειπούσης ἡμᾶς πεσεῖν. ἀλλ' ἀνόρθωσον τὴν πόλιν ἐν ἀσφαλείᾳ, ἤγουν ποίησον ἀσφαλῶς στῆναι, ϗ μὴ ὑπὸ τοῦ λοιμοῦ πεσεῖν ϗ κινδυνεῦσαι.

¶ Σχημ. Τρικλ. 40. Νῦν τ', ὦ κράτ.] ἱκεσία πρὸς τὸν Οἰδίποδα, ὥστε βοηθῆσαι αὐτοῖς.

SCHOL. INED. 37. Οὐδὲν πλέον εἰδὼς,] ἤγουν οὐδὲν εἰσπροσθεῖσαι τῆς σῆς γνώσεως. τὸ πλέον οὕτω τιθέμενον, οὐ περισσὸν τίθεται· ἀλλ' ἔχον ἀεὶ ὅποι ἀποδοθήσεται· οἷον, σπουδάσας οὐδὲν πλέον ἤνυσας· ἀντὶ τοῦ οὐδὲν πλέον τῆς σπουδῆς. ϗ, δένδρεσιν εὐκάρποις· οὐδὲν πλέον τῆς εὐκαρπίας δηλονότι· ϗ ἐπὶ τῶν ἄλλων ὁμοίως. 39. Ἀντὶ τοῦ ἀνορθῶσαι ἀπὸ μεταφορᾶς τῶν κλινομένων ὅταν αὐτά τις ἀνορθοῖ. 41. Πρὸς σὲ τετραμμένοι, ϗ παραγώγως προστρόπαιος ἀλλαχοῦ, Θάκει δὲ προστρόπαις. 43. Εἴτ' ἀπ' ἀνδρὸς τινὸς ἀκούσας μαντείαν δηλονότι οἶσθα. Ib. Ἐπὶ μὲν τῶν θεῶν, ἀπαντᾷ ὁ χρησμὸς οἰκείως· ἐπὶ δὲ τοῦ ἀνδρὸς προσυπακούεται ἡ μαντεία οἰκείως κατ' ἀναλογίαν. 46. Ἀρείων συγκριτικὸν, ὅθεν ϗ πρὸς ἑνικὴν γενικὴν ἔχει τὴν σύνταξιν· ὡς τὸ, Ἀρείων ὁ Ἀχιλλεὺς τοῦ Αἴαντος τὰ πολεμικά· Ἄριστος ὑπερθετικὸν, ὅθεν ϗ πρὸς γενικὴν τῶν πληθυντικῶν ἔχει τὴν ἀπόδοσιν τῆς συντάξεως.

Ἴθ',

Digitized by Google

Ἴθ', εὐλαβήθηθ'· ὡς σὲ νῦν μὲν ἥδε γῆ
Σωτῆρα κλῄζει τῆς πάρος προθυμίας·
Ἀρχῆς δὲ τῆς σῆς μηδαμῶς μεμνώμεθα,
Στάντες γ' ἐς ὀρθὸν, ϗ πεσόντες ὕστερον.
Ἀλλ' ἀσφαλείᾳ τήνδ' ἀνόρθωσον πόλιν.
Ὄρνιθι γὰρ ϗ τὴν τότ' αἰσίῳ τύχην
Παρέσχες ἡμῖν, ϗ τανῦν ἴσος γενοῦ.
Ὡς εἴπερ ἄρξεις τῆσδε γῆς, ὥσπερ κρατεῖς,
Ξὺν ἀνδράσιν κάλλιον ἢ κενῆς κρατεῖν.
Ὡς οὐδέν ἐστιν οὔτε πύργος, οὔτε ναῦς,
Ἔρημος ἀνδρῶν μὴ ξυνοικούντων ἔσω.——
Οι. Ὦ παῖδες οἰκτροὶ, γνωτὰ κοὐκ ἄγνωτά μοι
Προσήλθεθ' ἱμείροντες. εὖ γὰρ οἶδ' ὅτι

49. Ἀρχῆς δὲ τῆς σῆς] ἂν καταρχὰς ἐποίησας, οὐδαμῶς μεμνησόμεθα. 51. Ἀλλ' ἀσφαλείᾳ] γνώμῃ ἀσφαλεῖ, ϗ ἰσχυρᾷ εὐβουλίᾳ, τὸ ἐμπεσὸν κακὸν τῇ πόλει ἀνόρθωσον. 52. Ὄρνιθι αἰσίῳ] μαντείᾳ εὐσυμβόλῳ. ὄρνιθες, ἁπλῶς μὲν πάντα τὰ πετόμενα· ἰδίως δὲ οἱ εἰς μαντείαν συντείνοντες. ἀφ' οὗ ἔλεγον ϗ πᾶν τὸ εἰς μαντείαν συντεῖνον, ὄρνιν, οἷον πταρμὸν, ἢ παλμὸν, ἢ τοιοῦτόν τι. οὐ μόνον δὲ τὰ εἰς μαντείαν συντείνοντα, ἀλλ' ἤδη ϗ αὐτὴν ἁπλῶς τὴν μαντείαν ὄρνιν καλοῦσι, καθ' ὃ λέγεται ἐνταῦθα. τὸ αἴσιον δὲ ϗ τὸ ἀπαίσιον ἐπὶ τῆς τῶν ὀρνίθων μαντείας· κυρίως λέγεται, ϗ ἀπὸ τούτου ϗ ἐπ' ἄλλων, οἷον ἀπαίσιοι ὄρνιθες, οἱ δυσοιώνιστοι· αἴσιοι δὲ, τὸ ἐναντίον, οἷον οἱ εὐσύμβολοι ϗ τὰ ἀγαθὰ σύμβολα δηλοῦντες. 54. Ὡς εἴπερ ἄρξεις τῆσδ'] τὸ πᾶν τοῦ κινδύνου (φησὶν) εἰς σὲ φθάνει. τίνος γὰρ ἄρξεις, ἢ ποίαν ἕξεις πολιτείαν, ἀπολωλότων τῶν οἰκούντων; 56. Ὡς οὐδέν ἐστι] ϗ Ἀλκαῖος φησὶν, Ἄνδρες, πόλεως πύργοι ἄρειοι. ϗ Δημοσθένης, Ἄνδρες γὰρ πόλεις, ϗ οὐ τείχη. ὅμοιον δὲ τὸ τῶν νεῶν ταῖς πόλεσιν· ὅθεν ϗ τροπικοῖς τοῖς ὀνόμασιν ἀπὸ τῶν εἰωθότων χρῶνται ἐπὶ τῶν πόλεων, οἴακας νῦν ἀντὶ τοῦ ἄρχοντας λέγοντες, ϗ ὀρθῶς πλεῖν τὴν πόλιν φάσκοντες. 58. Ὦ παῖδες οἰκτροὶ] οὐκ εἰς τὴν ἡλικίαν τοσοῦτον τὸ ὦ παῖδες, ὡς ἂν ἁρμόζον ἐστὶ τῷ φιλοφρονουμένῳ ἤθει. οἷον ϗ τὸ, ὦ τέκνα, ἐν ἀρχῇ. πρὸς τοὺς παῖδας δὲ διαλέγεται, ὡς οἰκτροτέρους ϗ μᾶλλον βοηθείας δεομένους. ἅμα δὲ ϗ διὰ τὸ πλῆθος, ὡς ἐπικρατέστερον.

ΣΧΟΛ. ΤΡΚΛ. 52. Ὄρνιθι γὰρ] τοῦτ' ἔστιν, ἐξ ὧν τὰ σφιγγὸς εὗρες

Ito, proſpice; nam te nunc quidem hæc terra
Servatorem vocat ob priorem promptitudinem:
At initii neutiquam tui meminerimus,
Locati ſiquidem in rectum *ſtatum* cadamus deni-
At ſalubri conſilio *tuo* hanc erige civitatem; (que.
Alite enim et priorem dextro fortunam
Dediſti nobis, et jam nunc ſis ſimilis *tui*.
Nam, ſi porro Rex eris hujus terræ, ut nunc es,
Plenam viris pulchrius eſt, quàm inanem regere.
Nihil enim eſt neque turris, neque navis,
Nuda *ſi* viris *fuerit*, qui habitent intus.
*Oed.* O filii miſerandi, nota, & nullo modo ignota mihi
Adveniſtis petitum; pulchrè enim novi quòd

εὗρες αἰνίγματα, ἃ μηδεὶς ἀνθρώπων, ὡς κατὰ ἐμὴν ἔτι χωρήσομεν, ἐποίησας ἡμῖν εὔδηλον. τοῦτο γάρ ἐστι τὸ ὄρνιθι αἰσίῳ.

¶ Σχήμ. Τρικλ. 58. Ὦ παῖδες] συγκατάθεσις Οἰδίποδος.

SCHOL. INED. 48. Κλέω, κλείζω, κληΐζω, κλήζω. 49. Ἀντὶ τοῦ, ὧν καταρχὰς ἐποίησας· ὧν ἐποίησας τὴν ἀρχήν. 51. Ἤγουν ποίησον τὴν πόλιν ἀσφαλῆ μένειν, ὡς καὶ μὴ καταβληθῆναι, βοήθειαν πρότερον—λαβοῦσαν παρά σου. Ib. ἀνεστηκυῖαν ποίησον, ηγουν ἀνάστησιν. 52. Ὄρνιθες. ἁπλῶς μὲν, πάντα τὰ πετόμενα. ἰδίως δὲ, οἱ εἰς μαντείαν συντείνοντες, ἀφ' οὗ ἔλεγον καὶ πᾶν τὸ εἰς μαντείαν συντεῖνον, ὄρνιν, οἷον πταρμὸν ἢ παλμὸν, ἢ τοιοῦτό τι. οὐ μόνον δὲ τὰ εἰς μαντείαν συντείνοντα, ἀλλ' ἤδη καὶ αὐτὴν ἁπλῶς τὴν μαντείαν ὄρνιν καλοῦσι· καθὸ λέγεται ἐνταῦθα. Τὸ αἴσιον δὲ καὶ τὸ ἀπαίσιον, ἐπὶ τῆς τῶν ὀρνίθων μαντείας κυρίως λέγεται· καὶ ἀπὸ τούτου, καὶ ἐπ' ἄλλων. οἷον ἀπαίσιοι ὄρνιθες οἱ δυσοιώνιστοι· αἴσιοι δὲ τὸ ἐναντίον ἤγουν οἱ εὐσύμβολοι, τοῦτ' ἔστιν οἱ ἀγαθὰ σύμβολα δηλοῦντες. 55. Ἐστερημένη τῶν ἀνθρώπων τῶν πληρούντων αὐτήν. Ib. Κρεῖττον τῆς πόλεως κρατεῖν, ἀνδρῶν ἐνοικούντων αὐτὴν, ἢ κενῆς καὶ εὐθὺς τὸ ἐπιχείρημα ἀπὸ ἐλάττονος. 56. Οὔτε γὰρ ναῦς καὶ πύργος τι, πύργος καὶ ναῦς ἔρημος ἀνδρῶν οὐδὲν τυγχάνει. 58. Ἀλλ' ἐγνωσμένα ἔχει δὲ τὸ πᾶν ἐνθύμημα οὕτω· νοσεῖτε πάντες. οὐδεὶς δὲ νοσεῖ ὡς ἐγὼ νοσῶ. εἷς ὑμῶν γὰρ τὸ οἰκεῖον σκοπεῖτε, ἐγὼ δὲ, καὶ τὸ οἰκεῖον καὶ τὸ κοινόν.

Νοσεῖτε πάντες, καὶ νοσοῦντες, ὡς ἐγὼ,
Οὐκ ἔστιν ὑμῶν ὅς τις ἐξ ἴσου νοσεῖ.
Τὸ μὲν γὰρ ὑμῶν ἄλγος εἰς ἓν ἔρχεται
Μόνον καθ' αὑτὸν, κοὐδέν' ἄλλον· ἡ δ' ἐμὴ
Ψυχὴ πόλιν τε κἀμὲ καὶ σ' ὁμοῦ στένει.
Ὥστ' οὐχ ὕπνῳ γ' εὕδοντά μ' ἐξεγείρετε,
Ἀλλ' ἴστε πολλὰ μέν με δακρύσαντα δὴ,
Πολλὰς δ' ὁδοὺς ἐλθόντα φροντίδος πλάναις·
Ἣν δ' εὖ σκοπῶν εὕρισκον ἴασιν μόνην,
Ταύτην ἔπραξα. παῖδα γὰρ Μενοικέως
Κρέοντ', ἐμαυτοῦ γαμβρὸν, ἐς τὰ πυθικὰ
Ἔπεμψα Φοίβου δώμαθ', ὡς πύθοιθ' ὅ,τι
Δρῶν, ἢ τί φωνῶν, τήνδε ῥυσαίμην πόλιν.
Καί μ' ἦμαρ ἤδη ξυμμετρούμενον χρόνῳ,
Λυπεῖ, τί πράσσει. τοῦ γὰρ εἰκότος πέρα,

65. Ὥστ' οὐχ ὕπνῳ] ἀντὶ τοῦ, οὐκ ἀμέριμνόν με ὄντα παρακαλεῖτε φροντίζειν, ἀλλὰ πρὸ πολλοῦ πεφροντικότα. 67. Πολλὰς δ' ὁδοὺς ἐλθὼν] πολλὰς γνώμης ἐπιβουλὰς ἐν τῇ σκέψει πλανώμενος ἦλθον, ἕως οὗ ἀρίστην εὗρον τὴν ἐπὶ τὸν θεὸν καταφυγήν. ἀρσενικῶς δὲ ἐχρήσατο πλάνοις ἀντὶ θηλυκοῦ πλάναις. 70. Κρέοντ' ἐμαυτοῦ] οὐ τὸν τυχόντα ἔπεμψα, ἀλλὰ τὸν ἀναγκαῖον. Ib. γαμβρὸν] ἁπλοϊκῶς ἀντὶ τοῦ κηδεστήν. 73. Λυπεῖ, τί πράσσει] λυπεῖ ἀποροῦντα δηλονότι τί πράττει. φυσικός ἐστιν ὁ λόγος, ἀπὸ τῶν ἐπαγομένων συνυπακούειν τοὺς πρέπον τὰς πρότερον λέγεσθαι. ὡς ἐνταῦθα, ἀντὶ τοῦ πράσσει, ἀπορίαν ἐμφαίνοντος γνώμης ζητούσης ὑπ' ἐρείσει. συνυπακούεται τὸ ἀποροῦντα. καὶ ἐν τῷ
" Οὐ γὰρ κλύοντες ἐσμὲν αἰσχίστους λόγους ἄναξ Ὀδυσσεῦ τοῦδ' ὑπ' ἀν-
" δρὸς, ἀρτίως." Τοῦ γὰρ εἰκότος πέρα] οὐ πρέποντα ποιῶν ἄπεστι πλέον τοῦ καθήκοντος χρόνου.

ΣΧΟΛ. ΤΡΙΚΛ. 66. Ἀλλ' ἴστε πολλὰ] πολλὰς ὁδοὺς, ἤγουν πολλὰς φροντίδας πλανηθέντα, ζητοῦντα τὸ τοῦ κακοῦ αἴτιον. Ἰστέον δ' ὅτι οὐ μόνον θηλυκῶς ἡ πλάνη, ἀλλὰ καὶ ὁ πλάνος· ὥσπερ καὶ εὐθύνη καὶ εὔθυνος· ὡς ἔχει καὶ τὸ τοῦ Ἰσοκράτους, Τοὺς φυγαδικοὺς πλάνους. 70. Κρέοντ' ἐμαυτοῦ γαμβρὸν] ἀποροῦσί τινες πῶς ὁ Κρέων, τῇ μὲν ἀληθείᾳ θεῖος ὢν Οἰδίποδος, τῷ δὲ φαινομένῳ γυναικάδελφος, γαμβρὸς νῦν

παρὰ

Digitized by Google

Laboratis omnes, et laborantium, ut ego,
Nullus est vestrûm, qui æque laboret.
Vester enim dolor ad unum pervenit
Solummodò, neminemque alium: mea autem
Anima urbemque et me et te simul gemit.
Quare non somno dormientem me *alto* excitastis,
Sed nostis multas me jam lachrymas fudisse,
Multasque vias isse curis vagantem anxiis;
Quodque considerando repperi remedium,
Id adhibui: Filium enim Menœcei
Creonta, affinem meum, ad Pythia
Misi Apollinis delubra, ut sciscitaretur quid
Agendo vel dicendo hancce liberem urbem.
Et me diem jam comparantem cum tempore *elapso* (spem
Molestiâ afficit, nescium quid agat, ultra enim

παρὰ τούτου καλεῖται. ϗ φαμὲν ὅτι ἀντὶ τοῦ συγγενὴς ἐνταῦθα τὸ γαμβρὸς κεῖται· ἐπειδὴ κηδεστὴς οὐ μόνον ὁ πενθερὸς, ἀλλὰ ϗ ὁ γαμβρὸς ϗ ὁ γυναικάδελφος εὕρηται. 73. Χρόνῳ] τῷ ὁρισθέντι παρ' ἐμοῦ αὐτῷ εἰς ἀπάντησιν, ἐκεῖσέ τε ϗ πάλιν ἐκεῖθεν δεῦρο. 74. Εἰκότος πέρα] τοῦτο λέγει ὅτι εἰκὸς ἦν ϗ μετὰ τὸν τεταγμένον χρόνον αὐτῷ παρ' ἐμοῦ, δύο ἢ τρεῖς ἡμέρας ἀργῆσαι· νῦν δὲ ϗ πέρα τοῦ εἰκότος βραδύνει.

SCHOL. INED. 66. Οὐκ εἶπε δακρύσαι, ἀλλὰ δακρύσαντα, διὰ τὸ ἴστε. γνωστικὸν γὰρ ὂν μετὰ μετοχῆς συντακτέον. 67. Στροφαῖς φαντασίαις ἤγουν διὰ τῶν στροφῶν ϗ τῶν φαντασιῶν τοῦ λογισμοῦ. 70. Ὅρα παρὰ τοῖς παλαιοῖς τὸ γαμβρὸς ἀδιάφορον. γαμβρὸν γὰρ ἐνταῦθα τὸν γυναικάδελφον φησίν. 71. πύθοιτο ϗ ἔροιτο· σημαίνει δὲ δύο τὸ ἔροιτο ϗ τὸ μάθοι. 73. Καί με ἤδη — ἤγουν, ἀπὸ τοῦ νῦν — ἡ ἡμέρα συνεξεταζομένη τῷ καθήκοντι χρόνῳ. Καὶ τὸ ἦμαρ ξυμμετρούμενον ϗ ποσούμενον τῷ χρόνῳ, ϗ τῇ βραδυτῆτι λυπεῖ ἤγουν βραδύνων λυπεῖ με. 74. Λυπεῖ] ἀποροῦντα δηλονότι τί πράττει. Φυσικός ἐστιν ὁ λόγος ἀπὸ τῶν ἐπαγομένων συνυπακούειν τὰ πρέποντα πρότερον λέγεσθαι· ὡς ἐνταῦθα, ἀπὸ τοῦ, τί πράσσειν, ἀπορίαν ἐμφαίνοντος γνώμης ζητούσης ὅποι ἐρείσει, συνυπακούεται τὸ ἀποροῦντα. Καὶ ἐν τῷ, Οὐ γὰρ



Digitized by Google

Ἄπεστι πλείω τοῦ καθήκοντος χρόνου.
Ὅταν δ' ἵκηται, τηνικαῦτ' ἐγὼ κακὸς
Μὴ δρῶν ἂν εἴην πάνθ' ὅσ' ἂν δηλοῖ θεός. —

Ιε. Ἀλλ' εἰς καλὸν σύ τ' εἶπας, οἱ δὲ τ' ἀρτίως
Κρέοντα προστείχοντα σημαίνουσί μοι.

Οι. Ὦ 'ναξ Ἄπολλον· εἰ γὰρ ἐν τύχῃ γέ τῳ
Σωτῆρι βαίη λαμπρὸς ὥσπερ ὄμματι.

Ιε. Ἀλλ' εἰκάσαι μὲν, ἡδύς· οὐ γὰρ ἂν κάρα
Πολυστεφὴς ὧδ' εἷρπε παγκάρπου δάφνης.

Οι. Τάχ' εἰσόμεσθα· ξύμμετρος γὰρ ὡς κλύειν.
Ἄναξ, ἐμὸν κήδευμα, παῖ Μενοικέως,

κλύοντες ἐσμὲν, αἰσχίστους λόγους ἄναξ Ὀδυσσεῦ τοῦδ' ὑπ' ἀνδρὸς, ἀρτίως. τὸ ἄρα καὶ ἐν ἄλλοις ἔστερα. Ib. Τοῦ γὰρ εἰκότας πέρα, ἀντὶ τοῦ περαιτέρω τοῦ πρέποντος πράγματος, ἤγουν οὐ πρέποντα ποιῶν ἄπεστι πλέον τοῦ καθήκοντος χρόνου. ἤγουν καὶ μὴν, καλῶς καὶ κατὰ τὸν προσήκοντα χρόνον ἐμνήσθης ἐκείνου. δηλοῦσί μοι τὸν Κρέοντα στείχοντα. οὕτως ἀγγέλλουσι τὸν Ἕκτορα θανόντα. καὶ τὸ ἀκούω ὡσαύτως ἀκούω σε κακῶς πάσχοντα.

78. Ἀλλ' εἰς καλὸν] καὶ μὴν καλῶς κατὰ τὸν προσήκοντα χρόνον ἐμνήσθης καὶ ἀνεζήτησας αὐτόν. καὶ οὗτοι μηνύουσι, καὶ τὰ ἑξῆς. Ib. Οἱ δὲ ἀρτίως] οἱ ἤϊθεοι πρὸς τὸν οὓς αὐτοῦ φασιν ὅτι πάρεστι Κρέων, ὡς ὀξυωπέστεροι· δι' αἰδῶ δὲ τοὺς λόγους παρῃτήσαντο. ὁ δὲ ἱερεὺς, ἅμα μὲν ὡς πρεσβύτης, οὐχ ὁρᾷ, ἅμα δὲ κατὰ νοῦν ἔχων τὸν λόγον τοῦ βασιλέως. 80. Ὦ 'ναξ Ἄπολλον] εἰκότως πρὸς Ἀπόλλωνα ἡ ἀναβόησις. ἐν γὰρ τῷ ἀπὸ θεοῦ ῥηθησομένῳ χρησμῷ κεῖται τὸ τῆς ἀπαλλαγῆς. εἴθε οὖν παραγένοιτο Κρέων ἐπί τινι σωτηρίῳ τύχῃ λαμπρὸς, ἐκ τῆς περὶ τὸ πρόσωπον καταστάσεως φαιδρός. λεληθότως δὲ δείκνυσιν ἡμῖν τὸ σχῆμα τοῦ ὑποκριτοῦ ὁποῖον εἰσῆλθε. Εἰ γὰρ ἐντύχῃ γέ τῳ] εἴθε γὰρ ἐντύχῃ τινὶ, ὥσπερ παρὰ τοῖς Αἰολεῦσι τὸ ὅντινα κοινόν ἐστι κατὰ γένος, οὕτω καὶ παρὰ τοῖς Ἀττικοῖς τὸ του, καὶ τὸ τῳ, κοινῶς λέγεται. οὔτέ του κλύων σάλπιγγος. καὶ, του χρείας. καὶ, ἐντύχῃ γέ τῳ. 82, 83. Κάρα πολυστεφὴς] οἱ γὰρ ἐπί τινι αἰσίῳ παραγινόμενοι ἐκ Δελφῶν, ἐστεμμένοι ἐπανῄεσαν. ὡς καὶ Ἀριστοφάνης ἐν Πλούτῳ φησί. 84. Ξύμμετρος γὰρ ὡς κλύειν] οὐκ ἔστι (φησὶ) μακρὰν, ἀλλ' ἐγγύς. καὶ μέτρον ἔχων τοῦ ἀκούειν, διὰ τὸ πλησίον γενέσθαι. Ἄλλως. ἐπὶ τοῦ διαστήματος ὤφειλε θεῖ-

ναι

Digitized by Google

Diutius abeſt quam par eſt.
Ubi vero venerit, tum ego malus ſim
Ni fecero omnia, quæcunque monet Deus.
*Sa.* At rectè tuque hoc loquutus es, hique jam
Creonta advenire mihi nunciant.
*Oe.* O Rex Apollo, utinam eventu aliquo
Salutari *reperto* redeat, lætus ut vultu.
*Sa.* At ut videtur, lætus eſt: neque enim caput
Sic coronatus adveniſſet frugiferis lauri frondibus.
*Oe.* Statim ſciemus. In eo enim eſt, unde audiatur.
O Rex, mî affinis, nate Menœcei,

και τὸ σύμμετρον· ὁ δὲ ἐπὶ τῦ προσώπε τίθησιν ἀντιςρόφως· τὸ σχῆμα δὲ τῦτο τῦ λόγυ ϰ̓ τῷ πεζῷ λόγῳ σύνηθες, ὥσπερ ϰ̓ τὸ ταχὺς ἦλθεν. 85. Αναξ, ἐμὸν κήδευμα] ἴδιον τῶν ἐν χρείᾳ καθεςώτων φιλοφρονεῖσθαι μείζοσιν ὀνόμασι τὺς ταπεινοτέρυς.

ΣΧΟΛ. ΤΡΙΚΛ. 78. Ἀλλ' εἰς καλὸν] ϰ̓ μὴν καλῶς κατὰ τὸν προσήκοντα χρόνον ἐμνήσθης ϰ̓ ἀνεζήτησας αὐτόν· ϰ̓ ὗτοι μηνύυσί μοι. 80. Ἐντύχῃ γέ τῳ] τῦθ' ὅμοιον τῷ παρ' Αἰσχύλῳ, τῷ. Πέμπει ἡμῖν ἤδη τόνδε, συντύχῃ δέ τῳ. δέον γὰρ εἰπεῖν ἐντύχῃ τῃ καὶ τινὶ, πρὸς ἀρσενικὸν Ἀττικῶς ἔτρεψεν ὥσπερ ἐςὶ ϰ̓, οὔτε τυ σάλπιγγος κλύων· ϰ̓ ἄλλα, ὡς ἔφαμεν εἰς τὸ αὐτό. 83. Παγκάρπυ δάφνης] μὴ λάβῃς εἰς τῦτο ἔξωθεν τὸ ἀπὸ, ἀλλὰ πρὸς τὸ πολυςεφὴς, ἐςὶν ἡ γενικὴ.

SCHOL. INED. 80. Ἐντύχῃ τινὶ] ὥσπερ παρὰ τοῖς Αἰολεῦσι τὸ ὅντινα κοινόν ἐςι κατὰ γένος, ὕτω ϰ̓ παρα τοῖς Ἀττικοῖς τὸ του ϰ̓ τὸ τῳ κοινῶς λέγεται· ὗτε τυ κλύων σάλπιγγος· ϰ̓ τυ χρείας. ϰ̓ ἐντύχῃ γέ τῳ. Τὸ τινὶ ϰ̓ ἐπὶ ἀρσενικῦ ϰ̓ ἐπὶ θηλυκῦ λαμβάνεται. τινὶ οὖν ὤφειλεν εἰπεῖν· ἀλλὰ διότι λαμβάνεται ϰ̓ τὸ τῳ ἀντὶ τῦ τινὶ ἔθηκεν. ὕτω ϰ̓ ἔςι τῶν Ἀττικῶν. 82. Οἱ γὰρ ἀπὸ τῦ μαντείυ ἐρχόμενοι, δάφνῃ ἦσαν ἐςεμμένοι, αὕτη γὰρ ἦν φίλη τῷ Ἀπόλλωνι κατὰ τὸν μῦθον. 84. Ἀντὶ διάςημα ἀπέχει σύμμετρον ὥςε ἀκύειν τῦ λόγυ ἡμετέρυ δηλονότι. Ἐπὶ τῦ διαςήματος ὀφείλων θεῖναι τὸ σύμμετρον, ὁ δὲ ἐπὶ τῦ προσώπυ τίθησιν ἀντιςρόφως· τὸ σχῆμα δὲ τύτυ τῦ λόγυ ϰ̓ τῷ πεζῷ λόγῳ σύνηθες, ὥσπερ καὶ τὸ ταχὺς ἦλθεν.



Digitized by Google

Τίν' ἡμῖν ἥκεις τοῦ θεοῦ φήμην φέρων;
Κρ. Ἐσθλήν. λέγω γὰρ καὶ τὰ δύσφορ', εἰ τύχοι
Κατ' ὀρθὸν ἐξελθόντα, πάντ' ἂν εὐτυχεῖν.
Οι. Ἔστιν δὲ ποῖον τοὔπος; οὔτε γὰρ θρασὺς,
Οὔτ' οὖν προδείσας εἰμὶ τῷ γε νῦν λόγῳ.
Κρ. Εἰ τῶνδε χρῄζεις πλησιαζόντων κλύειν,
Ἕτοιμος εἰπεῖν, εἴτε καὶ στίχειν ἔσω.
Οι. Ἐς πάντας αὔδα. τῶνδε γὰρ πλέον φέρω
Τὸ πένθος ἢ καὶ τῆς ἐμῆς ψυχῆς πέρι.
Κρ. Λέγοιμ' ἂν οἷ' ἤκουσα τοῦ θεοῦ πάρα.
Ἄνωγεν ἡμᾶς Φοῖβος ἐμφανῶς ἄναξ,
Μίασμα χώρας, ὡς τεθραμμένον χθονὶ
Ἐν τῇδ', ἐλαύνειν, μηδ' ἀνήκεστον τρέφειν.

87. Ἐσθλὴν. λέγω γὰρ] ὁ μὲν Οἰδίπους τίς εἴη ὁ χρησμὸς ἐπυνθάνετο, ὁ δὲ οὐκ εὐθὺς αὐτὸ τὸ ῥητὸν ψιλὸν εἶπεν. ἀπὸ γὰρ τῶν εὐφήμων ἄρξασθαι θέλει· ὁ δὲ νοῦς, λέγω γὰρ πάντα ἂν εὐτυχεῖν τὴν πόλιν, εἰ καὶ τὰ δύσφημα τύχοι ἂν κατ' ὀρθὸν ἐξελθόντα. τουτέστιν, εἰ τὰ ἄγνωστα γνωσθείη, τὸ τίς ἐστιν ὁ φονεὺς Λαΐου. οὐδὲν γὰρ χαλεπὸν ἔνι ἐν τῷ χρησμῷ, ἀλλ' ἀγνοεῖται μόνον τὸ ὑπ' αὐτοῦ ῥηθέν. Ib. Καὶ τὰ δύσφορ', εἰ τύχοι] καὶ τὰ χαλεπὰ εἰ τύχοι κατ' ὀρθὸν προϊόντα, πάντα εὐτυχεῖν ἡμᾶς λέγω. 89. Ἔστι δὲ ποῖον τοὔπος;] ὅτι ἀσαφῆ τὸν λόγον εἶπεν, ἔτι ἀξιοῖ αὐτοῦ τοῦ ῥητοῦ ἀκοῦσαι. μέχρι γὰρ νῦν οὔτε θαρσήσας, οὔτε ἔμφοβός εἰμι, τῶν ὑπό σου ἀκούσας. 93. Ἐς πάντας αὔδα] ἀξίως τοῦ βασιλικοῦ ἤθους δημοσίᾳ φράζειν κελεύει, ἅμα μὲν, ἐπεὶ μηδὲν ὑποπτεύων περὶ ἑαυτοῦ, οἴεται καὶ θεοφιλὴς εἶναι· ἅμα δὲ καὶ ὑπὲρ τοῦ ἐν μέσῳ ῥηθέντων ἀκουσθῆναι τὰ τῆς ἀναζητήσεως. αὔξει δὲ ὁ ποιητὴς τὸ ὡς εὐνοϊκὸν ἦθος τοῦ Οἰδίποδος, ὅπως αὔξοιτο τὰ τῆς τραγῳδίας, ὕστερον αἰτίου αὐτοῦ τῶν κακῶν ἀναφαινομένου. 93, 94. Πλέον φέρω τὸ πένθος] περὶ τούτων πλέον ἀγωνίζομαι ἢ περὶ τῆς ἐμαυτοῦ ψυχῆς. 95. Λέγοιμ' ἂν οἷ' ἤκουσα] ὅτι πολλάκις ἐκπίπτουσι λοξοὶ χρησμοί. 96. Ἐμφανῶς] ἵνα μὴ γένηται ἀφορμὴ τοῦ παραπέμψασθαι τοὺς χρησμοὺς, οὕτως εἶπεν.

ΣΧΟΛ. ΤΡΙΚΛ. 89. Οὔτε γὰρ θρασὺς] τὸ θρασὺς εἶπε διὰ τὸ ἐσθλὴν, καὶ τὸ, πάντ' ἂν εὐτυχεῖν. τὸ δὲ προδείσας, διὰ τὸ δύσφορα. 94. Τὸ πένθος] τὸ τῶνδε· πρὸς τὸ πένθος συναπτέον, οὐ πρὸς
τὸ



Digitized by Google

Quod nobis affers *a* Deo nuncium?
*Cr*. Bonum. Dico enim et gravia, si modo
Rectè curentur, omnia fore prospera.
*Oe*. Quale, *quæso*, est quod dicis? neque enim fi-
Neque adeò metum hisce ex dictis *capio*. (duciam
*Cr*. Si hisce velis adstantibus audire,
Paratus *sum* loqui, vel etiam ire intrò.
*Oe*. Coram omnibus dic; *pro* his enim plus capio
Doloris, quàm pro meâ etiam ipsius animâ.
*Cr*. Dicam igitur, quæ audivi a Deo.
Jussit nos Apollo manifeste Rex
Piaculum regionis hujus, utpote nutritum terrâ
In hâc, expellere, neque insanabile malum alere.

τὸ πλέον. τὸ γὰρ πλέον πρὸς τὸ ἢ ἔχει τὴν δύναμιν. οὕτω, Φέρω γὰρ τῶνδε τὸ πένθος, ἤγουν ὑπὲρ τούτων πενθῶ πλέον ἢ περὶ τῆς ἐμῆς ψυχῆς. ἄξιος δὲ βασιλέως καὶ προστάτου ὁ λόγος οὗτος. 95. Λέγοιμ' ἂν] ἰστέον ὅτι Κρέων παρ' Ἀπόλλωνος μαθὼν ἀκριβῶς ὅτι Οἰδίπους ἦν ὁ τοῦ λοιμοῦ αἴτιος, φονεύσας τὸν πατέρα Λάϊον, καὶ ἀνόμως συνὼν τῇ μητρὶ, ἵνα μὴ δόξῃ αὐτῷ ἐπαχθὴς, κατὰ πρόσωπον ἐλέγχων, καὶ ἅμα δεδιὼς τὸ τῆς ἀρχῆς μέγεθος, ἵνα μή τι κακὸν ἐξ αὐτοῦ πάθῃ, ἐσκιαμεμιγμένως ταῦτά φησι. μαρτύριον δὲ ὅτι σύνοιδε, τὸ, λέγω γὰρ καὶ τὰ δύσφορ', εἰ τύχοι. 98. Μηδ' ἀνήκεστον] ἤγουν ἀθεράπευτον, λέγει δὲ τοῦτο, οὐχ ὅτι τὸ μίασμα θεραπείας ἐδεῖτο, ἀλλ' ὅτι ἡ τοῦδ' ἀπέλασις θεραπείαν τοῖς ἄλλοις εἶχεν.

¶ Σχῆμ. Τρικλ. 87. Ἐσθλήν. λέγω γὰρ] ἄφιξις Κρέοντος ἐκ τοῦ μαντείου, καὶ διήγησις ὧν ὁ θεὸς ἔχρησεν.

SCHOL. INED. 87. Εἰ τύχοι ἐξελθόντα. ἤγουν ἐξέλθοι εἰ τελεσθείη. 89. Ποῖον ἔπος. οὐ γὰρ ἐν τῷ νῦν λόγῳ χαίρω ἢ πάλιν φοβοῦμαι. τὸ ἔπος, τοὔπος. τὸ ἔλαιον, τοὔλαιον. τὸ ἐμὸν, τοὐμόν. τὸ ἔδαφος, τοὔδαφος. τὸ ἄμεινον, τἄμεινον. 92. πρὸς πάντας αὔδα] ἐνώπιον πάντων λέγε. 96. διπλῶς γράφεται ἀνώγω, καὶ ἀνωγέω ἀνωγῶ. 98. ἀθεράπευτον. ἀπὸ τοῦ α στερητικοῦ μορίου, καὶ τοῦ ἄκος ἡ θεραπεία. 100. πῶς καθαῖραι τὸ μίασμα. ἀντὶ τοῦ συμφέροντος πῶς καθαίρωμεν τὸ μίασμα, ἀνδρηλατοῦντες ἤγουν φονεύοντες. Καὶ διὰ φόνου πάλιν λύοντες ἤγουν καθαίροντας φόνον.

Οι. Ποίῳ καθαρμῷ; τίς ὁ τρόπος τῆς ξυμφορᾶς;
Κρ. Ἀνδρηλατοῦντας, ἢ φόνῳ φόνον πάλιν
Λύοντας, ὡς τόδ' αἷμα χειμάζον πόλιν.
Οι. Ποίου γὰρ ἀνδρὸς τήνδε μηνύει τύχην;
Κρ. Ἦν ἡμῖν, ὦ 'ναξ, Λάϊός ποθ' ἡγεμὼν
Γῆς τῆσδε, πρὶν σε τήνδ' ἀπευθύνειν πόλιν.
Οι. Ἔξοιδ' ἀκούων· οὐ γὰρ εἰσεῖδόν γέ πω.
Κρ. Τούτου θανόντος, νῦν ἐπιστέλλει σαφῶς
Τοὺς αὐτοέντας χειρὶ τιμωρεῖν τινάς.
Οι. Οἱ δ' εἰσὶ ποῦ γῆς; ποῦ τόδ' εὑρεθήσεται
Ἴχνος παλαιᾶς δυστέκμαρτον αἰτίας;
Κρ. Ἐν τῇδ' ἔφασκε γῇ. τὸ δὲ ζητούμενον,
Ἁλωτόν· ἐκφεύγει δὲ τἀμελούμενον.

101. Ὡς τόδ' αἷμα χειμάζον] Ἀττικῶς ἀντὶ τοῦ αἵματος χειμάζοντος τὴν πόλιν τοῦ Λαΐου. 104. Πρίν σε τήνδ' ἀπευθύνειν] πρὸ τοῦ κυβερνᾶν σε τήνδε τὴν πόλιν. τὸ εὐθύνειν ϗ τὸ ἀπευθύνειν ἐπὶ τῶν ὀρθουμένων λοξῶν λέγεται, ϗ ἐπὶ τῶν κυβερνωμένων νεῶν· ϗ ἀπὸ τούτων κατὰ μεταφορὰν, ϗ ἐπὶ τοῦ κολάζειν, ϗ ἐπὶ τῶν ἄλλως διοικουμένων, καθ' ὃ λέγεται ἐνταῦθα. 106. Ἐπιστέλλει] ἐντέλλεται, ὑποτίθεται. 107. Τοὺς αὐτοέντας] τοὺς φονέας τούτου τιμωρεῖσθαι. 109. Δυστέκμαρτον] δυσκατέργαστον, δυσεύρετον, δυσκατάληπτον. εἴρηται δὲ ἀπὸ τῶν κυνῶν τῶν τὸ ἴχνος σκοπεύντων. 111. Ἁλωτὸν] ὥστε ϗ εὐχερῶς μὴ εἰς πολλὰ πλανωμένους ἐξευρεῖν. ἀπὸ κοινοῦ δὲ τὸ ἔφασκε. λέγει δὲ τὸ πρᾶγμα. Ib. Ἐκφεύγει] λανθάνει. ϗ ταῦτα ἀπὸ τῶν θηρίων λέγεται τῶν ἁλισκομένων, ἢ ἐκφευγόντων.

ΣΧΟΛ. ΤΡΙΚΛ. 100. Ἀνδρηλατοῦντας] πρὸς τὸ ἐλαύνειν ἔχει τὴν δύναμιν. πῶς δ' ἄνω ἐλαύνειν εἶπε, νῦν ἄμφω λέγει ἀνδρηλατοῦντας ἢ φόνῳ μόνον πάλιν λύοντας. ϗ φαμὲν ὡς ϗ τὸ φονεῦσαι τὸν τοῦ Λαΐου φονέα, ἀπέλασις τοῦ μιάσματος ἦν. 101. Ὡς τόδ' αἷμα] ἤγουν δι' οὗ τὸ μίασμα γέγονε· λέγει δὲ τὸν φόνον τοῦ Λαΐου. τὸ δὲ χειμάζον, ἀντὶ τοῦ κλυδωνίζον ϗ διαφθεῖρον, Ἀττικῶς τέθειται, ἀντὶ τοῦ χειμάζοντος ϗ διαφθείροντος τοῦ αἵματος ϗ τοῦ φόνου τοῦ Λαΐου τὴν πόλιν. 107. Τιμωρεῖν τινὰς] τὸ τινὰς οὐ πρὸς τὸ τιμωρεῖν (ὡς φασί τινες) ἀλλὰ πρὸς τὸ αὐτοέντας ἔχει τὴν δύναμιν, οὕτως, ἐπιστέλλει ὁ Ἀπόλλων τιμωρεῖν ϗ κολάζειν τοὺς αὐτοέντας χειρὶ, ἤγουν τοὺς αὐτόχειράς τινας.



Digitized by Google

*Oe.* Quâ expiatione? Quis est calamitatis modus?
*Cb.* In exilium ut agamus, aut nece necem iterum
Solvamus; nam sanguis hic perturbat civitatem.
*Oe.* Cujus hominis de cæde loquitur hæc *Deus*?
*Cb.* Erat nobis, O Rex, Laïus quondam princeps
Terræ hujus, priusquam tu hanc regeres urbem.
*Oe.* Novi ex auditu, non enim vidi unquam.
*Cb.* Hujus defuncti jam mandat *Apollo* clarè
Ut occisores puniamus quosdam.
*Oe.* Ubi gentium illi sunt? ubi deprehendetur
Vestigium veteris occultum criminis?
*Cb.* In hac dicebat regione. At quod quæritur
Potest inveniri, effugit verò quod negligitur.

εἰ δ' εἴποις πῶς, τὸ μὲν αὐτόεντας ὡρισμένον εἰπὼν, μετὰ τοῦτο τίθησι τὸ τινὰς ἀόριστον· φαμὲν ὅτι διὰ τοῦτο οὕτω λέγει, διότι τὸ μὲν ὑπό τινων ἀνῃρῆσθαι Λάϊον, φανερὸν ἦν, τίνες δ' οἱ φονεῖς ἦσαν, τοῦτ' ἦν ἀφανές. 109. Δυστέκμαρτον] ἤγουν δυσεύρετον, ἀφανές. λέγει δὲ ἀπὸ μεταφορᾶς τῶν κυνῶν τῶν τὸ ἴχνος σκοπούντων. 111. Ἀμελούμενον] ἤγουν καταλαμβανόμενον διαδιδράσκει· καὶ ταῦτα δὲ ἀπὸ τῶν θηρίων λέγεται τῶν ἁλισκομένων ἢ ἐκφευγόντων.

SCHOL. INED. 101. Τὸ γὰρ ἐρωτηματικὸν ἤγουν τὸν συμβεβηκότα τοῦτον φόνον, ποίου ἀνδρὸς δηλοῖ εἶναι· τουτέστι τίνα λέγει παθεῖν τοῦτον τὸν φόνον. 104. Ἀπευθύνω. τὸ ὀρθῶ. ἐπὶ τῆς ἀρχῆς καὶ ἐπὶ τοῦ κανόνος, ὡς ὁ κανὼν ἀπευθύνει τὰ ἐξισάζοντα, ἀφαιρῶν τὰ περιττά. ἀπευθύνω καὶ τὸ ἀπὸ εὐθύνης ποιῶ. ἤτοι ἀνεύθυνον· ὑπευθύνω δὲ τὸ τιμωροῦμαι, τὸ ὑπευθύνην ποιῶ. εὐθύνη δὲ ἡ τιμωρία. Τὸ εὐθύνον καὶ τὸ ἀπεύθυνον ἐπὶ τῶν ὀρθουμένων λοξῶν λέγεται, καὶ ἐπὶ τῶν κυβερνωμένων νεῶν. καὶ ἀπὸ τούτων κατὰ μεταφορὰν, καὶ ἐπὶ τοῦ κολάζειν. καὶ ἐπὶ τῶν ἄλλως διοικουμένων, καθὸ λέγεται ἐνταῦθα. 108. Ποῦ εὑρεθήσεται αὕτη ἡ αἰτία δυσδιάκριτος οὖσα. 109. ἀπὸ τοῦ τεκμαίρομαι τὸ στοχάζομαι. Ἴχνος δυστέκμαρτον ἀντὶ τοῦ σημεῖον δυσεύρετον. λέγεται δὲ, ἀπὸ τῶν κυνῶν τῶν τὸ ἴχνος σκοπούντων. Ζητῶ, τὸ ἐξετάζω καὶ τὸ ἐρευνῶ. ζητεῖται, τυγχάνει, εὑρίσκει. οὗ δὲ ἀμελεῖ οὐχ εὑρίσκει ἀποτυγχάνει. καταλαμβανόμενον διαδιδράσκει· καὶ ταῦτα ἀπὸ τῶν θηρίων λέγεται τῶν ἁλισκομένων ἢ ἐκφευγόντων.



Digitized by Google

Οἰ. Πότερα δ' ἐν οἴκοις ἢ 'ν ἀγροῖς ὁ Λάϊος,
    Ἢ γῆς ἐπ' ἄλλης τῷδε συμπίπτει φόνῳ;
Κρ. Θεωρὸς (ὡς ἔφασκεν) ἐκδημῶν, πάλιν
    Πρὸς οἶκον οὐκέθ' ἵκεθ' ὡς ἀπεστάλη.
Οἰ. Οὐδ' ἄγγελός τις, οὐδὲ συμπράκτωρ ὁδοῦ
    Κατεῖδ' ὅτου τις ἐκμαθὼν ἐχρήσατ' ἄν;
Κρ. Θνήσκουσι γάρ, πλὴν εἷς τις, ὃς φόβῳ φυγὼν,
    Ὧν εἶδε, πλὴν ἓν, οὐδὲν εἶχ' εἰδὼς φράσαι.
Οἰ. Τὸ ποῖον; ἓν γὰρ πόλλ' ἂν ἐξεύροι μαθεῖν,
    Ἀρχὴν βραχεῖαν εἰ λάβοιμεν ἐλπίδος.
Κρ. Λῃστὰς ἔφασκε συντυχόντας, οὐ μιᾷ
    Ῥώμῃ κτανεῖν νιν, ἀλλὰ σὺν πλήθει χερῶν.
Οἰ. Πῶς οὖν ὁ λῃστής, εἴ τι μὴ ξὺν ἀργύρῳ.

112. Πότερα δ' ἐν οἴκοις] ὡς συνετὸς ὁ Οἰδίπους ζητεῖ τὰ καθ' ἕκαστα, εἶτα οὕτως ἐπὶ τὴν ἀναζήτησιν ἔξεισι μεταπεμψάμενος τοὺς πολίτας, ἵνα καὶ ἀφορμὴ τῆς εἰσόδου γένηται. θεωρὸς δὲ ὁ πρὸς τοὺς θεοὺς διὰ χρησμὸν ἀπερχόμενος. 114. Ἐκδημῶν πάλιν πρὸς οἶκον] οὐκέτι πάλιν ἀφίκετο, ἀντὶ τοῦ, ἐπανέστρεψε πρὸς οἶκον. 115. Ὡς ἀπεστάλη] καθὰ ἀπεδήμησεν. ἀπεστάλη τις ὑπό τινος, ἀντὶ τοῦ ἐπέμφθη· ἐνταῦθα δὲ ἀντὶ τοῦ ἀπῆλθε καὶ ἀπεδήμησεν. 116. Οὐδ' ἄγγελός τις] οἷον, οὐδὲ ἀκόλουθος, παρ' οὗ τις ἂν μάθοι καὶ χρήσαιτο πρὸς ζήτησιν. 118. Θνήσκουσι γὰρ] οἷον, πάντες οἱ ἀκολουθοῦντες αὐτῷ ἀνῃρέθησαν, δηλονότι ὑπεραγωνιζόμενοι τοῦ δεσπότου, πλὴν ἑνός· ὃς διὰ δειλίαν ἐκφυγὼν, οὐδὲν ἀκριβὲς εἶχεν εἰπεῖν, πλὴν ὅτι ὑπὸ λῃστῶν ἀνῃρέθη. ἄκρως δὲ ὑπέγραψε τὸ ἦθος τῶν δειλῶν. ἅμα μὲν γὰρ ἐπαίρουσι τὰ πεπραγμένα, ἵνα μὴ δόξωσι διὰ δειλίαν φυγεῖν· ἅμα δὲ καὶ ἐν παραφρονήσει ὄντες, τὰ βραχέα μείζω δοξάζουσι. καλῶς δὲ ᾠκονόμηται, ἵνα τέως, μὴ ἐλέγχοιτο τὸ κατὰ τὸν Οἰδίποδα. 122. Οὐ μιᾷ ῥώμῃ] ἀντὶ τοῦ, οὐχ ἕνα μόνον, ἀλλὰ καὶ πολλούς. 124. Εἴ τι μὴ ξὺν ἀργύρῳ] ἀντὶ τοῦ, εἰ μὴ ἐπὶ κέρδει. τείνει δὲ τοῦτο εἰς Κρέοντα, ὡς αὐτοῦ συνθεμένου τῷ τοῦ Λαΐου φονεῖ, διὰ τὴν βασιλείαν. Ἐνθένδε οὖν, ἐκ τῆς πόλεως ταύτης.

ΣΧΟΛ. ΤΡΙΚΛ. 112. Πότερα δ' ἐν οἴκοις] τὸ πότερα οὐ πρὸς τὸ συμπίπτει ἔχει τὴν δύναμιν, ἀλλὰ πρὸς τὸ οἴκοις καὶ τὸ ἀγροῖς καὶ τὸ ἐπ' ἄλλης γῆς. τὸ γὰρ πότερα ἀντὶ τοῦ ποῖον. 114. Θεωρὸς] θεωροὺς φασὶ τοὺς εἰς τὰ μαντεῖα ἀπιόντας τοῦ μαθεῖν ἕνεκα περὶ ὧν αὐτοῖς

ἐστ

*Oe.* In ædibusne an in agris Laïus
An terrâ in aliâ in hanc incidit cædem?
*Cb.* Delphos (ut aiebat) profectus rursus
Domum ampliùs non rediit, ex quo abiit semel.
*Oe.* Nec nuncius quispiam, nec comes itineris
Conspexit, unde aliquis *rem* queat exquirere?
*Cb.* Perire omnes, præter unum; nescio quem, qui metu fugiens
Nihil *eorum*, qui vidit, præter unum potuit dicere.
*Oe.* Quid *illud unum*? Unum enim multa invenire [possit.
Initium si parvum caperemus spei.
*Cb.* Latrones aiebat occurrisse, qui non unâ
Manu necarunt eum, sed manuum copiâ.
*Oe.* Qui latro, nisi argento fuisset

ἐστι ζήτησις. ἀπῆλθεν οὖν ὁ Λάϊος εἰς Ἀπόλλω, χρησόμενος περὶ τοῦ ἐκτεθέντος παιδὸς, εἰ ἄρα ζώη. ὅστις οὐκ ἀφίκετο ὡς ἀπεστάλη, ἤγουν οὐχ ὑπέστρεψεν εἰς τὸν οἶκον ὥσπερ ἀπεδήμησεν. 117. Ἐχρήσατ' ἄν] ἤγουν, οὐκ εἶδέ τις τῶν συνόντων τότ' ἐκείνῳ, ἀφ' οὗ τις ἐκμαθὼν καὶ ἀκούσας, εἶχεν ἂν χρήσασθαι τῷ ἀκουσθέντι, ἤγουν κατενόησεν ἂν τὸν πράξαντα τὸν φόνον. 121. Ἀρχὴν βραχεῖαν] ἤγουν εἰ λάβοιμεν μικρὰν ἀρχὴν ὥστ' ἐλπίζειν. εἰκότως δ' εἶπε τὸ ἐλπίδος. ἡ γὰρ μικρὰ ἀφορμὴ, μειζόνων ἐλπίδα παρίστησιν. 124. Εἴ τι μὴ ξὺν ἀργύρῳ.] ἤγουν, εἰ μήτις τῶν πολιτῶν διέφθειρεν αὐτὸν, χρήμασι πείσας πρὸς τὸν κατ' ἐκείνου φόνον.

SCHOL. INED. 114. Πάλιν πρὸς οἶκον. ἤγουν οὐκ ἔτι πάλιν ἀφίκετο· ἀντὶ τοῦ ἐπανέστρεψε πρὸς οἶκον. ὡς ἀπεστάλη ἀντὶ τοῦ καθὸ ἀπεδήμησεν. ἀπεστάλη τίς ὑπό τινος, ἀντὶ τοῦ ἐπέμφθη. ἐνταῦθα δὲ, ἀντὶ τοῦ ἀπῆλθε καὶ ἀπεδήμησε. Ib. Θεωρὸς, ὁ εἰς τὸ χρηστήριον πορευόμενος, ἐξ οὗ καὶ θεωρὸς ναῦς· αὕτη κατεσκεύαστο καὶ ἔφερε τὴν θεωρίαν. θεοπρόπος δὲ, ὁ μάντις. καταχρηστικῶς καὶ θεοπρόπος ὁ θεωρὸς, ὡς τὸ θεοπρόπον ἴαλλ' ἤτοι θεωρόν. θεατὴς δὲ, ὁ θεώμενος. κυρίως ἐπὶ θεάτρου. 121. Ἤγουν εἰ λάβοιμεν μικρὰν ἀρχὴν ὥστε ἐλπίζειν. Ληΐζω, ληΐσω, ληϊστὸς καὶ ληστὸς γράφεται καὶ ληϊστὴρ ποιητικῶς καὶ ληΐστωρ. ἐκ τούτου καὶ ληστρικός. Τὸ ὅλον ἐνθύμημα, οὐχ εἷς ληστὴς ἐφόνευσεν, ἀλλὰ πολλοί. τοῦτο γάρ ἐστι τὸ σὺν πλήθει χερῶν· Πῶς ἂν ἐτόλμησεν ὁ ληστὴς φονεῦσαι αὐτὸν, εἰ μὴ δῶρα ἔλαβεν ἔκ τινος τῶν Θηβαίων;

'Επράσσετ', ἐνθένδ' ἐς τόδ' ἂν τόλμης ἔβη;
Κρ. Δοκοῦντα ταῦτ' ἦν. Λαΐου δ' ὀλωλότος
Οὐδεὶς ἀρωγὸς ἐν κακοῖς ἐγίνετο.
Οἰ. Κακὸν δὲ ποῖον ἐμποδὼν, τυραννίδος
Οὕτω πεσούσης, εἶργε τοῦτ' ἐξειδέναι;
Κρ. Ἡ ποικιλῳδὸς Σφὶγξ τὰ πρὸς ποσὶ σκοπεῖν,
Μεθέντας ἡμᾶς τἀφανῆ, προσήγετο.
Οἰ. Ἀλλ' ἐξ ὑπαρχῆς αὖθις αὔτ' ἐγὼ φανῶ.
'Επαξίως γὰρ Φοῖβος, ἀξίως δὲ σὺ
Πρὸς τοῦ θανόντος τήνδ' ἔθεσθ' ἐπιστροφήν.
Ὥστ' ἐνδίκως ὄψεσθε κἀμὲ σύμμαχον,
Γῇ τῇδε τιμωροῦντα, τῷ θεῷ θ' ἅμα.
Ὑπὲρ γὰρ οὐχὶ τῶν ἀπωτέρω φίλων,
Ἀλλ' αὐτὸς αὑτοῦ τοῦτ' ἀποσκεδῶ μύσος.
Ὅστις γὰρ ἦν ἐκεῖνον ὁ κτανὼν, τάχ' ἂν
Κἄμ' ἂν τοιαύτῃ χειρὶ τιμωρεῖν θέλοι.
Κείνῳ προσαρκῶν οὖν, ἐμαυτὸν ὠφελῶ.

126. Δοκοῦντα ταῦτ' ἦν.] καὶ τότε (φησὶ) ταῦτα ὑπενοεῖτο, ὅτι ἐπιβεβούλευται. 130. Ἡ ποικιλῳδὸς] ἠνάγκαζεν ἡμᾶς ἡ Σφὶγξ μεθέντας τὰ ἀφανῆ τὰ κατὰ τὸν φόνον τοῦ βασιλέως. τοῦτο γὰρ ἀφανὲς, τὸ παρὰ ποσὶ κακὸν σκοπεῖν. Ἢ οὕτως, ἡ Σφὶγξ ἠνάγκαζεν ἡμᾶς, μεθέντας τὸ σκοπεῖν τὰ κατὰ τὸν φόνον, τὰ πρὸς ποσὶν ἀφανῆ ζητεῖν. τουτέστι τὰ ἀφανῆ αἰνίγματα. 132. Ἀλλ' ἐξ ὑπαρχῆς] αὖθις ζητεῖν τὰ παρακείμενα ἡμῖν. οἷον, ἀναδραμοῦμαι ἐπὶ τὴν ἀρχὴν τοῦ πράγματος, καὶ εἰς φῶς ἄξω. ἴσως δὲ λεληθότως καὶ τὸ ἕτερον ἔγκειται ἐν τῷ ἐγὼ φανῶ, ὅπερ οὐ φησὶ μὲν ὁ Οἰδίπους, μανθάνει δὲ ὁ ἀκροατὴς, ἐπεὶ τὸ πᾶν ἐν αὐτῷ φανήσεται. 134. Τήνδ' ἔθεσθ' ἐπιστροφὴν] γράφεται, τήνδε θεσπίζει γραφήν. 140. Τιμωροῦντα] προσβοηθοῦντα. 137. Ὑπὲρ γὰρ οὐχὶ τῶν ἀπωτέρω φίλων] οὐ μόνον ὑπὲρ τοῦ ἀνῃρημένου βασιλέως ἄξιον ποιήσασθαι τὴν ἀναζήτησιν, ἀλλὰ καὶ ὑπὲρ αὐτοῦ ἐμοῦ. ὁ γὰρ ἐκείνῳ ἐπιχειρήσας, ἴσως κἀμοὶ ἐπιβουλεύσει. πεπλαγίασται δὲ πάλιν ὁ λόγος, καὶ τὴν ἀλήθειαν αἰνίττεται τῷ θεάτρῳ, ὅτι αὐτὸς δράσας τὸν φόνον ὁ Οἰδίπους, καὶ



Digitized by Google

Corruptus ab aliquo cive, eò audaciæ procederet?
*Cb.* Sic erat ſuſpicio. Sed Laïo pereunti
Nullus in malis vindex aſtitit.
*Oe.* Quid verò mali obſtitit, tyranno
Sic interemto, cur non fieret inquiſitio?
*Cb.* Perplexa vates Sphinx quæ ante pedes erant
Diſpicere, omiſſis incertis, adegit.
*Oe.* At ab initio rurſus hæc ego proferam,
Rectè enim Apollo, rectè et tu
Pro mortuo curam hanc ſuſcepiſtis.
Quare jure me quoque videbitis adjutorem,
Terræque huic ſuccurrere, Deoque ſimul.
Non enim pro remotioribus amicis,
Sed ipſe pro meipſo hoc amovebo ſcelus.
Qui enim illum occidit, forſitan
Et me eâdem manu occidere ſtuderet.
Illum igitur dum juvo, mihi ipſi proſum.

ἑαυτὸν τιμωρήσεσθαι. 141. Κείνῳ προσαρκῶν] καὶ τοῦτο κινητικὸν τοῦ θεάτρου. τὰ γὰρ ἐναντία ἀποβήσεσθαι.

ΣΧΟΛ. ΤΡΙΚΛ. Τῷ θεῷ θ' ἅμα] ἤγουν τῷ Ἀπόλλωνι. βοηθήσω γὰρ καὶ τούτῳ, εἰ τὴν μαντείαν αὐτοῦ βεβαιώσαιμι, ζητήσας καὶ ἐξευρὼν τὸ μίασμα. 137. Ἀπωτέρω φίλων.] ἤγουν τοῦ πόῤῥω ἀφ' ἡμῶν γεγονότος Λαΐου. φίλον δὲ τοῦτον εἶπε, διὰ τὸ τὴν αὐτὴν ἐκείνῳ γυναῖκα λαβεῖν, καὶ διὰ τὸ τὴν αὐτὴν ἔχειν ἀρχὴν ἣν ἐκεῖνος.

¶ Σχήμ. Τρικλ. 132. Ἀλλ' ἐξ ὑπαρχῆς.] συγκατάθεσις Οἰδίποδος, ὥστε τὸν φόνον ἐκδικῆσαι Λαΐου.

SCHOL. INED. 130. Ἤγουν, τὰ ἄδηλα αὐτῆς αἰνίγματα. 131. Ἤγουν ἀναδραμὼν ἐπὶ τὴν ἀρχήν. 133. Πρόθεσις ἀντὶ ὑπὲρ προθέσεως. 135. Ὥστε ὄψεσθε καὶ ἐμὲ σύμμαχον, ἤγουν βοηθὸν, ἐν δίκῃ. σύμμαχος τῷ δεῖνι, ὡς πρόμαχος, ὑπέρμαχος. ἤγουν ποιοῦντα ἐμὲ τὰ ἀνήκοντα τῷ θεῷ. 137. Συνυπακούεται ἢ ὑπὲρ ἀπὸ κοινοῦ. ἵν' ᾖ, ἀλλ' αὐτὸς ὑπὲρ ἐμαυτοῦ. ἀποπέμψομαι, ἀποσκεδάσω. μύσος ὁ φόνος, μῖσος ἡ ἔχθρα. 140. τοιαύτῃ τόλμῃ χειρὸς, τοιούτῳ φόνῳ.

143. Ἵστα-

Digitized by Google

Ἀλλ' ὡς τάχιστα, παῖδες, ὑμεῖς μὲν βάθρων
Ἵστασθε, τούσδ' ἄραντες ἱκτῆρας κλάδους·
Ἄλλος δὲ Κάδμου λαὸν ὧδ' ἀθροιζέτω·
Ὡς πᾶν ἐμοῦ δράσοντος. ἢ γὰρ εὐτυχεῖς
Σὺν τῷ θεῷ φανούμεθ', ἢ πεπτωκότες —

Ιε. Ὦ παῖδες, ἱστώμεσθα· τῶνδε γὰρ χάριν
Καὶ δεῦρ' ἔβημεν ὧν ὅδ' ἐξαγγέλλεται·
Φοῖβος δ' ὁ πέμψας τάσδε μαντείας, ἅμα
Σωτήρ θ' ἵκοιτο, καὶ νόσου παυστήριος —

Χο. Ὦ Διὸς ἁδυεπὲς φάτι, τίς ποτε

143. Ἵστασθε] ἀνίστασθε. Ib. Ἱκτῆρας] τοὺς ἱκετευτικούς. 144. Ἄλλος δὲ Κάδμου λαὸν] πιθανὴ ἡ εἴσοδος τοῦ χοροῦ. σκέπτεσθαι γάρ φησι δεῖν μετὰ τοῦ δήμου περὶ τῶν πρακτέων. Ὦ παῖδες] ἔξεισιν ὁ ἱερεὺς πράξας δι' ὅπερ ἦλθεν. ἅμα δὲ καὶ ὑπὲρ τοῦ χώραν εἶναι ἑτέρῳ ὑποκριτῇ. 148. Ἐξαγγέλλεται] ἐξαγγέλλει. ἡ δὲ χρῆσις Ἀττική. 151. Ὦ Διὸς ἁδυεπὲς] κατὰ τὴν πρόσταξιν τοῦ βασιλέως πάρεισι πρεσβῦται τινὲς, ἐξ ὧν ὁ χορὸς συμπληροῦται. Διὸς δὲ ἡδυεπῆ φάτιν τὴν μαντείαν φησίν. ὁ γὰρ Ἀπόλλων ὑποφήτης δοκεῖ εἶναι τοῦ πατρὸς, καὶ παρ' ἐκείνου λαμβάνειν τὰς μαντείας, καὶ τοῖς ἀνθρώποις ἐκφέρειν, καὶ Ὅμηρος, Διὸς ἄγγελος ὅσσα δεδήει. λείπει δὲ ἡ ἀπὸ, ἵν' ᾖ, ἀπὸ τῆς Πυθῶνος. ἢ δι' ἀέρος διαδιδομένη. 151. Τίς ποτε τὰς πολυχρύσου] εἴτις ποτέ ἐστιν. ὅτι μὲν γὰρ πάρεστι λόγιον ἀπὸ τῆς Πυθῶνος, ἀκηκόασι, τὸ δὲ ῥητὸν αὐτοῦ ζητοῦσιν.

ΣΧΟΛ. ΤΡΙΚΛ. 142. Ὑμεῖς μὲν βάθρων] ἰστέον ὅτι ὁ τόπος ἔνθα ἡ ἐκκλησία ἐγένετο, βαθμοῖσιν ἦν κύκλῳ διειλημμένος ἄλλαις ἐπ' ἄλλαις, ἔνθα οἱ συνελθόντες πάντες καθήμενοι, ἀνεμποδίστως ἠκροῶντο τοῦ ἱσταμένου ἐν μέσῳ καὶ συμβουλεύοντος. 145. Ὡς πᾶν ἐμοῦ δράσοντος] ὅσον συμβάλλεται εἰς τὴν περὶ τοῦ μιάσματος ζήτησιν καὶ ἀπέλασιν, πᾶν μέλλω δράσειν. 146. Ἢ πεπτωκότες] κινδυνεύσαντες. τοῦτο δὲ λέγει, ὅτι εἰ μὲν εὑρήσομεν τὸ μίασμα καὶ ἀπελάσομεν, ἐπιπαύσεται ὁ λοιμός· εἰ δ' οὖν προχωρήσει ἀεὶ, καὶ ἡμᾶς ἐκτρέψει τελείως 151. Ὦ Διὸς ἁδυεπὲς] φασὶν Ἕλληνες τὴν Φάτιν θυγατέρα Διὸς, ὅθεν καὶ τὴν ἐξ Ἀπόλλωνος ἐλθοῦσαν αὐτοῖς μαντείαν περὶ τοῦ λοιμοῦ, Φάτιν Διὸς καλεῖ· ἡδυεπῆ δὲ ταύτην ὠνόμασεν, ὡς συντελοῦντα αὐτοῖς φέρουσαν. πολύχρυσον δὲ τὴν Πυθῶνα

Digitized by Google

At quam celerrimè vos quidem pueri è ſedibus
Surgite, ſublatis his ſupplicibus ramis. (*bis*
Alius autem *quiſpiam* Cadmi populum huc convocet;
Nam omnia ego facturus ſum. Aut enim beati,
Deo duce, erimus, aut cademus *funditùs*.
*Sa.* Surgamus, o pueri, hanc enim ob cauſam
Et huc venimus, quam hic commemorat.
At Apollo, qui miſit hæc oracula, pariterque
Servator adſit, et morbum auferat.

## MONOSTROPHICA.

*Cho.* O Jovis dulciſonum oraculum, quale denique

Πυθῶνα καλεῖ, διὰ τὸ ἐκ πλίνθων χρυσῶν δεδομῆσθαι τὸ Ἀπόλλωνος μαντεῖον, ἃς χιλίας αὐτῷ Κροῖσος ἀπέπομψεν. ἢ διὰ τὴν τῶν ἀναθημάτων πολυτέλειαν. τὸ δὲ τίς ἀντὶ τοῦ ποδαπὴ, ταχέως ποιήσεις ἀπαλλαγὴν τοῦ λοιμοῦ, ἢ μετὰ πολὺν χρόνον. τὸ δ' ἐκτέταμαι ἀντὶ τοῦ ἐκπέπληγμαι, παρ' ὅσον οἱ ἐκπλαγέντες, ἔκτασιν σώματος καὶ ἀκινησίαν, ἐν ὅσῳ χρόνῳ ἐκπλήττονται, πάσχουσι. τὸ δ' ἀμφὶ σοὶ, πρὸς τὸ πάλλων ἔχει τὴν δύναμιν, οὐ πρὸς τὸ ἁζόμενος, οὕτως· ἐκτέταμαι καὶ ἐκπέπληγμαι, πάλλων καὶ κινῶν ἀμφὶ σοὶ, ὦ Δήλιε ἰήϊε παιὰν, τὴν φρέν' ἐν δείματι φοβερὰν, ἁζόμενος καὶ σεβόμενός σε. τοῦτ' ἔστιν, ἐκπλήττομαι τῇ σῇ μαντείᾳ, καὶ μετὰ φόβου πρός σε τείνω τὸν νοῦν μου, δεόμενος ἀπαλλάξαι με τοῦ λοιμοῦ. εἰπέ μοι, ὦ ἄμβροτε καὶ θεία Φάτις καὶ Μαντεία, τέκνον τῆς χρυσέας καὶ λαμπρᾶς Ἐλπίδος, τί χρέος καὶ χρείαν ἐξανύσεις καὶ τελέσεις ἐμοί· (καὶ γὰρ χρεία πολλὴ ἦν τῆς ἀπαλλαγῆς τοῦ λοιμοῦ) ἢ νέον, ἢ ἐν περιτελλομέναις καὶ ἐπελθούσαις ὥραις. τοῦτ' ἔστι, νῦν παύσεις τὸν λοιμὸν, ἢ ὕστερον. δέον δ' εἰπεῖν νῦν, νέον εἶπε πρὸς τὸ χρέος. Ἐλπίδος δὲ τέκνον τὴν Μαντείαν καλεῖ, διότι πρῶτον ἐλπίζουσιν οἱ ἄνθρωποι εἰς Ἀπόλλωνα, ὡς φράσειε τί δεῖ ποιεῖν, εἶτα τὰς μαντείας δέχονται. κεκλόμενος καὶ ἐπικαλούμενος ἐρωτά σε, ὦ θεία Ἀθηνᾶ θύγατερ τοῦ Διός. τὸ δὲ κεκλόμενος πρὸς τὸ πάλλων καὶ τὸ ἁζόμενός ἐστι διὰ μέσου ῥηθέντος τοῦ τί μοι νέον, μέχρι τοῦ φάμα. οἱ πολλοὶ δ' ἀγνοοῦντες, κεκλομένῳ πρὸς τὸ τί μοι, γράφουσι· καὶ τὴν σὴν ἀδελφὴν Ἄρτεμιν (ἐκ Διὸς γὰρ καὶ αὐτὴ ὡς σὺ) τὴν γαιάοχον καὶ τὴν συνέχουσαν τήνδε τὴν γῆν, ἥτις θάσσει καὶ κάθηται εὐκλεᾶ καὶ ἔνδοξον θρόνον κυκλόεντ' ἀγορᾶς. τοῦτ' ἔστιν, ἥτις ἐν ἀγορᾷ ναὸν ἔχει κυκλο-

Τᾶς πολυχρύσου Πυθῶνος
Ἀγλαὰς ἔβας Θήβας,
Ἐκτέταμαι φοβερὰν φρένα,
Δείματι πάλλων,
Ἰήιε Δάλιε Παιὰν,
Ἀμφὶ σοὶ ἁζόμενος.
Τί μοι ἢ νέον
Ἢ περιτελλομέναις
Ὥραις πάλιν ἐξανύσεις χρέος,
Εἰπέ μοι ὦ χρυσέας τέκνον
Ἐλπίδος ἄμβροτε Φάμα·
Πρῶτά σε κεκλόμενος
Θύγατερ Διὸς
Ἄμβροτ' Ἀθάνα,

κυκλοτερῆ. καὶ ἑκηβόλοι καὶ τοξικὸν Φοῖβον, κεκλόμενος ἀπὸ κοινοῦ. νοεῖται δὲ τὸ ἀδελφειὰν, καὶ πρὸς τὸν Ἀπόλλωνα, εἰ καὶ πρὸ τοῦ εἰπεῖν κεῖνον, αὐτὴν προέθηκεν.

SCHOL. INED. 143. Ἀνίστασθε, ἀντὶ τοῦ ἀνάστητε, τοὺς κλάδους τῆς ἱκετηρίας ἀπάραντες· ἔστι δὲ κλάδος ἱκετήριος, κλὼν ἐλαίας ἐστεμμένος ἐρίοις, ὃ δὴ καὶ ἱκετηρίαν ἔλεγον. ἐλαία τὸ δένδρον· ἐλάα ὁ καρπός. πυρρὸν δὲ τὸ κύκυλζον *. διαφθείρομαι, ὁ μέλλων διαφθεροῦμαι. ὁ παρατατικῶς δὲ ἔφθορα, ἀλλὰ καὶ διέφθαρμαι. 147. Καὶ γὰρ χάριν τῶνδε δεῦρο ἐπορεύθημεν, ὧν οὗτος ἐπαγγέλλεται, ἤγουν ὑπισχνεῖται. 151. Ἡ δι' ἀέρος διαδιδομένη.

154. Ἐκτέταμαι] ἐκπέπληγμαι. Ib. Φορβερὰν φρένα] τὴν περίφοβον. καὶ Ἀλκαῖος, Ἐλάφω δὲ βρόμος ἐν στήθεσι φύει φοβερός· ἀντὶ τοῦ περίφοβος. 155. Δείματι πάλλων] ἀντὶ τοῦ παλλόμενος φόβῳ, ἀγωνιῶν. γράφεται καὶ πολλῷ. τοῦτο δὲ τοῖς πρὸ αὐτοῦ συναπτέον, ἀγωνιῶν τὴν φρένα ἐπὶ τοῖς ἀπὸ σοῦ χρησμοῖς, σεβόμενος τὰ ἀπὸ σοῦ εἰρημένα. 156. Ἰήϊε Δάλιε Παιὰν] διὰ μέσου τοῦτο. ἐπὶ δὲ τῶν παιάνων λέγεται τὸ ἰήϊος, ἐπεὶ τοιούτῳ μέλει ᾖδον τοὺς παιᾶνας. ἐπεὶ δὲ πρὸς τὸν Ἀπόλλωνα ᾔδοντο οἱ παιᾶνες, ἐλέγετο καὶ ὁ Ἀπόλλων ἰήϊος, ὡς ὑπὸ τοιούτου μέλους



Digitized by Google

Opulento admodum *a* Pythone
Splendidas adiisti Thebas?
Distrahor animo trepido
Metu palpitans
Medico, Delie, Pæan.
Te revereor *et colo:*
Quid mihi vel nunc rei
Vel volventibus
Horis rursus conficies?
Dic mihi, o aurea filia
Spei immortalis, Fama:
Primum Te invocanti
Filia Jovis
Immortalis Minerva,

μέλους ὑμνήμενος ὥσπερ εὔϊος ὁ Διόνυσος. καὶ ἐπὶ τοῦ παιᾶνος τὸ αὐτὸ τοῦτο συμβαίνει· λέγεται γὰρ παιὰν ὁ εἰς τὸν Ἀπόλλωνα ὕμνος, καὶ ἀπὸ τούτου καὶ ὁ Ἀπόλλων, καθ' ὃ καὶ ἐνταῦθα. δείκνυται δὲ καὶ ἐν τούτοις τοῦτο σαφέστερον, Ὑμνείω Παιᾶνα μέγαν θεὸν Ἀπόλλωνα. 159. Ἠ περιτελλομέναις ὥραις] εἰς τὸν ἑξῆς χρόνον προϊούσης τῆς ὥρας. ὁ δὲ νοῦς, τί μοι ἢ νῦν ἢ μετὰ χρόνον ἀνύσεις. 162. Ἐλπίδος ἄμβροτε φάμα] καλῶς. παρ' ὅσον ἐν ἐλπίδι τινὶ γινόμενοι οἱ ἄνθρωποι οὕτω φημίζουσι πρὸς τὸ λόγιον, παρ' ὅσον ὑπὸ ἐλπίδος καὶ χρησμοὺς αἰτοῦσιν ἀπὸ θεῶν. 163. Πρῶτά σε] γράφεται πρώταν γε. 164. Θύγατερ Διὸς] μεταβαίνει λοιπὸν εἰς τὸ ἐπικαλεῖσθαι τινὰς τῶν θεῶν.

SCHOL. INED. 156. Ἐπὶ τῶν παιαίκων λέγεται τὸ ἰήϊε. ἐπὶ τοιούτῳ μέλει ᾖδον τοὺς παιᾶνας· ἐπεὶ δὲ πρὸς τὸν Ἀπόλλωνα ᾖδοντο οἱ παῖδες [MS. παιᾶνες] ἐλέγετο καὶ Ἀπόλλων Ἰήϊος, ὡς ὑπὸ τοιούτου μέλους ὑμνούμενος, ὥσπερ Εὔϊος, ὁ Διόνυσος. καὶ ἐπὶ τοῦ παιᾶνος, τὸ αὐτὸ τοῦτο συμβαίνει. λέγεται γὰρ παιὰν, ὁ εἰς τὸν Ἀπόλλωνα ὕμνος. καὶ ἀπὸ τούτου καὶ ὁ Ἀπόλλων. καθὸ λέγεται ἐνταῦθα. δείκνυται δὲ καὶ ἐν τούτῳ τοῦτο σαφέστερον, ὑμνείω Παιᾶνα μέγαν θεὸν Ἀπόλλωνα. 159. Κατὰ τὰς περιτελλομένας ὥρας, τὰς κατὰ κύκλον ἐπιούσας. 167. Ἤγετο κέκλομαι. ἡ μετοχὴ δοτικὴ ἀντὶ ἐπιῤῥήματος. ἔχεται δὲ τοῦτο ἐκ τοῦ Ὁμήρου.

Γαιάοχόν τ' ἀδελφεὰν
Ἄρτεμιν, ἃ κυκλόεντ' ἀγορᾶς
Θρόνον εὐκλεᾶ θάσσει,
Καὶ Φοῖβον ἑκαβόλον.
Ἰὼ, ἰώ.
Τρισσοὶ ἀλεξίμοροι προφάνητέ μοι,
Εἴποτε καὶ προτέρας ἄτας ὕπερ
Ὀρνυμένας πόλει ἠνύσατε
Ἐκτοπίαν φλόγα πήματος,
Ἔλθετε νῦν, ὢ πόποι.
Ἀνάριθμα γὰρ φέρω πήματα.
Νοσεῖ δέ μοι πρόπας στόλος.

166. Γαιάοχόν τ'] ἐπειδὴ ἡ αὐτή ἐστι τῇ Ἑκάτῃ. ἡ δὲ θεὸς αὕτη ἐν ταῖς ἀγοραῖς εἵλεῖται, ϗ τιμᾶται ἐν ταῖς τριόδοις. ἢ ἀντὶ τοῦ τὴν πολιοῦχον. ὥστε τὴν γῆν ἀντὶ τῆς πόλεως εἴληφεν. 168. Εὐκλεᾶ θάσσει] εὔκλεια Ἄρτεμις οὕτως παρὰ Βοιωτοῖς τιμᾶται. 169. Καὶ Φοῖβον] τάχα μὲν διὰ τὸ ἐπὶ λοιμῷ τὴν εὐχὴν γενέσθαι, ὧν αἴτιος εἶναι δοκεῖ· τάχα δὲ διὰ τὴν μαντείαν. 172. Καὶ προτέρας ἄτας] τῆς ἀπὸ τῆς Σφιγγός. τὸ δὲ ἠνύσατε ἀντὶ τοῦ ἐφθείρατε. ϗ Ὅμηρος "Ἠθήν "σ' ἐξανύω γε ϗ ὕστερον ἀντιβολήσας. 174. Ἐκτοπίαν] ξένην ϗ ἀλλόκοτον. ἢ ἠνύσατε αὐτὴν ἐκτοπίαν γενέσθαι. ὅ ἐστιν ἐκτὸς καὶ ἀπὸ τῶν τόπων τῆς πόλεως. Ib. Φλόγα πήματος] περιφραστικῶς, τὴν πημονὴν τὴν διάπυρον. 177. Πρόπας στόλος] ἡ πᾶσα δύναμις. ὁ πᾶς λαός.

ΣΧΟΛ. ΤΡΙΚΛ. 171. Τρισσοὶ ἀλεξ.] ἀντὶ τοῦ, ὦ Ἀθηνᾶ ϗ Ἄρτεμι ϗ Ἄπολλον προφαίνητέ μοι τρισσοὶ ἀλεξίμοροι ϗ βοηθοί. εἰ καί ποτε φλόγα πήματος ἠνύσατε, ἐτελέσατε τῇ πόλει ἐκτοπίαν ϗ πορρωτάτην, πήματος πρότερον, ἄτης ϗ βλάβης ὀρνυμένης ϗ κινουμένης ὑπὲρ, (ἤγουν ὑπεράνω) τῆς πόλεως, ἔλθετε ϗ νῦν ὦ πόποι ϗ θεοὶ εἰς βοήθειαν. ἢ πρὸς τὸ νῦν στικτέον, τὸ δὲ ὦ πόποι, ἀντὶ τοῦ φεῦ. νόει δὲ ϗ τὸ προτέρας ἄτας ὀρνυμένας αἰτιατικῶς, οὕτως, φλόγα πήματος, λέγω προτέρας ἄτας ὀρνυμένας. καλῶς δ' εἶπε τὸ φλόγα. τὰ γὰρ πήματα δίκην φλογὸς εἰς οὐς ἐπέλθῃ καθίσταται. φέρω γὰρ πήματ' ἀνάριθμα ϗ πολλά. νοσεῖ δ' ὁ πρόπας ϗ ὅλος στόλος ἐμοί. ἤγουν ὁ βίος ϗ ἡ ζωή μου μετὰ φορᾶς διέρχεται πάσης. στόλον γὰρ ἐνταῦθα καλεῖ τὴν ἐν τῷ βίῳ πορείαν ϗ δίαιταν.

ὐδ'

*Tuam*que sororem
Terræ præsidem Dianam, quæ rotundam in foro
Sedem inclyta possidet,
Et Phœbum longe jaculantem.
Io, Io.
Vos tres malorum depulsores adeste mihi,
Siquidem & prioris calamitatis
Opprimentis urbem expulistis
Noxium incendium.
Nunc quoque advenite, o Dii,
Innumera enim fero mala:
Ægrotat autem mihi universus populus;

οὐδ᾽ ἔνι ϗ ὑπάρχει ἔγχος ϗ δύναμις φροντίδος, ἐν ᾧ ἔγχει ἀλέξεται ϗ βοηθήσει τὶς ἑαυτῷ. τοῦτ᾽ ἔστιν, εἰς τοσοῦτον ἀπορίας τὰ παρόντ᾽ ἡμῖν ἐλήλυθε πράγματα, ὥστε φροντίδα ϗ μηχανὴν ἥν τινα οὐκ ἔστι πορίσασθαι πρὸς ἀπαλλαγήν. οὔτε γὰρ αὔξεται ϗ ἀναφύεται. ἔκγονα κλυτᾶς χθονὸς, τοῦτ᾽ ἔστιν, οὔθ᾽ ἡ γῆ ἀναδίδωσι σπέρματα ϗ τὴν ἄλλην πόαν, ὅπερ ἐνδόξου γῆς ἐστιν· οὔθ᾽ αἱ γυναῖκες ἀνέχουσι ϗ ἀναφέρουσι ϗ ἐλευθεροῦνται τῶν ἰηίων ϗ θρηνητικῶν καμάτων ϗ πόνων ἐν τόκοις ϗ ἐν γενέσεσι. τοῦτ᾽ ἔστιν, οὔθ᾽ αἱ γυναῖκες δύνανται τίκτειν ϗ εἰς φῶς ἄγειν τὰ ἔμβρυα, φθειρόμενα ἐντὸς ὑπὸ τοῦ λοιμοῦ, ϗ πρὸ τοῦ καιροῦ ἐξιόντα· ἄλλον δ᾽ ἄνθρωπον σὺν ἄλλῳ ἀνθρώπῳ ἴδοις ἂν ὅρμενον, εἰ λιμενίζοντα ϗ φερόμενον πρὸς τὴν ἀκτὴν τοῦ ἑσπέρου ϗ σκοτεινοῦ θεοῦ, ἤγουν τοῦ ᾅδου, κρεῖσσον ϗ κάλλιον ἀμαιμακέτου πυρὸς, ἤγουν ταχύτερον τοῦ τῆς ἀστραπῆς πυρὸς, ἅπερ ϗ ἅτε ϗ καθὰ εὔπτερον ὄρνιν. ταῦτα δὲ λέγει ἵνα δηλώσῃ τὸ τάχος τῶν συμβαινόντων τότε θανάτων, ὧν ἀνάριθμος ϗ ἀσύντακτος ἡ πόλις ὄλλυται. διὰ τούτων γὰρ συνίσταται.

SCHOL. INED. 167. Ἡ αὐτή ἐστιν ἡ Ἄρτεμις τῇ Ἑκάτῃ, ἥτις ἐτιμᾶτο ἐν ταῖς τριόδοις. 169. Καὶ τὸν Ἀπόλλωνα, τὸν μακρόθεν πέμποντα τὰ βέλη. 171. Ἀποδιώκοντες τὴν μοῖραν ἤγουν τὴν δυστυχίαν. 173. Ὑπὲρ ὀρνυμένας πόλει· ἡ ὑπὲρ ἀντὶ τῆς ἐπὶ ἤγουν κινουμένας κατὰ τῆς πόλεως. 174. Ἠνύσατε ἐκτοπίαν· ἤγουν ἐποιήσατε ἐκτετοπισμένην· τουτέστι ἐξετοπίσατε, ὑπερόριον ἐποιήσατε. Τόπος παρὰ τοῖς Ἕλλησιν, ὁ θεός.



Digitized by Google

Οὐδ᾽ ἔνι φροντίδος ἔγχος,
Ὧι τις ἀλέξεται· οὔτε γὰρ
Ἔκγονα κλυτᾶς χθονὸς
Αὔξεται, οὔτε τόκοισιν
Ἰηΐων καμάτων ἀνέχουσι
Γυναῖκες· ἄλλον δ᾽ ἂν
Ἄλλῳ προσίδοις,
Ἅπερ εὔπτερον ὄρνιν,
Κρεῖσσον ἀμαιμακέτου πυρὸς
Ὅρμενον ἀκτὰν πρὸς ἑσπέρου
Θεοῦ, ὧν πόλις ἀνάριθμος
Ὄλλυται. νηλέα δὲ γενέθλα

178. Φροντίδος ἔγχος] ἀλληγορικῶς ἡ βοήθεια, παρὰ τὸ ἔχεσθαι. οἷον, οὐκ ἔνεστι τῷ νῷ τῆς φροντίδος ἔγχος. τοῦτο δὲ, οἷον τὸ διὰ τῆς βουλῆς καὶ προμηθείας γινόμενον ἀλέξημα καὶ ἀμυντήριον. 180. Ἔκγονα χθονὸς] ἢ τὰ δένδρα, ἢ τοὺς παῖδας φησίν. 181. Οὔτε τόκοισιν] αἵτε γυναῖκες τῶν καμάτων ἐν τοῖς τόκοις οὐκ ἀνέχουσι. τουτέστιν, οὐ περιγίγνονται τῶν πόνων. τὸ δὲ ἀνέχουσιν, ἤτοι ἐλευθεροῦνται, καὶ ἄνω ἑαυτὰς ἔχουσιν ἢ ἄγουσιν· ἐκ μεταφορᾶς τῶν ἄνω νευόντων μόγις ἐν τῷ νήχεσθαι. ἢ ἄνεσιν ἔχουσιν. 182. Ἰηΐων] ἤτοι τῶν μετ᾽ εὐχῆς γιγνομένων, ἢ τῶν λοιμικῶν. ἰήϊος γὰρ ὁ Ἀπόλλων, εἰς ὃν ἡ ἀγνεία τῶν λοιμῶν ἀναφέρεται. ἢ ὅτι ἐπίφθεγμα κοινόν ἐστι καὶ Ἀρτέμιδος· αἱ δὲ γυναῖκες ἐν ταῖς ἀνάγκαις τὰς τοιαύτας ἀφιᾶσι φωνάς. οἱ δὲ ἀκούουσι τῶν θρηνητικῶν. 183. Ἄλλον δ᾽ ἂν ἄλλῳ] ἄλλον ἐπ᾽ ἄλλῳ ἴδοις ἀποθνήσκοντα, ὡς ὄρνιθες ἐν τῇ πλήσει ἄλλος ἐπ᾽ ἄλλῳ πέτεται. 186. Κρεῖσσον ἀμαιμακέτου πυρὸς] ἢ οἷον ὀξυτέρου πυρὸς εἰς τὸ σπεύδειν εἰς ᾅδην. ἢ κρεῖσσον πυρὸς, ὡς μὴ καταλαμβάνειν τὸ πῦρ τὸ τῶν ἀποθνησκόντων πλῆθος καὶ καίειν. καὶ γὰρ ὑπερβολὴ καὶ ἐπίτασις τοῦ πάθους. Ἄλλως, εὐτονώτερον τῆς περισσῶς μεγάλης φλογὸς, καὶ πρὸς ἣν οὐκ ἔστι μῆκος παραβαλεῖν. 187. Ὅρμενοι] κινούμενον πρὸς τὴν παραλίαν τοῦ ἑσπέρου θεοῦ, ἤγουν σκοτεινοῦ. περιφραστικῶς δὲ τοῦ ᾅδου, πρὸς ὃν ἔλεγον διὰ τῆς Ἀχερουσίας λίμνης κατάγεσθαι τὰς ψυχάς. Ib. Ἑσπέρου θεοῦ] τοῦ ᾅδου. 189. Νηλέα δὲ γενέθλα] νηλέα τὰ μὴ τυχόντα ἐλέους. τὸ αὐτὸ δέ ἐστι τῷ ἀνοίκτους, οὐκ ἠλέουν δὲ ἀλλήλους, ἴσως ὑπὸ τῆς συνηθείας τοῦ κακοῦ, ἢ ὑπὸ φόβου καὶ προσδοκίας τῶν ὁμοίων.

ΣΧΟΛ. ΤΡΙΚΛ. 189. Νηλέα δὲ γενέθλα] κεῖται δὲ πρὸς πέδῳ θαναταφόρῳ ἀνοίκτως νηλέα καὶ ἀνηλεῶς γενέθλα. τοῦτ᾽ ἔστιν, ἐκπίπτουσι τῶν γαστέρων τῶν γυναικῶν τὰ ἔμβρυα, πρὶν ἢ τυχεῖν τοῦ προσήκοντος τῷ

τικετῷ

Digitized by Google

Nec ſuppetit conſilii vis,
Quo quis mederi queat: neque enim
Fructus inclytæ terræ
Augmenta capiunt *ſua*, neque inter pariendum
Solitos labores ferunt
Mulieres: ſed alium
Super alium videas,
Velut pennatam avem,
Celerius igne indefeſſo
Ruentem ad littus Inferi
Divi, quibus abſque numero pereuntibus urbs
Perit. Miſera autem turba

τοκετῷ καιρῷ, ὑπὸ τοῦ λοιμοῦ φθειρόμενα. ἐν δὲ τούτοις τοῖς ἀώροις γεννήμασιν, αἱ ἄλοχοι ϗ αἱ μητέρες αὐτῶν σὺν ταύταις. τοῦτο γάρ ἐστι τὸ, ϗ αἱ πολιαὶ μητέρες αὐτῶν ἐπιστονάχουσι ϗ θρηνοῦσιν, ἄλλοθεν ἄλλαι παρὰ τὴν βώμιον ἀκτὴν, ἤγουν παρὰ τοῖς ναοῖς ἐν θυσίαις, ἱκέτηρες ϗ παρακλήτορες τῶν λυγρῶν πόνων. τοῦτ' ἔστιν, αἱ μὲν ἄλοχοι διὰ τὰ ἄωρα γεννήματα ἐκλειύουσαι, δι' αὐτὰς δ' αἱ μητέρες αὐτῶν. καλῶς δ' εἶπε τὸ βώμιον ἀκτήν. ὥσπερ γὰρ τοῖς ἐν θαλάσσῃ κινδυνεύουσιν αἱ ἀκταὶ σωτήριον. οὕτω ϗ αὐταῖς οἱ βωμοί. ἐνταῦθα γὰρ θύουσαι, ἀπαλλαγῆναι εὔχονται. παιὰν δὲ, ὅς ἐστιν ὕμνος εἰς Ἀπόλλωνα ἐπ' ἀναιρέσει λοιμοῦ ᾀδόμενος, λάμπει, ϗ διὰ πυρσοῦ εἰς ὕψος αἴρεται ἐξ ὑμῶν. Καὶ γῆρυς ϗ βοὴ στονόεσσα ϗ θρηνητικὴ, ὅμαυλος ϗ συμμιγὴς ϗ ὁμόθρους, ὑπὲρ ὧν ϗ ὧν τινων, τοῦ παιᾶνος ϗ βοῆς, ὦ χρυσέα θύγατερ διὸς Ἀθηνᾶ εὐῶπα ϗ εὐόφθαλμος, πέμψον ἡμῖν ἀλκὴν ϗ βοήθειαν, ϗ τὸν μαλερὸν ϗ καυστικὸν Ἄρεα, ἤγουν τὸν λοιμόν. εἰκότως δὲ τὸν λοιμὸν Ἄρει παρεικάζει, ὡς φθορᾶς αἴτιον ὥσπερ ἐκεῖνος· ὅς νῦν φλέγει ϗ καίει με ἄχαλκος ἀσπίδων, ἤγουν δίχα ξιφῶν ϗ ἀσπίδων· τούτοις γὰρ ἐπέρχεται Ἄρης· φλέγει με ἀντιάζων ϗ ἐμπίπτων περιβόητος ϗ μάχας ϗ σποδρος. περιβόητον δὲ τοῦτον καλεῖ, διὰ τὸ ϗ ἐν τούτῳ πολλὰς γίνεσθαι, ὥσπερ ἐν πολέμοις, βοάς· δὸς νωτίσαι ϗ παλινδρομῆσαι, ϗ ποιήσασθαι δράμημα ϗ πορείαν παλίσσυτον ϗ ὀπισθόρμητον τῆς πατρίδος.

SCHOL. INED. 180. Ἤγουν σῖτοι ϗ τὰ ἄλλα γεννήματα, οἱ καρποί. 185. Καλῶς ἔχοντα ἕνεκα τῆς πλήσεως, ἤγουν ἀκυπλέρην. 186. Εὐτονώτερον τῆς περισσῆς μεγάλης φλογὸς, ϗ πρὸς ἣν οὐκ ἔστι μῆκος παραβαλεῖν. 187. Πρὸς τὴν παράλιον τοῦ ἑσπέρου θεοῦ ἤγουν τοῦ σκοτεινοῦ περιφραστικῶς, ἀντὶ τοῦ Ἅδου, πρὸς ὃν ἔλεγον διὰ τῆς Ἀχερουσίας λίμνης κατάγεσθαι τὰς ψυχάς. Τοῦ περισσοῦ μεγάλου, ϗ πρὸς ὃ οὐκ ἔστι μῆκος παραβαλεῖν διὰ τὰ πλήθη ἀναρίθμητα τούτου.

193. Ἀκτὰν

Digitized by Google

Πρὸς πέδῳ θανατηφόρῳ
Κεῖται ἀνοίκτως· ἐν δ᾽ ἄλοχοι
Πολιαί τ᾽ ἐπὶ ματέρες
Ἀκτὰν παραβώμιον
Ἄλλοθεν ἄλλαι λυγρῶν πόνων
Ἱκτῆρες ἐπιστονάχουσι.
Παιὼν δὲ λάμπει στονόεσσά τε γῆρυς
Ὅμαυλος· ὧν ὕπερ, ὦ χρυσέα
Θύγατερ Διὸς εὐῶπα, πέμψον
Ἀλκὰν Ἄρεά τε τὸν μαλερὸν,
Ὃς νῦν ἄχαλκος ἀσπίδων
Φλέγει με περιβόητος ἀντιάζων,
Παλίσσυτον δράμημα νωτίσαι
Πάτρας ἔπουρον, εἴτ᾽ ἐς μέγαν

193. Ἀκτὰν παραβώμιον] ἀντὶ τοῦ παραχώριον, ὅπου οἱ βωμοὶ τῶν ναῶν εἰσίν· ἐκ τούτου δῆλον ὅτι καὶ τέλειοι ἀπέθνησκον. Ἄλλως. ἐπ᾽ ἀκτὰν παραβώμιον, ἐπὶ τὴν παρὰ τοῖς βωμοῖς ἐξοχήν. 194. Ἄλλοθεν ἄλλαι] ἤγουν ἀπ᾽ ἄλλου μέρους ἄλλαι κείμεναι. 195. Ἱκτῆρες] ἱκετίδες ἐπιστονάχουσιν ἕνεκα τῶν χαλεπῶν πόνων. 196. Παιὰν δὲ λάμπει] ἀντὶ τοῦ ἀκμάζει λαμπρῶς τῇ φωνῇ. λέγεται πρὸς ἀποτροπὴν τῶν κακῶν. 197. Ὅμαυλος] ὁμόθρους. ὁμόφωνος. τοῦτο δὲ ὅμοιόν ἐστι τῷ ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων. Ib. Ὧν ὕπερ, ὦ χρυσέα θύγατερ] πρὸς τὴν φήμην πάλιν φησὶ τῆς μαντείας. ἐλπίζουσι γὰρ ἐπί τινι ἀγαθῷ τὸ μάντευμα ἀποβῆναι. χρυσέα δὲ, τιμία. φασὶ γὰρ οὕτως τιμᾶσθαι χρυσῆν. 199. Ἀρεά τε τὸν μαλερὸν] ἀντὶ τοῦ, τὸν καταμαραίνοντα. τάττει δὲ τοῦτο ἐπὶ τοῦ λοιμοῦ τοῦ δίκην ἀναιροῦντος πολέμου. ἀπὸ κοινοῦ δὲ τὸ πέμψον. 200. Ὃς νῦν ἄχαλκος ἀσπίδων] οὐ χρώμενος ὅπλοις φλέγει ἡμᾶς. περιβόητος δὲ, περὶ ὃν ἕκαστος βοᾷ. μετὰ βοῆς καὶ οἰμωγῆς ἐπιών, ὡς ἐπὶ πολέμου πάλιν. 202. Νωτίσαι] ἀπελάσαι. ἀπὸ μεταφορᾶς τῶν τὰ νῶτα διδόντων ἐν ταῖς φυγαῖς. ἢ οὕτως, πέμψον ἀλκὴν ὥστε παλινόρμητον αὐτὸν γενέσθαι, τὰ νῶτα τῇ πόλει δόντα. λείπει δὲ τὸ δός. 203. Πάτρας ἔπουρον] ἤτοι ἐπ᾽ οὖρον. ὅ ἐστιν εἰς ἄνεμον. Ὅμηρος, Εἰς ὄρος, ἢ εἰς κῦμα. ἢ ἄπουρον, ἀπὸ τῶν ὅρων τῆς πόλεως.

ΣΧΟΛ. ΤΡΙΚΛ. 203. Πάτρας ἔπουρον] ἤγουν ἐπὶ τῶν ὅρων ἐλθόντα τῆς Ἀμφιτρίτης· ἢ ἔπουρον, ἤγουν ἐπουρήσαντα καὶ ὁρμήσαντα, εἴτ᾽ εἰς

In campo funesto
Jacet indefleta; interque *eos* uxores
Canæque insuper matres
Ad aras littorales
Alibi aliæ tristia mala
Supplices lugent.
Pæan interim clariùs sonat, & gemibundus cla-
Adsonat: quapropter, O aurea [mor
Filia Jovis, pulchra facie, mitte
Auxilium, Martemque pestiferum,
(Qui nunc inermis sine scutis
Cremat me maximo clamore irruens)
Retrogrado cursu cedere coge
Terrâ *hâc* extorrem, sive ad magnum

εἰς τὸν μέγαν θάλαμον καὶ οἶκον τῆς Ἀμφιτρίτης, ἤγουν τὸν ὠκεανὸν, εἴτ' εἰς τὸν Θρηΐκιον κλύδωνα, τὸν ἀπόξενον ὅρμον. Ἰστέον δ' ὅτι ἐν τῇ ἀρχῇ τοῦ εὐμείνου ὁ Θρακικός ἐστι Βόσπορος. καλεῖται δ' Εὔξεινος κατ' εὐφημισμόν. δηλοῖ δὲ καὶ οὗτος, ἀπόξενον ὅρμον εἰπών· πολλῶν γὰρ φθορῶν τοῖς ἐκπλέουσιν αἴτιος. φησὶ δὲ καὶ Αἰσχύλος, Ἐχθρόξενος ναύτησι, μητρυιὰ νεῶν· ἐάν τι γὰρ κακὸν ἀφῇ ἡ νὺξ ἐν τῷ τέλει, τοῦτ' ἐφ' ἡμέραν ἔρχεται. τὸν καὶ ὅντινα λοιμὸν φθίσον καὶ ἀφάνισον ὑπὸ τῷ σῷ κεραυνῷ, ὦ Ζεῦ ὁ νέμων καὶ ἄρχων καὶ διεξάγων ἐν κράτει καὶ ἐξουσίᾳ τῶν πυρφόρων καὶ καυστικῶν ἀστραπῶν.

SCHOL. INED. 190. Παρὰ τῇ γῇ τῇ θανατηρᾷ τῇ φθοροποιῷ, ὅτι ἀπὸ τῆς γῆς μεταλαμβάνουσι τῆς λοιμικῆς νόσου τὰ ζῶα. 191. Μὴ φροντιζομένη ὑπὸ τίνος ἐλευθερωθῆναι. Ἤγουν ἐπὶ τούτων δὲ, αἱ ἄλοχοι κεῖνται δηλονότι. Ἐπίπαππος· ὁ ἐπὶ τῷ πάππῳ πάππος· οὕτω καὶ ἐπιμήτηρ ἡ μάμμη. 193. Ἐπ' ἀκτὰν παραβώμιον, ἤγουν ἐπὶ τὴν παρὰ τοῖς βωμοῖς ἐξοχὴν, ἄλλοθεν ἄλλαι. ἤγουν ἀπ' ἄλλου μέρους, ἄλλαι κείμεναι δηλονότι. Ἰκτῆρες, τουτέστιν ἱκέτιδες, ἐπιστενάχουσι, ἀντὶ τοῦ στενάχουσι ἕνεκα τῶν χαλεπῶν πόνων. 196. Ὁ εἰς τὸν Ἀπόλλωνα ὕμνος περιφανῶς ὑμνεῖται. Ἐπαιάνιζον οἱ μὴ παθόντες, ἐστέναζον οἱ παθόντες. Ἅμα ὑπὸ παίδων ᾀδομένη ὀξὺ ὁρῶσα καὶ καθαρὸν εὐῶπις· πρὸς μὲν τὸ ἄρεα, τὸ ἄχαλκος. πρὸς δὲ τὸν μαλερὸν, τὸ φλέγει.

203. Εἴτ'

Digitized by Google

Θάλαμον Ἐμφιτρίτας,
Εἴτ' ἐς τὸν ἀπόξενον ὅρμον
Θρηΐκιον κλύδωνα.
Τέλει γὰρ εἴ τι νὺξ ἀφῇ,
Τοῦτ' ἐπ' ἦμαρ ἔρχεται.
Τὸν, ὦ πυρφόρων ἀστραπᾶν
Κράτη νέμων, ὦ Ζεῦ πάτερ,
Ὑπὸ σῷ φθίσον κεραυνῷ.
Λύκει' ἄναξ, τά τε σὰ χρυσοστρόφων
Ἀπ' ἀγκύλων βέλεα θέλοιμ' ἂν
Ἀδάμαστ' ἐνδατεῖσθαι,
Ἀρωγὰ προσταθέντα,
Τάς τε πυρφόρους Ἀρτέμιδος

203. Εἴτ' ἐς μέγαν] κατὰ τοῦ βυθοῦ. τοῦτο γάρ ἐστι θάλαμος Ἀμφιτρίτης. ἤγουν, ἔνθα αἱ συμπληγάδες πέτραι εἰσίν. 205. Εἴτ' ἐς τὸν ἀπόξενον] ἴσως τὸν ἀλμυδησσόν φησι, περὶ ὃν ἱστορεῖται πολλὰ ναυάγια γίνεσθαι. ὥστε μὴ μόνον ἐξ ἁπάσης γῆς ἐξεληλάσθαι, ἀλλὰ μηδὲ ἐν κοινῇ θαλάσσῃ εἶναι. ἀπόξενον δὲ, δυσχείμερον. 207. Τέλει γὰρ εἴτι] ἀντὶ τοῦ εἴτι ἡ νὺξ ἀγαθὸν καταλείπεται, τοῦτο ἐν ἡμέρᾳ ἀναιρεῖται. βούλεται δὲ λέγειν ὅτι τὰ κακὰ ἀδιάλειπτον ἔχει. εἰ γάρ τι ἡ νὺξ ἀφῇ ἐπὶ τῷ ἑαυτῆς τέλει ἀβλαβὲς, μὴ φθάσασα αὐτὸ ἀπολέσαι, τοῦτο μεθ' ἡμέραν ἀνήρπασται. 209. Τὸν, ὦ πυρφόρων] τὸν ἀντὶ τοῦ ὄν. τὸν μαραντικὸν ἄρεα κεραύνωσον ὦ Ζεῦ. Ἄλλως. ὦ νέμων (ἤγουν διοικῶν) τὰ κράτη τῶν πυρφόρων ἀστραπῶν. ἢ οὕτως, ὦ νέμων τῷ κράτει τῷ σῷ καὶ διὰ τῆς σῆς ἰσχύος τὴν πυρφόρον ἀστραπήν. 212. Λύκει' ἄναξ] βουλοίμην δὲ καὶ τὰ σὰ βέλη, ὦ Ἄπολλον, τὰ ἀδάμαστα καταμερίζεσθαι εἰς αὐτὸν, καὶ τὰς λαμπάδας Ἀρτέμιδος. 214. Ενδατεῖσθαι] ἐν μερισμῷ δίδοσθαι καὶ διατρίβειν. μετῆκται δὲ ἀπὸ τῶν διανεμομένων.

ΣΧΟΛ. ΤΡΙΚΛ. 212. Λύκει' ἄναξ] θέλοιμ' ἂν ἐνδατεῖσθαι καὶ ὁρμᾶσθαι κατὰ τοῦ λοιμοῦ ἀπὸ τῶν χρυσοστρόφων ἀγκύλων καὶ τόξων, καὶ τὰ σὰ ἀδάμαστα καὶ ἀΐδια βέλη, προσταθέντα ἀρωγά. τοῦτ' ἔστι πρὸς αὐτὸν πεμφθέντ' εἰς ἐμὴν βοήθειαν, καὶ τὰς πυρφόρους καὶ καυστικὰς αἴγλας τῆς Ἀρτέμιδος, ἤτοι τὰ βέλη, σὺν αἷς διαΐσσει καὶ διέρχεται τὰ ὄρη Λύκεια, ἤγουν ἔνθα οἱ Λύκοι διατρίβουσι, κυνηγετικὴ γὰρ ἡ θεός. καὶ κικλήσκω καὶ ἐπικαλοῦμαι τὸν Βάκχον καὶ Διόνυσον τὸν ἐπώνυμον τῆσδε

τῆς

Thalamum Amphitrites,
Sive ad inhoſpitalem portum
Thracium mare.
Siquid enim nox reliqui facit,
Id inſequens dies invadit.
Quem, O igneorum fulgurum
Qui vim gubernas, O Jupiter pater,
Tuo perde fulmine.
Lyciæ Rex, tuaque aureo
Ab arcu tela vellem
Invicta diſtribueres,
Ad opem ferendam deſtinata;
Igneoſque ut Artemis

τῆς γῆς, τὸν Εὔϊον τὸν χρυσομίτραν, καὶ τὴν χρυσῆν περικεφαλαίαν ἔχοντα, τὸν οἴνοπα, καὶ τὸν κωμαστικὸν, τὸν μονόστολον, τὸν μόνον μετὰ τῶν μαινάδων πορευόμενον, πελασθῆναι καὶ πλησιάσαι, φλέγοντα καὶ καίοντα ἐν πεύκῃ καὶ ἐν λαμπάδι αἰγλαῶπι καὶ καυστικῇ, ἐπὶ τὸν θεὸν, ἤγουν τὸν λοιμὸν τὸν ἀπότιμον ἐν θεοῖς, ἤγουν ὃν μόνον ἐκ θεῶν οὐδεὶς τῶν θεῶν, οὐδεὶς τῶν ἀνθρώπων ἐτίμησε. καλῶς δ' εἶπε τὸ ἐπώνυμον, ἤτοι Θηβαῖον· ἐκ Θηβῶν γὰρ ὁ Διόνυσος. εἰκότως δὲ καὶ τὰ τῆς Ἀρτέμιδος τόξα αἴγλας καλεῖ. ἀλληγορεῖται γὰρ αὕτη πρὸς τὴν σελήνην. πυρφόρους δὲ, ἢ διὰ τὸ δίκην πυρὸς τοῖς δεχομένοις τὰ βέλη τυγχάνειν, ἢ διότι χρυσᾶ ἦν.

SCHOL. INED. 205. Εἴτε εἰς τὸν ἀνεπιτήδειον τοῖς ξένοις εἰς ἐλλιμένισιν. τὸν ταραχώδη πόντον τὸν Θρᾴκιον, ἤγουν τὸν Εὔξεινον πόντον. 207. Εἴτε γὰρ ἂν ἡ νὺξ ἀφῇ, τοῦτο διατελεῖν ἡ ἡμέρα ἐπέρχεται. 210. Ὦ ὁ νέμων ἤγουν ὁ διοικῶν τὰ κράτη τῶν πυρφόρων ἀστραπῶν. ἢ οὕτως, ὦ ὁ νέμων τῷ κράτει τῷ σῷ, ἤγουν διὰ τῆς σῆς ἰσχύος, τὴν πυρφόρον ἀστραπήν. 211. Φθεῖρον ὑποθεὶς τῷ σῷ κεραυνῷ, ἤγουν κεραύνωσον αὐτὸν, καὶ κατ' αὐτοῦ βαλὼν τὸν σὸν κεραυνόν. 212. Ἀπὸ τοῦ τόξου τοῦ χρυσῆν νευρὰν ἔχοντος. 214. Ἐνδιατρίβειν, ἐνδιαιτᾶσθαι, μερίζεσθαι, διαδίδοσθαι. 212. Ὦ Λύκειε ἄναξ, θέλοιμι ἂν καὶ τὰ σὰ βέλη ἤγουν τὰς ἀκτῖνας ἐνδατεῖσθαι· τουτέστι διαδίδοσθαι ἐνδιαιτᾶσθαι ἀδάμαστα, ἀντὶ τοῦ ἄλυπα ἀπὸ χρυσοστρόφων ἀγκύλων, ἤγουν ἀπὸ τῆς χρυσῆς νευρᾶς τοῦ τόξου. 215. Ἀρωγὰ — προϊστάμενα.

Αἴγλας, ξὺν αἷς Λύκει᾽ ἴρεα
Διαΐσσει· τὸν χρυσομίτραν
Τε κικλήσκω τᾶσδ᾽ ἐπώνυμον
Γᾶς οἰνῶπα Βάκχον εὔϊον
Μαινάδων μονόστολον
Πελασθῆναι φλέγοντ᾽ ἀγλαῶπι πεύκᾳ
Ἐπὶ τὸν ἀπότιμον ἐν θεοῖς θεόν. ——

Οἰ. Αἰτεῖς· ἃ δ᾽ αἰτεῖς, τἄμ᾽ ἐὰν θέλῃς ἔπη
Κλύων δέχεσθαι, τῇ νόσῳ θ᾽ ὑπηρετεῖν,
Ἀλκὴν λάβοις ἂν κἀνακούφισιν κακῶν.
Ἃ ᾽γὼ ξένος μὲν τοῦ λόγου τοῦδ᾽ ἐξερῶ,
Ξένος δὲ τοῦ πραχθέντος· οὐ γὰρ ἂν μακρὰν
Ἴχνευον αὐτὸς, μὴ οὐκ ἔχων τι σύμβολον·

218. Τὸν χρυσομίτραν] τὸν Θηβαῖον Διόνυσον, τὸν ταῖς Βάκχαις συνοικοῦντα. 221. Μονόστολον] γράφεται ὁμόστολον. 223. Ἐπὶ τὸν ἀπότιμον θεὸν] λέγει τὸν λοιμὸν, τὸν μὴ μετέχοντα τῆς τιμῆς τῶν θεῶν, θεῶν γάρ ἐστι τὸ εὐεργετεῖν τοὺς ἀνθρώπους. 224. Αἰτεῖς] ὧν δ᾽ αἰτεῖς, ἀλκὴν λάβοις ἂν κἀνακούφισιν κακῶν. ἐὰν θέλῃς τὰ ἐμὰ ἔπη δέχεσθαι, ἃ δὴ ἔπη ἐξερῶ ξένος ὢν καὶ τοῦ πράγματος καὶ τοῦ λόγου. οἷον, οὐκ ἀκηκοὼς πρότερον περὶ τοῦ φόνου τοῦ Λαΐου, οὐδὲ μὴν καθ᾽ ὃν χρόνον ἐπράχθη ὁ φόνος παρών. 225. Ὑπηρετεῖν] ἐπαρκεῖν καὶ συμπράττειν. 227. Τοῦ λόγου] τοῦ λεχθέντος ὑπὸ Ἀπόλλωνος. 228. Τοῦ πραχθέντος] τοῦ φόνου. Ib. Οὐ γὰρ ἂν μακρὰν] οὐ γὰρ ἂν (φησὶ) τοσούτου ὄντος τοῦ χρόνου τοῦ μεταξὺ ἀνεζήτουν τὸ πρᾶγμα, εἰ μὴ ἤδειν καταληψόμενος. ἐλπίδα δὲ αὐτοῖς ὑποβάλλει ὅτι δύναται ἀνευρεῖν τὸν φονέα, ἵνα προθυμότερον συλλάβωνται αὐτῷ. 229. Σύμβολον] τῆς γνώσεως.

ΣΧΟΛ. ΤΡΙΚΛ. 224. Αἰτεῖς· ἃ δ᾽ αἰτεῖς] τὸ ἃ δ᾽ αἰτεῖς, πρὸς τὸ λάβοις συναπτέον, οὕτως, ἃ δ᾽ αἰτεῖς λάβοις ἂν, ἀλκὴν καὶ ἀνακούφισιν τῶν κακῶν, εἰ τόδε καὶ τόδε ποιήσεις. τοῦτ᾽ ἔστιν, ἡ σὴ ζήτησις, λέγω τὸ τὸν φονέα εὑρεθῆναι, τελεσθήσεται, εἰ ὅσα σοὶ λέγω ποιή-

Digitized by Google

Radios, quibus Lycios montes
Percurrit: Aureâque decorum mitrâ
Invoco, terræque huic cognominem,
Vinoſum Bacchum Evïum,
Mænadum ducem *in choreis* unicum,
Ut venias crematum lucidâ facie
Ignominioſum hunc inter Deos Deum.

## IAMBI.

*Oe.* Petis ſedulò: quæ autem petis, mea ſi velis dicta
Audita amplecti, morboque ſuccurrere,
Remedium conſequaris & levamen malorum.
Quæ ego ignarus totius narrationis eloquar,
Ignaruſque rei perpetratæ: neque enim diu
Inveſtigâſſem ipſe, niſi indicium aliquod haberem.

ποιήσεις. 228. Τȣ͂ πραχθέντος] ȣ̓δέτερόν ἐςιν, ἀντὶ τȣ͂ τῆς πράξεως. τὸ δὲ, ȣ̓ γὰρ ἂν μακρὰν, κατασκευή ἐςι πρὸς τὸ, τἄμ᾽ ἐὰν θέλης ἔπη κλύων δέχεσθαι, καὶ τὰ ἑξῆς. ȣ̓κ ἀληθῶς δὲ τȣ͂το λέγει, ἀλλ᾽ ἵν᾽ ἐντεῦθεν ἀπατᾷ τὸν ποιήσαντα καὶ ἀκȣ́σανθ᾽ ὁμολογῆσαι τὴν πρᾶξιν. 230. Εἰς ἀςȣ̀ς τελῶ] εὕρηται καὶ τελῶ καὶ τελῶν· καὶ τὸ μὲν τελῶ διὰ μέσȣ εἴποις. εἰ δὲ τελῶν γράφεις, τὸ μὲν νῦν δὲ, ȣ̓κ ἀποδώσεις, πρὸς δὲ τὸ τελῶν ἅπαντα τὸν ἑξῆς λόγον συνάψεις. καὶ γὰρ ὅμοιον, ὡς πρώην ἔφαμεν, τῷ, Ἐγὼ δ᾽ ἐπίςαμαι γὰρ ἀρτίως ὅτι ὅτ᾽ ἐχθρὸς ἦμιν.

¶ Σχημ. Τρικλ. 219. Μὴ ȣ̓κ ἔχων] συνίζησις.

SCHOL. INED. 220. Τὸν ἐπὶ τῷ ὀνόματι τῶν Θηβαίων καλȣ́μενον. Τὸν μόνον —— τὸν συμπορευόμενον ταῖς μαινάσιν, διότι ἔχει λαμπρὰν ὄψιν. 223. Ἤγȣν κατὰ τȣ͂ ἀτίμȣ ἐν θεοῖς θεȣ͂ τȣ͂ λοιμȣ͂. 224. Ἀντὶ τȣ͂ αἰτῇ, ἤγȣν παρακαλεῖς. περὶ ὧν τὴν αἴτησιν ποιῇ· ὑπȣργεῖν κατὰ τῆς νόσȣ. 226. ἐλευθερίαν τȣ͂ βάρȣς τῶν κακῶν. 227. Οὐκ ἐνεχόμενος ζητεῖ τὸν λόγον τȣ͂τον τὸν περὶ τȣ͂ φονέος· ȣ̓κ ἐνεχόμενος ζητεῖν τὸ πραχθέν· ξένος τȣ͂ λόγȣ ἐπεὶ ȣ̓κ ἔςι μοι συγγενὴς, καὶ ξένος τȣ͂ πραχθέντος· ȣ̓ γὰρ ἐγὼ πέπραχα τὸν φόνον.



Digitized by Google

Νῦν δ' (ὕστερος γὰρ ἀστὸς εἰς ἀστοὺς τελῶ)
Ὑμῖν προφωνῶ πᾶσι Καδμείοις τάδε.
Ὅστις ποθ' ὑμῶν Λάϊον τὸν Λαβδάκου
Κάτοιδεν, ἀνδρὸς ἐκ τίνος διώλετο,
Τοῦτον κελεύω πάντα σημαίνειν ἐμοί,
Κ' εἰ μὲν φοβεῖται τοὐπίκλημ', ὑπεξελὼν
Αὐτὸς καθ' αὑτοῦ· πείσεται γὰρ ἄλλο μὲν
Ἀστεργὲς οὐδέν, γῆς δ' ἄπεισιν ἀβλαβής.
Εἰ δ' αὖ τις ἄλλον οἶδεν ἐξ ἄλλης χθονὸς
Τὸν αὐτόχειρα, μὴ σιωπάτω· τὸ γὰρ
Κέρδος τελῶ 'γώ, χ' ἡ χάρις προσκείσεται.
Εἰ δ' αὖ σιωπήσεσθε, καί τις ἢ φίλου
Δείσας ἀπώσῃ τοὔπος ἢ χ' αὑτοῦ τόδε,
Ἃ 'κ τῶνδε δράσω, ταῦτα χρὴ κλύειν ἐμοῦ.
Τὸν ἄνδρ' ἀπαυδῶ τοῦτον ὅστις ἐστί, γῆς
Τῆσδ', ἧς ἐγὼ κράτη τε καὶ θρόνους νέμω,

230. Νῦν δ' ὕστερος γὰρ ἀστὸς] μεταφέρει ἀπὸ τῶν ἐν ταῖς πόλεσι ξένων τελούντων τῇ μετοικίᾳ. ἀντὶ τοῦ πεπολιτογράφημαι, καὶ ἄρτι αὐτὸς ἐνομίσθην ξένος ὤν, καὶ ἐβασίλευσα. Ἄλλως. νῦν δὲ εἰς ἀστοὺς τελῶ. δοκῶν γὰρ εἶναι ξένος, τῆς βασιλείας τετύχηκα. ἐπεὶ οὖν (φησὶ) συντελῶ εἰς τὴν πολιτείαν, καὶ μέλει μοι τῶν κοινῶν, ταῦτα ὑμῖν προφωνῶ. μετῆκται δὲ ἀπὸ τῶν συντελούντων ἐν ταῖς πόλεσι, καὶ τὴν ἰδίαν δύναμιν εἰς τὸ κοινὸν φερόντων. 234. Πάντα σημαίνειν ἐμοὶ] τὰ πραχθέντα δηλονότι. 235. Κεἰ μὲν φοβεῖται] καὶ εἰ μὲν αὐτὸς εἴη πράξας, καὶ φοβεῖται λέγειν αὐτὸς καθ' αὑτοῦ, τὸν φόβον ὑπεξελὼν λεγέτω· οὐδὲν γὰρ δεινὸν πείσεται, εἰ μὴ ὅτι τῆσδε τῆς γῆς ἀπαλλάξεται. εἰ δὲ ξένον τις οἶδε τὸν φονέα, μηνυσάτω. καὶ εὐθὺς μὲν παρέξω κέρδος, καὶ εἰς ἀεὶ χάριν ἕξω. πανταχόθεν οὖν προτρέπεται τοὺς μηνύοντας. 243. Ἃ 'κ τῶνδε] οἷον ἀπ' αὐτῶν ἀναγκασθεὶς τῶν πραγμάτων. 244. Τὸν ἄνδρ' ἀπαυδῶ] πολὺν ἔλεον ἐργάζεται ὁ λόγος, ὅτι κατηγορεῖ ἑαυτοῦ ἀγνοῶν. πρότερον δὲ τὰ φιλάνθρωπα εἰρηκώς, τελευταῖα ἐπήνεγκε τὰ σκληρότερα.

ΣΧΟΛ. ΤΡΙΚΛ. 240. Κέρδος τελῶ] ἤγουν πρὸς τό, χάριν αὐτῷ

ἔχειν

Digitized by Google

Nunc autem (nuper enim civis inter cives censeor)
Vobis edico omnibus Cadmeis ista.
Quicunque vestrûm à quonam homine
Laius *ille natus* Labdaci occisus est,
Hunc jubeo, ut rem omnem declaret mihi,
Etiamsi metuit contra se crimen, auctor necis
Cum ipse sit; patietur enim aliud
Acerbi nihil, *quàm* terrâ ut abeat illæsus.
Si verò quis alium novit peregrinâ ex terrâ
Auctorem cædis, nec taceat; lucrum enim
Ego dabo, & gratia insuper accedet.
Si verò contrà silueritis, & quispiam vel amico
Metuens rejecerit isthæc *mea* dicta vel sibi ipsi,
Quæ postea facturus sum, hæc ut audiatis oportet.
Hominem hunc edico, quisquis est terræ [rego,
Hujus *incola*, cujus ego imperiumque & solium

ἔχειν με, καὶ πλείστας ἕξει δωρεὰς τοῦ μηνύματος.

SCHOL. INED. 231. Νῦν οὐχ οὕτω ποιῶ δηλονότι, ἀλλὰ προφωνῶ, ἤγουν προσαγγέλλω ὑμῖν πᾶσι τοῖς Καδμείοις· ὕστερος γὰρ αὐτὸς ἀστὸς εἰς ἀστοὺς τελῶ τάδε· τελεῖ εἰς τοὺς Ἕλληνας. ἤγουν Ἕλλην ὑπάρχει· καὶ τελεῖ εἰς τοὺς ἀστοὺς, ἤτοι ἀστὸς ὑπάρχει, ὕστερος δὲ, διότι ὡς δοκεῖ ξένος ὤν, ἐπολιτογραφήθη. ὅπερ μέλλω ἐρεῖν. 232. Τὸ ὅστις ἀεί ποτε γενικῇ ὅστις τῶν ἀνθρώπων. 235. Ὑπεξελὼν, ἀντὶ τοῦ ἐξελὼν ἐκβαλὼν τὸν φόβον δηλονότι. τὸ ἔγκλημα, ἤγουν τὸν φοβερὸν φόβον, ὅντινα ἔχει ἐπὶ τῷ ἁμαρτήματι. τὴν κατηγορίαν καὶ τὸ ἔγκλημα οὕτω καὶ ἐπικαλῶ τὸ ἐγκαλῶ. εἴγουν φοβεῖται τὸ ἔγκλημα ὡς μέγαν ἐκβαλὼν τὸν φόβον λέγει, αὐτὸς καθ' αὐτοῦ. ἤγουν κατηγορούντω αὐτοῦ· καὶ οὐ πάθοι ἄνθρωπος ἄλλο βαρὺ ἐπαχθὲς, ἢ τὸ ἀποδημῆσαι τῆς πατρίδος, εἰς ἄλλην γῆν. 240. Προστεθήσεται, ἐπὶ προσθήκης καὶ ἄλλο. προσκείσεται. Τὸν αὐτουργὸν τοῦ φόνου καταχρηστικῶς τὸν φονέα. αὐτόχειρ δὲ ὁ οἰκείαις χερσὶ τοὔργον χρησάμενος. Πρόκεισθαι· ἐπὶ προβλήματος ἐπὶ ὠνίων, καὶ ἐπὶ νεκρῶν. Ἐφύλαξε μὲν τὸ πρόσωπον· ἤλλαξε δὲ τὸν ἀριθμόν. τὸν λόγον ὃν προστάσσω.

252. Τῷδε

Digitized by Google

Μήτ' εἰσδέχεσθαι μήτε προσφωνεῖν τινὰ,
Μήτ' ἐν θεῶν εὐχαῖσι μήτε θύμασι
Κοινὸν ποιεῖσθαι, μήτε χέρνιβας νέμειν·
Ὠθεῖν δ' ἀπ' οἴκων πάντας, ὡς μιάσματος
Τοῦδ' ἡμῖν ὄντος· ὡς τὸ Πυθικὸν θεοῦ
Μαντεῖον ἐξέφηνεν ἀρτίως ἐμοί.
Ἐγὼ μὲν οὖν τοιόσδε τῷ τε δαίμονι
Τῷ τ' ἀνδρὶ τῷ θανόντι σύμμαχος πέλω.
Κατεύχομαι δὲ τὸν δεδρακότ', εἴ τέ τις
Εἷς ὢν λέληθεν, εἴτε πλειόνων μέτα,
Κακὸν κακῶς νιν ἄμοιρον ἐκτρίψαι βίον.
Ἐπεύχομαι δ' οἴκοισιν εἰ ξυνέστιος
Ἐν τοῖς ἐμοῖς γένοιτ' ἐμοῦ συνειδότος,
Παθεῖν ἅπερ τοῖσδ' ἀρτίως ἠρασάμην.
Ὑμῖν δὲ ταῦτα πάντ' ἐπισκήπτω τελεῖν,
Ὑπέρ τ' ἐμαυτοῦ, τοῦ θεοῦ τε, τῆσδέ τε
Γῆς, ὧδ' ἀκάρπως κἀθέως ἐφθαρμένης.

252. Τῷ δὲ δαίμονι] τῷ ταῦτα μαντευσαμένῳ Ἀπόλλωνι. 254. Κατευχομαι] καταρῶμαι τὸν φονέα. 256. Ἄμοιρον] ἤτοι κακόμοιρον· ἢ μηδενὸς τῶν νενομισμένων μετειληφότα, ἀλλ' ἄταφον ἐκβληθῆναι. ἀγνοῶν δὲ ἐπαρᾶται ἑαυτῷ εἰ ξύνοιδε τὸν φονέα, δίς. καὶ περιπαθέστερος γίγνεται ὁ λόγος. 260. Ὑμῖν δὲ ταῦτα πάντ' ἐπισκήπτω] ἐνόρκως ἐντέλλομαι τὸ ἀγγεῖλαι τὸν φονέα, ἢ ἀπωθεῖσθαι τῶν οἰκιῶν καὶ τῶν θυσιῶν. πρὸς τὸ Ἐγὼ μὲν τοιόσδε, ἀποδίδοται τὸ ὑμῖν δέ. 261. Ὑπὲρ ἐμαυτοῦ] ἐπισκήπτω ταῦτα ἐπεὶ εὑρημένου τοῦ φονέως καὶ δίκην δεδωκότος, ἀπαλλάξεται μὲν φροντίδος· ἀσφαλέστερον δὲ αὐτῷ καὶ τὰ πράγματα ἕξει, τῆς κατὰ τῶν βασιλέων τόλμης ὑπεσταλμένης, τῷ τὸν ἅπαξ τετολμηκότα κεκολάσθαι. Ib. Τοῦ θεοῦ τε] τοῦ Ἀπόλλωνος.

ΣΧΟΛ. ΤΡΙΚΛ. 249. Ὡς μιάσματος] δέον εἰπεῖν ὡς ὄντος μίασμα, πρὸς τὸ τοῦδ' ἐποίησε μιάσματος.

SCHOL. INED. 248. Χέρνιβες· θυσίαι· χέρνιψ δὲ τὸ προκαθάρσιον ὥς που ὁ Συνέσιος τὰς πρὸ τοῦ γενίσματος χέρνιβας: χερνίψαι, τὸ

Digitized by Google

Ne quis excipiat, neque alloquatur,
Neque Deûm precationibus, neque ſacrificiis
Cum eo communicet, nec manus *ſacrâ* abluat *aquâ*,
Arceant verò ab ædibus omnes, ut qui piaculum
Sit nobis, uti Pythicum Dei
Oraculum patefecit nuper mihi.
Ego quidem talis Deoque (*Apollini*)
Viroque mortuo adjutor eſſe ſtatuo:
Execror autem *cædis* auctorem, ſive unus
Aliquis ſit, latuitque, ſive comitatus pluribus,
Ut malus ille communis-expers-juris vitam extra-
Imprecor & ædibus, ſi domeſticus [hat,
In meis fuerit, me conſcio,
Ut patiatur *eadem* quæ his modo imprecatus ſum.
Vobis autem hæc omnia mando exequenda,
Meique ipſius gratiâ, Deique hujuſque
Terræ, quæ ſterili ſic et impio perit *modo*.

τὸ τὰς χεῖρας ἀπονίζειν ὕδατι. 250. Πλαγιασμὸς, σχῆμα καινοπρεπές. τῦ πυθίυ τὸ κλητικὸν ἀντὶ γενικῆς τῷ προστάξαντι ζητεῖν τὸν φονέα. 257. Ἐπεύχομαι ἐπὶ εὐχῆς· ἀπεύχομαι δὲ τὸ ἀπαγορεύω· καλεύχομαι δὲ, τὸ καταρῶμαι. Ἔστι δὲ καὶ ἐπὶ καλῦ καὶ εὐχῆς. Ἀριστείδης· Ὅσα δὴ γενεθλίοις Θεοῖς κατηῦχται. Ἡ κατὰ ἐνταῦθα ἀργὴ, ἀντὶ τῦ λίαν. καταστρέψαι τὴν ζωήν. 252. Πρὸς τὸ ἐγὼ μὲν τοιόσδε, ἀποδίδοται τὸ ὑμῖν δέ. 260. Τελῶ τὸ ἀργύριον· τελῶ τὴν χάριν ὡς ἀρτίως ἔφη. τελῶ εἰς τὺς Ἕλληνας. ἤγυν Ἕλλην εἰμί. τελῶ καὶ τὸ πράττω ὃ κρεῖττον, μετὰ τῆς ἐκ, ἤγυν ἐκτελῶ. 261. Ὑπὲρ ἑαυτῦ λέγει ταῦτα ἐπισκήπτειν· ἐπεὶ εὑρημένυ τῦ φονέως καὶ δίκην δεδωκότος, ἀπαλλάξεται μὲν φροντίδος· ἀσφαλέστερον δὲ αὐτῷ καὶ τὰ πράγματα ἕξει τῆς κατὰ τῶν βασιλέων τόλμης ὑπεσταλμένης τῷ, τὸν ἅπαξ τετολμηκότα κεκολάσθαι. μὴ παρά τινος τῶν θεῶν εὑρισκύσης βοήθειαν ἃ τῦ αἰτίυ.

263. Οὐδ'

Οὐδ' εἰ γὰρ ἦν τὸ πρᾶγμα μὴ θεήλατον,
Ἀκάθαρτον ὑμᾶς εἰκὸς ἦν οὕτως ἐᾶν,
Ἀνδρός γ' ἀρίστου βασιλέως τ' ὀλωλότος,
Ἀλλ' ἐξερευνᾶν. νῦν δ' ἐπικυρῶ τ' ἐγὼ,
Ἔχων μὲν ἀρχὰς ἃς ἐκεῖνος εἶχε πρὶν,
Ἔχων δὲ λέκτρα, καὶ γυναῖχ' ὁμόσπορον,
Κοινῶν τε παίδων κοίν' ἂν, εἰ κείνῳ γένος
Μὴ δυστύχησεν, ἦν ἂν ἐκπεφυκότα.
Νῦν δ' ἐς τὸ κείνου κρᾶτ' ἐνήλαθ' ἡ τύχη.
Ἀνθ' ὧν ἐγὼ τάδ' ὡσπερεὶ τοὐμοῦ πατρὸς
Ὑπερμαχοῦμαι, κἀπὶ πάντ' ἀφίξομαι
Ζητῶν τὸν αὐτόχειρα τοῦ φόνου λαβεῖν,
Τῷ Λαβδακείῳ παιδὶ, Πολυδώρου τε καὶ
Τοῦ πρόσθε Κάδμου, τοῦ πάλαι τ' Ἀγήνορος.
Καὶ ταῦτα τοῖς μὴ δρῶσιν, εὔχομαι θεοὺς

263. Οὐδ' εἰ γὰρ ἦν] καὶ γὰρ εἰ μὴ ἦν ὅλως τὸ ἄγος ὑπὸ θεῶν ἐλαυνόμενον, καὶ οἱονεὶ πολυπραγμονούμενον, ὑμᾶς ἔδει κινουμένους οἴκοθεν, καὶ μὴ ἀναμείναντας τὴν ἐκ θεῶν πρᾶξιν ἀναζητεῖν. Ib. Μὴ θεήλατον] οἷον, χωρὶς θείας βοηθείας. 269 Κοινῶν τε παίδων κοιν' ἂν] κοινὰ ἀδελφὰ τοῖς ἐξ ἡμῶν· οἷον, καὶ ἡμῖν ἂν ἐγένετο, εἰ ἦν τέκνα τῷ Λαΐῳ γενόμενα. 270. Μὴ δυστύχησεν] ὥστε μὴ παιδοποιήσασθαι. 271. Τὸ κείνου κρᾶτα] τὴν ἐκείνου κεφαλήν. 272. Ἀνθ' ὧν ἰστέον αἱ τοιαῦται ἔννοιαι οὐκ ἔχονται μὲν τοῦ σεμνοῦ, κινητικαὶ δέ εἰσι τοῦ θεάτρου. αἷς καὶ πλεονάζει Εὐριπίδης· ὁ δὲ Σοφοκλῆς πρὸς βραχὺ μὲν αὐτῶν ἅπτεται, πρὸς τὸ κινῆσαι τὸ θέατρον.

ΣΧΟΛ. ΤΡΙΚΛ. 263. Οὐδ' εἰ γὰρ ἦν] τὸ γὰρ πρὸς τὸ οὐδὲ συναπτέον, εἰ καὶ τὸ εἰ διὰ μέσου ἡ βία τοῦ μέτρου τεθῆναι ἠνάγκασεν. 269. Εἰ κείνῳ γένος] τὸ ἐκείνῳ καὶ τὸ γένος πρὸς τὸ κοινῶν τε παίδων συναπτέον· τὸ δὲ κοίν' ἂν, πρὸς τὸ ἦν ἂν ἐκπεφυκότα· τὸ δὲ εἰ, πρὸς τὸ μὴ δυστύχησεν, οὕτως, ἔχων γένος παίδων κοινῶν ἐκείνῳ, κοινὰ ἂν ἦν τὰ τέκνα ἐκπεφυκότα ἐκείνου, εἰ μὴ ἐδυστύχησε καὶ ἀπέθανεν· ἀποροῦσι δ' ἐνταῦθα πῶς λέγει κοινά. εἰ γὰρ ἔζη ὁ Λάϊος, μόνος ἂν εἶχεν Ἰοκάστην, καὶ οὐδεὶς ἂν αὐτῷ ἐκοινώνει τῆς τῶν τέκνων σπορᾶς. καὶ φαμὲν, ὡς τὸ μὲν ἀληθὲς οὕτως ἀπαιτεῖ· λέγει δὲ νῦν Οἰδίπους τὰ κοινὰ, διὰ τὸ τὴν αὐτὴν ἐκείνῳ γυναῖκα ἔχειν. ἔστι δ' ὥσπερ παρακεκινδυνευμένον, καὶ οὐ κατὰ τὴν πρέπουσαν ἀκολουθίαν. δέον δ' εἰπεῖν, κοινὰ γὰρ ἂν ἦν, ἀσυνδέτως εἶπε,

Neque enim, si nullus ad hanc rem impulit Deus,
Sic inexpiatam nos deceret linquere,
Viroque optimo, regeque interemto, [quoque
Sed penitùs inquirere. At nunc auctor sum ipse
Regnum obtinens, quod ille obtinuit olim, [dos,
Habensque torum, et uxorem liberos ad procrean-
Communiumque liberorum forte communia, si
Illi non fuisset infelix, extitissent *pignora*: [genus
Nunc autem in illius caput *mala* ingruit fortuna:
Quapropter ego in his tanquam meo pro patre
Pugnabo, & omnia experiar
Ut inveniam auctorem cædis
Filii Labdaci, Polydorique, &
Superioris Cadmi, vetustique Agenoris.
Et hæc eis qui non præstiterint precor Deos,

εἶπε, κοινὰ ἂν ἦν. 275. Τῷ Λαβδακείῳ] Ἀγήνωρ, Κάδμος, Πολύδωρος, Λάβδακος, Λάϊος, Οἰδίπους, Πολυνείκης καὶ Ἐτεοκλῆς. 277. Εὔχομαι] τοῖς μὴ δυνάμενοι τοὺς θεοὺς συνλάξαι: θεοῖς γράφουσι πρὸς τὸ εὔχομαι. τὸ δέ ἐστι τοιοῦτον, καὶ τοῖς μὴ δρῶσι ταῦθ' ἃ εἴρηκα, λέγω τὸ μήτ' εἰσδέχεσθαι, καὶ τὰ ἑξῆς, εὔχομαι μήτ' ἀνεῖναι καὶ ἀναπέμπειν τοὺς θεοὺς αὐτοῖς γῆν τιν' ἄροτον καὶ ἠροτριασμένην. τοῦτ' ἔστι μὴ εὐοδοῦν τοὺς θεοὺς τὰ σπέρματα αὐτοῖς. δέον δ' οὕτως εἰπεῖν, μὴ ἀνεῖναι τοὺς θεοὺς αὐτοῖς ἐκ γῆς ἠροτριασμένης σπέρματα, γῆν ἄροτον εἶπεν, ἐπειδήπερ ἡ ἠροτριασμένη γῆ δεχομένη τὰ σπέρματ' ἀνίησι. τὸ δὲ τινὰ διὰ τοῦτο εἶπεν ἵνα δείξῃ ὡς οὐ μόνον ταύτην τὴν γῆν λέγει, ἀλλὰ καὶ πᾶσαν ἣν ἂν οἰκοῖεν.

SCHOL. INED. 263. Οὐδὲ γὰρ εἰ μὴ ἦν τὸ πρᾶγμα ἄγων τὸ ζητεῖν τὸν φονέα ὑπὸ τοῦ θεοῦ κεκινημένον· νῦν δὲ δίκαιόν ἐστι τὸ πρᾶγμα ἐπιζητεῖν. Καὶ ὁ θεὸς κινεῖ· καὶ ἐγὼ ἐπιβεβαιῶ. εἰς ἣν ἔσπειρε καὶ ἐκεῖνος καὶ ἐγώ. 271. Τὸ κρᾶτα τὴν κεφαλήν· εἰς τὴν κεφαλὴν ἐκείνου ἤγουν τοῦ γένους ἐνήλατο ἡ τύχη· ἀντὶ τοῦ ἐδυστύχησε τὸ γένος. 274. τὸν αὐτουργὸν, τὸν ταῖς οἰκείαις χερσὶν ἐργασάμενον τὸν φόνον. 275. Ἀγήνωρ τὸν Κάδμον. οὗτος τὸν Πολύδωρον. οὗτος τὸν Λάβδακον. οὗτος τὸν Λάϊον. οὗτος τὸν Οἰδίποδα κατὰ ἀναπόδισμόν. 277. Καὶ τοῖς μὴ πράττουσι ταῦτα ἤγουν τοῖς μὴ ὑπερμαχομένοις καὶ ζητοῦσι τὸν φονέα.

Μήτ' ἄροτον αὐτοῖς γῆν ἀνιέναι τινὰ,
Μήτ' οὖν γυναικῶν παῖδας· ἀλλὰ τῷ πότμῳ
Τῷ νῦν φθερεῖσθαι, κἄτι τοῦδ' ἐχθίονι.
Ἡμῖν δὲ τοῖς ἄλλοισι Καδμείοις, ὅσοις
Τάδ' ἔστ' ἀρέσκονθ', ἥ τε σύμμαχος δίκη,
Χ' οἱ πάντες εὖ ξυνεῖεν εἰσαεὶ θεοί.—
Χο. Ὥσπερ μ' ἀραῖον ἔλαβες, ὧδ' ἄναξ ἐρῶ.
Οὔτ' ἔκτανον γὰρ, οὔτε τὸν κτανόντ' ἔχω
Δεῖξαι. τὸ δὲ ζήτημα τοῦ πέμψαντος ἦν
Φοίβου τόδ' εἰπεῖν, ὅστις εἴργασταί ποτε.—
Οἰ. Δίκαι' ἔλεξας. ἀλλ' ἀναγκάσαι θεοὺς,
Ἂν μὴ θέλωσιν, οὐδὲ εἷς δύναιτ' ἀνήρ.
Χο. Τὰ δεύτερ' ἐκ τῶνδ' ἂν λέγοιμ', ἅ μοι δοκεῖ.
Οἰ. Εἰ καὶ τρίτ' ἐστὶ, μὴ παρῇς τὸ μὴ οὐ φράσαι.
Χο. Ἄνακτ' ἄνακτι ταὔθ' ὁρῶν τ' ἐπίσταμαι

277. Τοῖς μὴ δρῶσι] τοῖς μὴ δεικνύουσί μοι τὸν φονέα. 278. Ἄροτον] τουτέστι καρπόν. 284. Ὧδ' ἄναξ ἐρῶ] οὕτως ἐρῶ καὶ αὐτὸς ἐπομνύμενος καὶ κατὰ τὰς ἀρὰς ἐπαρώμενος, μήτε δρᾶσαι τὸν φόνον, μήτε τοὺς δράσαντας ἐπίστασθαι. 286. Τὸ δὲ ζήτημα,] ἀπορῶν ὁ χορὸς ἐπὶ τὸ θεῖον πάλιν ἀνατρέχει. 288. Δίκαι' ἔλεξας.] τοῦτό φησιν ἵνα μὴ πάλιν πέμψωσιν εἰς θεὸν, καὶ γένηται διατριβὴ ἐν τῷ δράματι. ὅπερ ὑπόψυχρον. 290. Τὰ δεύτερ' ἐκ τῶνδ' ἂν] τὰ ἐκ τῶνδε δεύτερα, (ἤγουν τὰ ἐν δευτέρᾳ τάξει) μετὰ ταῦτα λέγοιμι ἂν ἅ μοι δοκεῖ, ἤγουν φαίνεται δεύτερα. 292. Ἄνακτ' ἄνακτι] ἀποκλειομένου τοῦ πέμψειν εἰς θεὸν, καταφεύγουσιν εἰς τὴν ὁμοίαν μαντικήν. τῷ αὐτῷ δὲ ὀνόματι προσαγορεύει τὸν Τειρεσίαν ᾧ καὶ τὸν θεὸν, καὶ τὰ αὐτὰ ὁρᾶν ἐκείνῳ φησίν. Ἄλλως. ἄνακτα λέγει τὸν Ἀπόλλωνα καὶ τὸν Τειρεσίαν, τὸν μὲν, ὡς φύσει ἀνάσσοντα, τὸν δὲ Τειρεσίαν, ὡς ὑπὸ τῶν ἀνθρώπων οὕτω τιμώμενον διὰ τὸ κράτος τῆς μαντικῆς.

ΣΧΟΛ. ΤΡΙΚΛ. 286. Τὸ δὲ ζήτημα] τὸ τόδε, οὐ πρὸς τὸ ζήτημα συνακτέον, ἀλλὰ πρὸς τὸ ὅστις, οὕτως, τοῦ δὲ πέμψαντος Φοίβου τὸ ζήτημα τὸ περὶ τοῦ φόνου ἦν εἰπεῖν τόδε, ὅστις ἄρα εἴργασται τὸν φόνον. 288. Ἀναγκάσαι θεοὺς] ὁ γὰρ Ἀπόλλων εἰ ἐβούλετο, αὐτίκ' ἂν ἐδήλου τὸν φονέα, καὶ οὐ ζητεῖν ἡμᾶς τοῦτον εἴα. 290. Τὰ δεύτερ'

ἐκ

Digitized by Google

Ne messem illis terra proferat ullam,
Neve mulieres liberos; sed morte
Præsenti pereant, vel hâc etiam graviore.
Vobis autem cæteris Cadmi civibus, quibuscun-
Hæc placent, socia sit Justitia *precor*, [que
Et omnes semper propitii adsint Dei.

*Ch.* Ut me execratione hâc obligasti, sic tibi, Rex, respondeo.
Neque enim peremi ipse, neque peremtorem novi
Indicare: sed quæstionem hanc mittentis erat
Apollinis explicare, quis *nempe* fecit homicidium.

*Oe.* Rectè dixisti: sed cogere Deos.
Si non *ipsi* velint, nullus unquam potest mortalis,

*Ch.* Secundam jam de his dicam meam sententiam.

*Oe.* Tertia licet sit, ne omittas dicere.

*Ch.* Cum Rege Phœbo regem Tiresiam novi

ἐκ τῶν] πρῶτον κ̓ ἐξαίρετον ἦν ἐρωτᾶν Ἀπόλλωνα περὶ τῶν παρόντων· ἐπεὶ δ' ὡς αὐτὸς φῂς, ἐχ οἷόν τε, τὰ δεύτερα ἐκ τῶνδ' ἅ μοι δοκεῖ, λέγοιμ' ἂν· τῦτ' ἔςιν, ἅπερ εἰς βοήθειαν λόγων, τὰ δευτερεῖα. Ἀπόλλωνος, ἔχειν μοι φαίνεται, φράσω.

¶ Σχήμ. Τρικλ. 291. Μὴ ἐ φράσει] συνίζησις.

SCHOL. INED. 278. Ἄρotος ὁ καιρὸς ὅτι ἀρoτριῶσιν. 279. Μήτε σπόρον τινὰ αὔξειν αὐτοῖς τὴν γῆν, μήτε τὰς παῖδας τῶν γυναικῶν αὔξειν τὴν γῆν δηλονότι. Καὶ ἔςι ταύτης τύχη μᾶλλον μεμισημένη. Ἤγυν τοῖς ἀποδεχομένοις τὰς ἡμετέρας λόγυς. 284. Καθὰ μὲ ἐν καταραῖς ἐκράτησας, ὕτως ἐρῶ ἐν ταῖς αὐταῖς καταραῖς. Ἤγυν ἐπὶ τῇ ἀρᾷ ᾗ κατηράσω ἐμοὶ ἐπ' αὐτῇ λέξω κἀγώ. Μετὰ θάρσυς λαμβάνω τὴν κατάραν, ὅτι ἐκ οἶδα τίς ἐςιν ὁ φονεὺς τῦ Λαΐυ. Τὸ δὲ ζήτημα τόδε, τῦ πέμψαντος ἦν Φοίβυ. ἤγυν τῆς δυνάμεως ἦν τῦ Φοίβυ εἰπεῖν. λέγω ὅςις εἴργαςαί ποτε τὸν φόνον δηλονότι. 290. Τὰ ἐκ τῶνδε δεύτερα ἤγυν τὰ ἐν δευτέρᾳ τάξει μετὰ ταῦτα λέγοιμι ἄν, ἅ μοι δοκεῖ ἤγυν φαίνεται δεύτερα δηλονότι· μηδὲ εἴπῃς τῦτο κ̓ ἄφες τῦτο εἰπεῖν ταὐτό. 292. Ἄνακτα λέγει τὸν Ἀπόλλωνα κ̓ τὸν Τειρεσίαν τὸν μὲν ὡς φύσει ἀνάσσοντα, τὸν δὲ Τειρεσίαν ὡς ὑπὸ τῶν ἀνθρώπων ὕτω τιμώμενον διὰ τὸ κράτος τῆς μαντικῆς.

 295. Ἀλλ'

Μάλιστα Φοίβῳ Τειρεσίαν· παρ' οὗ τις ἂν
Σκοπῶν τάδ', ὦ 'ναξ, ἐκμάθοι σαφέστατα.
Οἰ. Ἀλλ' οὐκ ἐν ἀργοῖς οὐδὲ τοῦτ' ἐπραξάμην.
Ἔπεμψα γὰρ Κρέοντος εἰπόντος, διπλοῦς
Πομπούς· πάλαι δὲ μὴ παρὼν θαυμάζεται.
Χο. Καὶ μὴν τά γ' ἄλλα κωφὰ καὶ παλαί' ἔπη.
Οἰ. Τὰ ποῖα ταῦτα; πάντα γὰρ σκοπῶ λόγον.
Χο. Θανεῖν ἐλέχθη πρός τινων ὁδοιπόρων.
Οἰ. Ἤκουσα κἀγώ· τὸν δ' ἰδόντ' οὐδεὶς ὁρᾷ.
Χο. Ἀλλ' εἴτι μὲν δὴ δειμάτός γ' ἔχει μέρος,
Τὰς σὰς ἀκούων οὐ μενεῖ τοιάσδ' ἀράς.
Οἰ. Ὧι μή 'στι δρῶντι τάρβος, οὐδ' ἔπος φοβεῖ.
Χο. Ἀλλ' οὐξελέγξων αὐτόν ἐστιν· οἵδε γὰρ
Τὸν θεῖον ἤδη μάντιν ὧδ' ἄγουσιν, ᾧ
Τἀληθὲς ἐμπέφυκεν ἀνθρώπων μόνῳ.——

295. Ἀλλ' οὐκ ἐν ἀργοῖς] κἀνταῦθα τὸ κηδεμονικὸν τοῦ ἤθους διετήρησε· τὸ μὲν οὖν διπλοῦς πομπούς, τῆς σπουδῆς ἐστι τεκμήριον· τὸ δὲ, Κρέοντος εἰπόντος, πιθανὸν εἰς τὰ ἑξῆς, ἵνα ἡ ὑπόνοια αὐτοῦ πίστιν ἔχοι, τὸ πεπεισμένον ὑπὸ τοῦ Κρέοντος τὸν Τειρεσίαν μαντεύεσθαι κατὰ τοῦ Οἰδίποδος τὰ ψευδῆ. 298. Κωφὰ) ψυχρά, καὶ οὐδὲν σαφὲς ἔχοντα, τὰ ψιθυριζόμενα. 304. Ὧι μή 'στι] ὁ μὴ τὸ ἔργον δεδοικώς, οὐδὲ τὸν λόγον φοβεῖται. ἢ, οὐδὲ ὁ λόγος φόβον αὐτῷ ἐντίθεται. 305. Ἀλλ' οὐξελέγχων] καὶ ταῦτα εἰς σύστασιν τῶν προσώπων, ἵνα μηδὲ ὕστερον δυνηθείη ἀρνήσασθαι.

ΣΧΟΛ. ΤΡΙΚΛ. 298. Καὶ μὴν τά γ'] ἤγουν, ὅτι μὲν ἀπέθανε Λάϊος, ὁμολογεῖται· τὰ δ' ᾀδόμενα περὶ τοῦ θανάτου αὐτοῦ, ὅπως γέγονε, ματαιά ἐστι καὶ ἀσύστατα. οἱ μὲν γάρ φασι ὡς ὑπ' ὁδοιπόρων τέθνηκεν· οἱ δ' ὡς ὑπὸ λῃστῶν. ὥστε τούτων οὕτως ἐχόντων, δεῖ Τειρεσίου ἵνα τἀληθὲς εἴπῃ. Δειμάτός γ' ἔχει μέρος] ἤγουν, εἰ φοβεῖται καὶ ὑποτεύει ὁ ἰδὼν μὴ ὕστερον γνωσθήσεται. τὸ δέ γε πρὸς τὸ εἴτι συναπτέον, οὕτω, ἀλλὰ μὴν καὶ εἴτι μέρος ἔχει δείματος, καὶ τὰ ἑξῆς. 304. Ὧι μή 'στι] πῶς ἄνω εἰπὼν ὁ Οἰδίπους, τὸν δ' ἰδόντ' οὐδεὶς ὁρᾷ, νῦν φησίν, ᾧ μή 'στι δρῶντι τάρβος, καὶ φαμὲν, ὡς τὸν ἰδόντα οὐ θεατὴν μόνον, ἀλλὰ καὶ συμπράκτορα νοεῖ.

306.

Maximè eadem ſcire ; ex quo ſiquis
Hæc exquireret, O Rex, inveniret certiſſima.
*Oe.* At ne hoc quidem curare neglexi ;
Miſi enim, Creonte monente, duos
*Ad eum* nuncios, diuque cur non adſit miror.
*Ch.* Enimverò cætera *ſunt* frigida et obſoleta dicta.
*Oe.* Quænam illa ? dicta enim perpendo qualiacun-
*Ch.* Occiſus dictus eſt a quibuſdam viatoribus. [que.
*Oe.* Audivi et ego. Sed qui viderit *eum* nemo videt.
*Ch.* Sed ſiquam modò timoris habet ille partem,
Tuas tamque graves audiens diras non morabitur.
*Oe.* Cui nullus adeſt patranti metus, verba minùs me-
*Ch.* Sed negantem adeſt qui redarguat, hi enim [tuet.
Divinum jam vatem huc adducunt, cui
Veritas innata eſt mortalium ſolî.

306. Τὸν θεῖον] θεῖον καλεῖ τὸν Τειρεσίαν, ὡς τάφανῆ γιγνώσκοντα, ὅπερ ἐστὶ θεῶν. 308. Διδακτά τι] τὸ μὲν διδακτὰ πρὸς τὸ χθονοστιβῆ ἔχει τὴν δύναμιν. καὶ γὰρ γήϊνα (τοῦτο γάρ ἐστι τὸ χθονοστιβῆ) γνώσει καὶ διδαχῇ ὑποπίπτει. τὸ δ' ἄῤῥητα πρὸς τὸ οὐράνια. οὐδεὶς γὰρ οἶδε τὰ ἐν οὐρανῷ, πλὴν τῶν ἐν αὐτῷ κατοικούντων θεῶν, καὶ ὅσοι τῶν ἀνθρώπων ἐκ τούτων ἐπιπνεόμενοι μαντεύονται. ἔστι δὲ τὸ σχῆμα χιαστόν.

SCHOL. INED. 295. Ἀπὸ τῆς ἐνεργείας τοῦ Φοίβου τὸ ὄνομα ἀντὶ ἐπιῤῥήματος οὐκ ἀργῶς. ὥσπερ τὸ ἐγεννησάμην παρὰ Συνεσίῳ ἀντὶ τοῦ ἐγέννησα· καὶ τὸ διωκησάμην ἀντὶ τοῦ διώκησα. καὶ τὸ ἐθαυμασάμην ἀντὶ τοῦ ἐθαύμασα. οὕτω καὶ τὸ ἐπραξάμην ἀντὶ τοῦ ἔπραξα. τῇ μὲν φωνῇ παθητικά· τῇ δὲ σημασίᾳ ἐνεργητικά. Πομπὸς, ὁ προπομπὸς καὶ πομπὸς ὁ ἀποσταλεὶς πρός τινα μαντείαν. Διὰ δὲ τὸ μὴ παρεῖναι πρὸ μακροῦ θαυμάζεται ὁ Τειρεσίας δηλονότι. 296. Δύο τοὺς παραπέμψοντας αὐτὸν δεῦρο. 301. Τὸν δὲ ἰδόντα τὸν φονεύσαντα οὐδεὶς ὁρᾷ ἀντὶ τοῦ γινώσκει. 302. Ἤγουν ἀλλ' εἰ μὲν δὴ καὶ φόβου τι μέρος ἔχει. εἰ ἔχει μέρος δείματος ἤτοι εἰ πῶς φοβεῖται ἀκούων τὰς σὰς ἀρὰς, οὐ μενεῖ ἀλλ' ἐξαγγελεῖ. 304. Ὧτινι τῶν ἀνθρώπων μὴ πράττοντι τι κακόν ἐστι φόβος, οὐδ' ἔπος φοβεῖ ἤγουν λόγος.

309. Χθον-

Οἰ. Ὦ πάντα νωμῶν Τειρεσία διδακτά τε,
Ἄῤῥητά τ', οὐράνιά τε, καὶ χθονοστιβῆ,
Πόλιν μὲν εἰ καὶ μὴ βλέπεις, φρονεῖς δ' ὅμως
Οἵα νόσῳ σύνεστιν· ἧς σε προστάτην
Σωτῆρά τ' ὦ 'ναξ μοῦνον ἐξευρίσκομεν.
Φοῖβος γὰρ, εἰ καὶ μὴ κλύεις τῶν ἀγγέλων,
Πέμψασιν ἡμῖν ἀντέπεμψεν, ἔκλυσιν
Μόνην ἂν ἐλθεῖν τοῦδε τοῦ νοσήματος,
Εἰ τοὺς κτανόντας Λαΐον μαθόντες εὖ,
Κτείναιμεν, ἢ γῆς φυγάδας ἐκπεμψαίμεθα.
Σὺ δ' οὖν φθονήσας μήτ' ἀπ' οἰωνῶν φάτιν,
Μήτ' εἴ τιν' ἄλλην μαντικῆς ἔχεις ὁδὸν,
Ῥῦσαι σεαυτὸν καὶ πόλιν· ῥῦσαι δ' ἐμέ·
Ῥῦσαι δὲ πᾶν μίασμα τοῦ τεθνηκότος.
Ἐν σοὶ γάρ ἐσμεν· ἄνδρα δ' ὠφελεῖν ἀφ' ὧν
Ἔχοι τε καὶ δύναιτο, κάλλιστος πόνων. —
Τει. Φεῦ φεῦ. φρονεῖν ὡς δεινὸν, ἔνθα μὴ τέλη
Λύῃ φρονοῦντι. ταῦτα γὰρ καλῶς ἐγὼ

309. Χθονοστιβῆ] τὰ ἐν τῇ γῇ, τὰ ἐπίγεια. 320. Ῥῦσαι δ' ἐμὲ] ἄρα τὸ τοῦ κηδεμόνος, ὅτι τελευταῖον ἑαυτὸν ἔταξεν, ὅπως ἀφέλοιτο τὸ φορτικὸν τῆς ἐξουσίας. 322. Ἄνδρα δ' ὠφελεῖν] παιδευτικὸς ὁ λόγος, ἤδει ἅπαντας ἀφ' ὧν δύναιτο ὠφελεῖν τοὺς πέλας. 324. Φρονεῖν ὡς δεινὸν] ὡς δεινὸν (φησὶ) τὸ φρονεῖν, ὅταν τὸ φρονούμενον τῷ φρονοῦντι μὴ λυσιτελῇ. σχετλιάζει δὲ, μὴ βουλόμενος εἰς φῶς ἄγειν τὰ τοῦ Οἰδίποδος. διαλελυμένως δὲ εἶπε, τέλη λύῃ, ἀντὶ τοῦ λυσιτελῇ. 325. Ταῦτα γὰρ καλῶς ἐγὼ] τὰ συμβησόμενά μοι, ὅτι ἀναγκασθήσομαι λέγειν ἃ μὴ βούλομαι, τὸ ἐξελέγχειν τὸν Οἰδίποδα, ταῦτα εἰδὼς, διώλεσα αὐτά. οὐ γὰρ ἂν δεῦρο ἠρχόμην.

ΣΧΟΛ. ΤΡΙΚΛ. 224. Ἔνθα μὴ τέλη] ἤγουν ἔνθα τὸ φρονεῖν μὴ λυσιτελεῖ. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν φόροις ὑποκειμένων, ὡς εἴτις τῶν φορείων ἐξέλοι, λυσιτελεῖ. λέγει δὲ τοῦτο ὁ Τειρεσίας δι' ἑαυτὸν, σχετλιάζων ὡς ἀναγκαζόμενος ὑπὸ τοῦ Οἰδίποδος λέγειν τὸν αἴτιον τοῦ λοιμοῦ. δέδιε γὰρ μή τι κακὸν παρ' αὐτοῦ τοῦ Οἰδίποδος λάβῃ ἐλέγχων αὐτὸν ὡς αἴτιον.

¶ Σχήμ.

Digitized by Google

*Oe.* O omnia qui *animo* verſas, Tireſia, dicendaque
Tacendaque, cœleſtia, et terreſtria,
Civitas quidem, cæcus licet *ſis*, ſentis tamen
Quali conflictatur morbo; cujus te patronum
Et ſoſpitatorem, O Rex, unicum invenimus.
Phœbus enim, quamvis non audiveris nuncios,
Nobis mittentibus remiſit, ſolutionem
Unam fore hujus peſtilentiæ,
Si peremtores Laii probè compertos
Necemus, aut e terra exules relegemus.
Tu verò non gravatim, ſive quid augurii,
Seu quam aliam divinationis tenes viam,
Libera teipſum et urbem; libera quoque me;
Libera etiam piaculum omne mortui *(Laii.)*
In te enim *toti* ſumus. Homini autem prodeſſe
Quantum queas habeaſque, pulcherrimus eſt labo-
*Ti.* Heu, Heu, ſapere quàm grave *eſt*, ubi non [rum.
Expedit ſapienti: Hæc enim pulchrè ego

¶ Σχήμ. Τρικλ. 308. Ὦ πάντα νωμῶν] ὑποδοχὴ Οἰδίποδος ὑποδεξαμένου ἀσμένως τὸν Τειρεσίαν. 322. Ἄνδρα δ' ὠφελεῖν] γνωμικόν. Φεῦ φεῦ] ἄφιξις Τειρεσίου πρὸς Οἰδίποδα.

SCHOL. INED. 309. Τὰ ἔχοντα τὴν δίαιταν ἐν τῇ γῇ ἤγουν τὰ χθόνια. 311. Σύνεσι τῇ νόσῳ καὶ σύνεσι τῇ μανίᾳ. 313. Ὁ Φοῖβος γὰρ ἤγουν ὁ Ἀπόλλων· εἰ καὶ μὴ ἤκουσας τῶν ἀγγέλων πέμψασιν ἡμῖν ἀντέπεμψεν μόνην ἂν ἐλθεῖν ἐλευθερίαν τοῦδε τοῦ νοσήματος, εἰ τοὺς κτανόντας τὸν Λάϊον μαθόντες εὖ κτείναιμεν ἢ ἐκ τῆς γῆς πεμψαίμεθα φυγάδας. 321. Ἤγουν καθαρὸν ἡμᾶς τοῦ μιάσματος. τὸν μιασμὸν τὸν διὰ τὸν τεθνηκότα ἀκολουθήσαντα. 323. Ἤτοι ἡ σωτηρία ἡμῶν ἐν σοὶ φαίνεται· τὸ ὠφελεῖν δέ τινα ἄνδρα ἐξ ὧν ἔχει καὶ δύναται κάλλιστος πόνων. 324. Μὴ τέλη λύει· ἤγουν λυσιτελεῖ. 325. Ὅτι μέλλω ἀναγκασθήσεσθαι· εἰ γὰρ ἐφύλαττον, οὐκ ἂν ἦλθον ἐνταῦθα.

329. Ἦν

Digitized by Google

Εἰδὼς, διώλεσ᾽· οὐ γὰρ ἂν δεῦρ᾽ ἱκόμην.
Οἰ. Τί δ᾽ ἔστιν; ὡς ἄθυμος εἰσελήλυθας.
Τϵ. Ἄφες μ᾽ ἐς οἴκους· ῥᾷστα γὰρ τὸ σόν τε σὺ,
Κἀγὼ διοίσω τοὐμὸν, ἣν ἐμοὶ πίθῃ.
Οἰ. Οὔτ᾽ ἔννομ᾽ εἶπες, οὔτε προσφιλὲς πόλει
Τῇδ᾽, ἥ σ᾽ ἔθρεψε, τήνδ᾽ ἀποστερῶν φάτιν.
Τϵ. Ὁρῶ γὰρ οὐδέ σοι τὸ σὸν φώνημ᾽ ἰὸν
Πρὸς καιρὸν, ὡς οὖν μηδ᾽ ἐγὼ ταὐτὸν πάθω.
Χο. Μὴ πρὸς θεῶν, φρονῶν γ᾽ ἀποστραφῇς· ἐπεὶ
Πάντες σε προσκυνοῦμεν οἵδ᾽ ἱκτήριοι.
Τϵ. Πάντες γὰρ οὐ φρονεῖτ᾽· ἐγὼ δ᾽ οὐ μήποτε
Τἄμ᾽, ὡς ἂν εἴπω, μὴ τὰ σ᾽ ἐκφήνω κακά·
Οἰ. Τί φῄς; ξυνειδὼς οὐ φράσεις, ἀλλ᾽ ἐννοεῖς
Ἡμᾶς προδοῦναι καὶ καταφθεῖραι πόλιν;

329. Ἣν ἐμοὶ πίθῃ] ἐὰν μοι ἀπελθεῖν ἐάσῃς. 331. Τήνδ᾽ ἀποστερῶν φάτιν] μὴ λέγων τὸν χρησμόν. τὸ δὲ ἀποστερῶ, ἐνίοτε μὲν ἀπὸ αἰτιατικῆς εἰς γενικὴν ἔχει τὴν σύνταξιν· ἐνίοτε δὲ καὶ ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικὴν, ὡς ἐνταῦθα. 332. Ὁρῶ γὰρ οὐδέ σοι τὸ σὸν φώνημ᾽ ἰὸν] οὐ γὰρ σύμφορός σοι οὐδὲ κατὰ καιρὸν ἡ ζήτησις γίγνεται. ἵνα οὖν μὴ ἐκ τούτου μέμψις ἀκολουθήσῃ, σιωπῶ. τὸ μὲν κατὰ λόγον, ἐλλιπές ἐστι· τὸ δὲ κατὰ διάνοιαν, πλῆρες. ὃ δὲ βούλεται λέγειν, ὁρῶ τὸ σὸν φώνημα μὴ πρὸς καιρὸν ἐξιόν· κἀγὼ οὖν φωνὴν μὴ πρὸς καιρὸν ἀφιέναι φυλάσσομαι. 334. Μὴ πρὸς θεῶν] ὑποβαλόντος τοῦ Τειρεσίου ἀρχὴν ὅτι ἐπίσταται, ὁ χορὸς καταλιπαρεῖ εἰπεῖν· εἶτα ἀρνουμένου ἐξάγεται εἰς λοιδορίαν πρὸς αὐτὸν ὁ Οἰδίπους. ὅθεν παροξυνθεὶς λέγει. ἔχει οὖν τὰ τῆς ὑποθέσεως ἄριστα. 336. Ἐγὼ δ᾽ οὐ μήποτε] οὐκ ἐμφανῶ τὰ ἐμὰ ἔπη, ἵνα μὴ τὰ σὰ εἴπω κακά. ἤδη δὲ τρανώτερόν φησιν, ὅτι τὰ αὐτοῦ κακὰ ἀποκρύπτεται.

ΣΧΟΛ. ΤΡΙΚΛ. 332. Ὁρῶ γὰρ οὐδέ σοι] οὕτως ἔδει εἰπεῖν, νῦν σιωπῶ, ἵνα μὴ δόξω καὶ αὐτὸς ἄκαιρος. ὁρῶ γὰρ καὶ τὸ σὸν φώνημα οὐδέ σοι ἐρχόμενον πρὸς καιρόν. νῦν δὲ προϋπέθηκα τὴν κατασκευὴν, ἀφ᾽ ἧς νοεῖται ἔξωθεν τὸ ναὶ σιωπῶ, ὅπερ ἔχει τὴν δύναμιν πρὸς τό. ὡς οὖν μηδ᾽ ἐγὼ ταὐτὸν πάθω. τὸ δέ σοι, εἰς τὸ πρὸς καιρὸν συναπτέον. 337. Μὴ τὰ σ᾽ ἐκφήνω κακὰ] ἤγουν φανερώσω. λάμβανε δὲ καὶ πρὸς τἀμὰ



Digitized by Google

Sciens perii, neque enim huc venire debui.

*Oe.* Quid rei est quòd tristis huc advenisti?

*Ti.* Dimitte me domum; facillimè enim tuumque tu,
Et ego perferam meum, si mihi parueris.

*Oe.* Nec justa dixisti, nec grata urbi {culum,
Huic, quæ te aluit, hoc supprimens a nobis ora-

*Ti.* Video enim, ne quidem tibi ipsi tuam exire vocem
Commodè. Quare ne et ego idem patiar *metuo*.

*Oe.* Ne per Deos, cum scias, recuses *dicere*; quoniàm
Omnes te rogamus supplices.

*Ti.* Omnes enim desipitis. Ego verò neutiquam
Mea sic eloquar, ne tua aperiam mala.

*Oe.* Quid ais? etiamsi scias, non dices? sed cogitas
Nos prodere, et perdere urbem?

τἀμὰ τὸ ἐκφήνω, κατὰ συνεκδοχήν. πλὴν ἐκεῖ μὲν χωρὶς τοῦ κακοῦ ἐρεῖς, οὕτως, ἐγὼ δ' ὡς ἂν εἴπω, οὐ μήποτ' ἐκφήνω τὰ ἐμὰ, ἤγουν, ὥστε ὃ νῦν περὶ τῶν παρόντων εἴπω, μήπως ἐκφήνω τὰ σὰ κακὰ, ἤγουν τὴν σὴν ἀνομίαν.

SCHOL. INED. 327. λίαν δύσθυμος, ἤγουν λελυπημένος, καὶ ἐναντίον, ὁ εὔθυμος. 328. Φορτίον ἤγουν τὴν παροῦσάν σοι τύχην, ἀπὸ μεταφορᾶς τῶν βασταζόντων φορτίον. Ῥᾷστα ἤγουν εὐκολώτατα σύ τι τὸ σὸν διοίσεις ἀπὸ κοινοῦ καὶ ἐγὼ τὸ ἐμόν· ἢν ἐμοὶ πιθῇς ἤγουν καταπεισθῇς· ἀπὸ μεταφορᾶς τῶν βασταζόντων τι ταῦτα λέγεται· ἤγουν καὶ σὺ εὐκολώτατα βαστάζεις τὸ σὸν φορτίον, ἤγουν τὴν σὴν τύχην, καὶ ἐγὼ τὴν ἐμήν. 330. Τῇ πατρίδι δηλονότι ἥ τις σοι παρέσχε τὰς αἰτίας τῆς ἀνατροφῆς. 331. Ἀποστερῶν τὴν πόλιν τὴν φήμην τοῦ μὴ λέγειν τὸν χρησμόν. ἤγουν οὐκ ἔστι σοὶ συμφέρον. ἵνα οὖν μὴ ταῦτα πάθω καὶ ἐγὼ, ἤγουν εἴπω τι ἔξω τοῦ δέοντος, σιωπῶ. Τὸ ἀποστερῶ ἐνίοτε μὲν ἀπὸ αἰτιατικῆς εἰς γενικὴν ἔχειν τὴν σύνταξιν· οἷον, ἀποστερῶ σε τοῦδε· ἐνίοτε δὲ, καὶ ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικὴν, ὡς ἐνταῦθα. 340. Νοῶν τὸ πρᾶγμα, εἴδησιν ἔχων τοῦ πράγματος. Ναὶ δηλονότι ἱκεσίας ποιεῖτε. Οὐ μήποτε εἴπω τὰ ἐμὰ ἤγουν τὴν ἐμὴν μαντείαν· ὡς ἂν, μὴ ἐκφήνω ἤγουν φανερὰ ποιήσω τὰ σὰ κακά.

Τει. Ἐγώ τ' ἐμαυτὸν οὔτε σ' ἀλγυνῶ. τί ταῦ —
 Τ' ἄλλως ἐλέγχεις; οὐ γὰρ ἂν πύθοιό μου.
Οἰ. Οὐκ, ὦ κακῶν κάκιστε (καὶ γὰρ ἂν πέτρου
 Φύσιν σύ γ' ὀργάνειας) ἐξερεῖς ποτέ;
 Ἀλλ' ὧδ' ἄτεγκτος κἀτελεύτητος φανῇ;
Τει. Ὀργὴν ἐμέμψω τὴν ἐμήν· τὴν σὴν δ' ὁμοῦ
 Ναίουσαν οὐ κατεῖδες, ἀλλ' ἐμὲ ψέγεις.
Οἰ. Τίς γὰρ τοιαῦτ' ἂν οὐκ ἂν ὀργίζοιτ' ἔπη
 Κλύων, ἃ νῦν σὺ τήνδ' ἀτιμάζεις πόλιν;
Τει. Ἥξει γὰρ αὐτά, κἂν ἐγὼ σιγῇ στέγω.
Οἰ. Οὐκοῦν ἅ γ' ἥξει, καὶ σὲ χρὴ λέγειν ἐμοί.
Τει. Οὐκ ἂν πέρα φράσαιμι· πρὸς τάδ', εἰ θέλεις,
 Θυμοῦ δι' ὀργῆς ἥτις ἀγριωτάτη.
Οἰ. Καὶ μὴν παρήσω γ' οὐδὲν, ὡς ὀργῆς ἔχω,
 Ἅπερ ξυνίημ'. ἴσθι γὰρ δοκῶν ἐμοὶ

340. Ἐγώ τ' ἐμαυτὸν οὔτε σ' ἀλγυνῶ] ἑαυτὸν ἀλγυνεῖν ἔφη, ἴσως ἐπιστάμενος ὅτι κακῶς ἀκούσεται ὑπ' αὐτοῦ ἀπιστούμενος. τάχα δὲ καὶ βουλόμενος ἀποκρύπτειν συμπεριέλαβεν ἑαυτὸν, ὡς καὶ ἔμπροσθεν, Τἄμ', ὡς ἂν εἴπω μὴ τά σ' ἐκφήνω κακά. 342. Οὐκ, ὦ κακῶν κάκιστε] ἐν ὑπερβατῷ ὁ λόγος, οὐ λέξεις, ὦ κακῶν κάκιστε; Ib. Καὶ γὰρ ἂν πέτρου φύσιν σύγ' ὀργάνειας] ὅ ἐστι ταράξειας, καὶ εἰς ὀργὴν ἐκβάλειας. ἀπολογεῖται δὲ περὶ τῆς ὕβρεως, λέγων ὅτι καὶ πέτρου φύσιν σύ γ' ὀργάνειας. 344. Ἀλλ' ὧδ' ἄτεγκτος κἀτελεύτητος φανῇ;] ἄτεγκτος ἀντὶ τοῦ ἀσυμπαθὴς καὶ ἀδάκρυτος. τέγγειν γὰρ τὸ βρέχειν. ἀτελεύτητος, δυσαξίωτος, δυσπαραίτητος, ἀμείλιχος. 349. Ἥξει γὰρ αὐτὰ] ἥγουν αὐτόματα. 351. Πρὸς τάδ', εἰ θέλεις, θυμοῦ] τὸ θυμοῦ οὐκ ἔστι γενικὴ, ἀλλὰ ῥῆμα προστακτικόν. 353. Καὶ μὴν παρήσω γ' οὐδὲν] ὀργιζόμενος οὐδὲν σιωπήσομαι ὧν πέπεισμαι καὶ ὑπονοῶ.

ΣΧΟΛ. ΤΡΙΚΛ. 340. Ἐγώ τ' ἐμαυτὸν] μὴ λάβῃς ἕτερον οὐ ἔξωθεν, εἰς τὸ ἐγώ τ' ἐμαυτὸν, (ὥσπερ τινές φασιν) ἀλλ' οὕτω λέγε, ἐγὼ γὰρ ἐμαυτὸν καὶ σὲ οὐκ ἀλγυνῶ. εἰ γὰρ ἐθελήσω τὸ τοῦ λοιμοῦ αἴτιον λέγειν, αὐτός τε δόξω θρασὺς βασιλέα ἐλέγχων. καὶ ἴσως ἂν καὶ κακόν τι λάβω· σύ τ' αὖ λυπηθήσῃ, τῶν παρόντων ἀποφανεὶς αἴτιος. 342.

Οὐκ,

Digitized by Google

*Ti.* Ego neque meipſum, neque te dolore afficiam. Quid hæc
Fruſtrà requiris? Non enim ex me audies.
*Oe.* Non, O malorum peſſime (etenim et ſaxum
Tu irritare queas) aliquando dices?
Sed ità vis immitis et pertinax videri?
*Ti.* Iram incuſas meam, tuam verò ſimul
Cohabitantem non reſpicis, meque improbas.
*Oe.* Quis enim non iraſcatur hæc verba [urbem?
Audiens, quibus tu jam hanc contumeliâ afficis
*Ti.* Evenient enim hæc *ſponte*, licet ego tegam ſilentio.
*Oe.* Proinde quæ eventura ſunt, et te oportet mihi
*Ti.* Nihil ampliùs dicam: quare, ſi lubet [dicere.
Prorumpe ad iram vel ſæviſſimam.
*Oe.* Atqui nihil ſanè omittam, ut irâ efferor,
*Eorum* quæ cenſeo: Scito enim *te* videri mihi

Οὐκ, ὦ κακῶν κάκιστε] σύναπτε τὸ οὐκ πρὸς τὸ ἐξερεῖς. τὸ δ' ὀργάνειας φύσιν πέτρου, ἀντὶ τοῦ κινήσειας, οὐ μόνον ἐμὲ, ἀλλὰ καὶ πέτραν εἰς ὀργήν. λέγει δὲ τοῦτο, ἐπειδὴ εἶπεν αὐτὸν κάκιστον. τὸ δὲ ἀτελεύτητος, ἀντὶ τοῦ μὴ τέλος τοῖς ζητουμένοις διδούς. 345. Ὀργὴν ἐμέμψω] ἣ ἣν ἔχω πρὸς τὰ παρόντα, μὴ βουλόμενος λέγειν ὅθεν παύσονται, ἢ εἰς ἣν ἐγὼ ἄλλους κινῶ· ὃ καὶ κρεῖττον. διὸ καὶ ἐπάγει, οὐκ εἶδας τὴν ναίουσάν σοι ὀργὴν, ἣ χρησάμενος εἶπας ἐμοὶ, κακῶν κάκιστε. 348. Ἃ νῦν σὺ] μὴ λάβῃς ἔξωθεν διὰ, ἀλλ' ὥσπερ φαμὲν, ὑβρίζω σὲ ὕβριν, οὕτω καὶ ἀτιμάζω σὲ τόδε. 353. Ὡς ὀργῆς ἔχω] ἤγουν, ὡς δυνατὸς ὀργίζεσθαι, οὐδὲν ἐκείνων παρήσω ἅπερ ξυμβάλλω ἱκανὰ εἶναι πρὸς κόλασιν σοι.

¶ Σχόλ. Τρικλ. 342. Οὐκ, ὦ κακῶν] ὀργὴ Οἰδίποδος καὶ Τειρεσίου.

SCHOL. INED. 344. Ἀνένδοτος, σκληρὸς, ἀμείλικτος, μὴ διδοὺς τέλος τῷ πράγματι. 345. Τὴν ὁμοῦ σοὶ αὐτῷ ναίουσαν ὀργὴν δηλονότι. 348. Ἀτιμάζων λέγεις, ἀτίμως λέγεις ἐν ἀτιμίᾳ ποιεῖς. 352. Ὀργίζου. 353. Διάκειμαι, ἤγουν ὀργιζόμενος. οὐδὲν ἀπ' ἐκείνων ἅπερ συμβάλλω, στοχάζομαι. 355. συνεργῆσαι, συγκατασκευάσαι, συμπνεῦσαι. ἀπὸ μεταφορᾶς τῶν τὴν ῥίζαν τῶν φυτῶν καταβαλλόντων.



Digitized by Google

Καὶ ξυμφυτεῦσαι τοὔργον, εἰργάσθαι θ' ὅσον
Μὴ χερσὶ καίνων· εἰ δ' ἐτύγχανες βλέπων,
Καὶ τοὔργον ἂν σοῦ τοῦτ' ἔφην εἶναι μόνου·—
Τει. Ἀληθές· ἐννέπω σε τῷ κηρύγματι,
Ὧιπερ προεῖπας ἐμμένειν, κἀφ' ἡμέρας
Τῆς νῦν προσαυδᾷν μήτε τούσδε, μήτ' ἐμὲ,
Ὡς ὄντι γῆς τῆσδ' ἀνοσίῳ μιάστορι.—
Οἰ. Οὕτως ἀναιδῶς ἐξεκίνησας τόδε
Τὸ ῥῆμα; καὶ ποῦ τοῦτο φεύξεσθαι δοκεῖς;
Τει. Πέφευγα· τἀληθὲς γὰρ ἰσχῦον τρέφω.
Οἰ. Πρὸς τοῦ διδαχθείς; οὐ γὰρ ἔκ γε τῆς τέχνης.
Τει. Πρὸς σοῦ· σὺ γάρ μ' ἄκοντα προὐτρέψω λέγειν.
Οἰ. Ποῖον λόγον; λέγ' αὖθις, ὡς μᾶλλον μάθω.
Τει. Οὐχὶ ξυνῆκας πρόσθεν, ἢ 'κπειρᾷ λέγειν;
Οἰ. Οὐχ ὥστε γ' εἰπεῖν γνωστόν· ἀλλ' αὖθις φράσον.
Τει. Φονέα σε φημὶ τἀνδρὸς οὗ ζητεῖς κυρεῖν.
Οἰ. Ἀλλ' οὔτι χαίρων, δίς γε πημονὰς ἐρεῖς.
Τει. Εἴπω τι δῆτα κἄλλ', ἵν' ὀργίζῃ πλέον.

355. Εἰργάσθαι δ' ὅσα μὴ χερσὶ] εἰργάσθαι τὰ ἄλλα τοῦ φόνου χωρὶς τῆς ἀπὸ τῶν χειρῶν ἐνεργείας. εἰ δὲ ἔβλεπες, ἐκάλουν ἄν σε καὶ φονέα αὐτόχειρα. 358. Ἀληθὲς ἐννέπειν] λέγω σε τῷ κηρύγματι ὑπεύθυνον εἶναι τῷ ὑπὸ σοῦ εἰρημένῳ. 362. Οὕτως ἀναιδῶς ἐξεκίνησας] οἴεται αὐτὸν πλασάμενον ψεύδεσθαι. εἰκότως δὲ ἀπιστεῖται ὡς δι' ὀργὴν εἰρηκώς. εἰ δὲ ἐπιστεύθη κατ' ἀρχὴν ὁ μάντις, τὰ ἑξῆς τοῦ δράματος ἀνῄρητο τοῦ ἀναγνωρισμοῦ, ἐν οἷς καταγίγνεται μάλιστα ὁ ποιητής. 365. Οὐ γὰρ ἔκ γε τῆς τέχνης] φανερῶς εἰς Κρέοντα ἡ ἀπότασίς ἐστι.

ΣΧΟΛ. ΤΡΙΧΛ. 358. Ἀληθές· ἐννέπω σε] ἤγουν, ἀληθές ἐστιν ἃ λέγεις, ὅτ' ἔφης ἂν εἶναι τὸ ἔργον ἐμοῦ· εἶτα συνδεδεμένον τὸν ἑξῆς λόγον ὀφείλων ἐκφέρειν, ὁ δὲ ἀσυνδέτως ἐπήγαγε, λέγων, ἐννέπων καὶ λέγων, ἐμμένειν καὶ ὑπάρχειν σε τῷ κηρύγματι καὶ τῷ ὀνείδει τῷ τοῦ φόνου, ὥσπερ καὶ ᾧ τινι προεῖπας ἐμμένειν, δηλονότι ἐμέ· ἤγουν, λέγω ὅτι σὺ ὑπάρχεις ὁ φονεὺς, οὐκ ἐγὼ, ὡς αὖ εἶπες, καὶ ἀπὸ τῆς νῦν ἡμέρας λέγω μήτε τούσδε τοὺς παρεστῶτας προσαυδᾷν, καὶ προσφωνεῖν καὶ ὁμιλεῖν σοι,
ὡς

Digitized by Google

Et cum *aliis* plantasse facinus, et patrasse tantùm
Non manibus cædem: sique oculorum suppetîsset
Et scelus hoc tuum solius esse dicerem. [usus,

*Ti.* Verum: Jubeo autèm te præconio,
Quod publicâsti, stare, et ab hâc ipsâ die
Alloqui neque hos *qui adsunt*, neque me,
Ut qui sis urbis hujus impium piaculum.

*Oe.* Itane impudenter ejecisti hunc
Sermonem? Et quò hoc evasurum *te* putas?

*Ti.* Evasi. veritatem enim validam alo.

*Oe.* A quo edoctus? Non enim ex arte *habes.*

*Ti.* A te. Tu enim me invitum perpulisti ut dicerem.

*Oe.* Quid diceres? dic rursùs, ut meliùs intelligam.

*Ti.* Non intellexi anteà? an, ut tentes, rogas?

*Oe.* Non ut cognitum dicas *rogo*, sed iterùm dic.

*Ti.* Peremtorem te *esse* dico viri, cujus *peremtorem* quæris.

*Oe.* At non impunè bis saltem convicia loquêre.

*Ti.* Dicam igitur et alia, ut irascare magis.

ὡς ὄντι καὶ ὑπάρχοντι μιάστορι ἀνοσίῳ τῆσδε τῆς γῆς, ἤγουν ὡς μιαίνοντι ἀνοσίως τήνδε τὴν γῆν. 363. Καὶ πῶ] ἤγουν, πῶ φυγὼν οὐχ ἕνεκα τούτου δώσεις ἐμοὶ δίκην; 369. Οὐχ ὥστε γ' εἰπεῖν] ἤγουν, οὐ προλέγω σοι ὥστ' εἰπεῖν ὅπερ λέγεις, γνωστὸν καὶ νοούμενον, ἤγουν ἵνα τοῦτο σαφέστερον εἴπῃς, ὥστε νοηθῆναι· ἐπεὶ πάλαι τοῦτο νενόηκα, ἀλλ' ὥστ' αὖθις καὶ πάλιν φράσαι. οὕτω δ' ὀφείλων εἰπεῖν κατὰ ἀκολουθίαν τοῦ λόγου, ὁ δ' ἑτέρως τὴν σύνταξιν ἔτρεψεν, ἀλλ' αὖθις φράσον, εἰπών. 370. Οὗ ζητεῖς] δέον εἰπεῖν ὃν ζητεῖς, πρὸς τὸ ἀνδρὸς ἐπήνεγκεν. 372. Τί δῆτα] ἢ τὸ δῆτα ἐρωτηματικόν ἐστι διὰ μέσου τιθὲν, οὕτω, τί δῆτα εἴπω καὶ ἄλλο, ἵνα ὀργίζῃ πλέον; ἢ τὸ μὲν δῆτα ἀργὸν, τὸ δέ τι ἀόριστον, ἵνα καὶ ἐρωτηματικὸς ᾖ καὶ ἀποφαντικὸς ὁ λόγος, ὥσπερ κἀκεῖ.

SCHOL. INED. 360. Προσομιλεῖν, προσαγορεύειν, προσδιαλέγεσθαι. 362. Οὕτως ἔξω τοῦ πρέποντος; παρεκινήθης καὶ εἶπας τοῦτον τὸν λόγον, ἀναιδῶς ἤγουν ἀναισχύντως. 369. Τὴν ἀκολουθοῦσαν τῷ ῥήματι βλάβην.

374. Λιλι-

Digitized by Google

Οἰ. Ὅσον γε χρήζεις· ὡς μάτην εἰρήσεται.
Τει. Λεληθέναι σέ φημι σὺν τοῖς φιλτάτοις
Αἴσχισθ' ὁμιλοῦντ', οὐδ' ὁρᾷν ἵν' εἶ κακοῦ.
Οἰ. Ἦ καὶ γεγηθὼς ταῦτ' ἀεὶ λέξειν δοκεῖς;
Τει. Εἴπερ τι γ' ἐστὶ τῆς ἀληθείας σθένος.
Οἰ. Ἀλλ' ἔστι πλὴν σοί· σοὶ δὲ τοῦτ' οὐκ ἔστ', ἐπεὶ
Τυφλὸς τά τ' ὦτα, τόν τε νοῦν, τά τ' ὄμματ' εἶ.
Τει. Σὺ δ' ἄθλιός γε ταῦτ' ὀνειδίζων, ἃ σοὶ
Οὐδεὶς ὃς οὐχὶ τῶνδ' ὀνειδιεῖ τάχα.
Οἰ. Μιᾶς τρέφῃ πρὸς νυκτός. ὥστε μήτ' ἐμὲ,
Μήτ' ἄλλον, ὅστις φῶς ὁρᾷ, βλέψαι πότ' ἄν.
Τει. Οὐ γάρ με μοῖρα πρός γέ σου πεσεῖν, ἐπεὶ
Ἱκανὸς Ἀπόλλων, ᾧ τάδ' ἐκπρᾶξαι μέλει.
Οἰ. Κρέοντος ἢ σοῦ ταῦτα τἀξευρήματα;
Τει. Κρέων δέ σοι πῆμ' οὐδέν· ἀλλ' αὐτὸς σὺ σοί.
Οἰ. Ὦ πλοῦτε, καὶ τύραννοι, καὶ τέχνη τέχνης

374. Λεληθέναι σέ φημι σὺν τοῖς φιλτάτοις] εὐσχημόνως ἀπήγγειλε τὸ περὶ τῆς μητρός. 378. Ἀλλ' ἔστι πλήν σοι] δέον εἰπεῖν σοῦ, πρὸς τὸ πλὴν, πρὸς τὴν ὄπισθεν ἔξωθεν νοουμένην, εἰς τὸ ἔστι δεικτικὴν, ἐπήνεγκε, τὸ σοί. Ib. Σοὶ δὲ τοῦτ' οὐκ ἔστ', ἐπεὶ] ἴσον ἐστὶν ὁ Οἰδίπους παραβαλλόμενος ὡς ὁ Ἀγαμέμνων πρὸς τὸν Χάλκαντα. 380. Ἃ σοι οὐδεὶς] οὐδείς ἐστιν ὃς οὐ ταῦτα ὀνειδίσει ἅπερ μοι ὠνείδισας. τὸ δὲ τάχα, ἀντὶ τοῦ ταχέως. οἷον, καί σε μετ' ὀλίγον ἐροῦσι τυφλόν. καὶ περὶ τῆς πηρώσεως δὲ λεληθότως αὐτῷ μαντεύεται. 382. Μιᾶς τρέφῃ πρὸς νυκτὸς] διπλοῦν τὸ διανόημα. ἤτοι οὖν οὕτως, ὑπὸ μιᾶς νυκτὸς τῆς ἀορασίας τῆς διηνεκῶς κατεχούσης σε τρέφῃ, ὡς μηδὲν διαθεῖναι κακὸν τοὺς ὁρῶντας· ἢ οὕτως, διὰ τὸ πηρὸν εἶναι ἐλεοῦσί σε πάντες. ἀπόχρη γὰρ καὶ τὸ τῆς πηρώσεως. Ib. Μιᾶς νυκτὸς] συνεχοῦς τυφλώσεως. 385. Ἱκανὸς Ἀπόλλων ᾧ τάδ' ἐκπρᾶξαι μέλει] ἀντὶ τοῦ, τὰ κατ' ἐμὲ ἐκδικῆσαι. λείπει, ἐάν με φονεύσῃς. 388. Ὦ πλοῦτε] πεποίηκε τὸν Οἰδίπουν ὑπονοεῖν ἐξ ὑποβολῆς Κρέοντος ταῦτα εἰρῆσθαι, ἵνα ζηλοῦντος αὐτοῦ ἀφορμὴν εὔλογον ἔχῃ τὰ λοιπὰ τοῦ δράματος.

ΣΧΟΛ.

*Oe*. Quantum quidem vis, nam fruſtrà dicetur.
*Ti*. Te neſcientem dico cum chariſſimis
Turpiſſimè conſueſcere, neque cernere quibus es
in malis.
*Oe*. An impunè hæc te ſemper dicturum putas?
*Ti*. Siquidem aliquid ineſt veritati roboris.
*Oe*. Eſt ſanè, niſi tibi: tibi autèm nulla eſt, quoniàm
Cæcus et auribus, et mente oculiſque es.
*Ti*. Tu miſer hæc nunc exprobras *mihi*, quæ tibi
Nemo non horum mox exprobrabit. [me,
*Oe*. Sola te tuetur cæcitas: *alioqui feciſſem* ut neque
Nec quemvis alium lucem videntem cerneres.
*Ti*. At nolunt fata me tuâ cadere *manu*, nam
Sufficit Apollo, cui iſtud curæ erit.
*Oe*. Tuane an Creontis hæc ſunt commenta?
*Ti*. Creon tibi nulla mali cauſſa; ſed ipſe tu tibi.
*Oe*. O divitiæ, et regnum, et ars artem

ΣΧΟΛ. ΤΡΙΚΛ. 373. Ὅσον γε χρήζεις] τὸ ὅσον πρὸς τὸ νοούμενον ἔξωθεν εἶπε, οὐ πρὸς τὸ χρήζεις. εἰ γὰρ ἦν οὕτω, τὸ σὸν μέγα ἐγράφετ' ἄν. 378. Πλὴν σοι] δέον εἰπεῖν σοῦ πρὸς τὸ πλὴν, πρὸς τὴν ὄπισθεν ἔξωθεν νοουμένην, εἰς τὸ ἐστὶ δοτικὴν, ἐπήνεγκε, τὸ σοί. 382. Μιᾶς τρέφῃ πρὸς νυκτὸς] τοῦτο λέγει, ὅτι ἡ τύφλωσις σώζει σὲ, καὶ οὐδεὶς βούλεται βλάψαι σὲ, κατοικτίζων τοῦ πάθους· καλεῖ δὲ τὴν τύφλωσιν νύκτα, διὰ τὸ σκοτεινόν. μιᾶς δὲ λέγει, διὰ τὴν συνέχειαν, καὶ τὸ ἀεὶ ὡσαύτως ἔχειν, καὶ μηδέποτε λήγειν. ἢ οὕτως, ἡ κατέχουσα τύφλωσις ἀρκεῖ σοι πρὸς τιμωρίαν, ὡς μηδ' ἂν ἄλλης δεῖσθαι κολάσεως. κρεῖττον δὲ τὸ πρῶτον. 388. Καὶ τέχνη τέχνης] ἤγουν φρόνησις καὶ σοφία κρείττων οὖσα τῆς τῶν ἄλλων φρονήσεως. λέγει δὲ τὴν αὐτοῦ. οὐδεὶς γάρ πω τῶν τόθ' Ἑλλήνων οὕτω τεθαύμασται ὥσπερ αὐτὸς τὰ Σφιγγὸς εὑρὼν αἰνίγματα.

SCHOL. INED. 369. Οὐχὶ ξυνῆκα οὕτως· ὥστε εἰπεῖν ἐγνωσμένον ὃ ἐνόησα. 374. Περισσῶς λέγεται ἡ σὺν, ἤγουν συγγενόμενον μετὰ τῆς μητρός. Καὶ δοκῶ λέξειν ταῦτα γεγηθώς.



Digitized by Google

Ὑπερφέρουσα τῷ πολυζήλῳ βίῳ,
Ὅσος παρ' ὑμῖν ὁ φθόνος φυλάσσεται·
Εἰ τῆσδέ γ' ἀρχῆς οὕνεχ', ἣν ἐμοὶ πόλις
Δωρητὸν οὐκ αἰτητὸν εἰσεχείρισε,
Ταύτης Κρέων ὁ πιστὸς, οὐξ ἀρχῆς φίλος,
Λάθρα μ' ὑπελθὼν ἐκβαλεῖν ἱμείρεται,
Ὑφεὶς μάγον τοιόνδε μηχανοῤῥάφον,
Δόλιον, ἀγύρτην, ὅστις ἐν τοῖς κέρδεσι
Μόνον δέδορκε, τὴν τέχνην δ' ἔφυ τυφλός.
Ἐπεὶ, φέρ' εἰπὲ, ποῦ σὺ μάντις εἶ σαφής;
Πῶς οὐχ', ὅθ' ἡ ῥαψῳδὸς ἐνθάδ' ἦν κύων
Ηὔδας τι τοῖσδ' ἀστοῖσιν ἐκλυτήριον;
Καίτοι τόγ' αἴνιγμ' οὐχὶ τοῦ 'πιόντος ἦν
Ἀνδρὸς διειπεῖν, ἀλλὰ μαντείας ἔδει·
Ἣν οὔτ' ἀπ' οἰωνῶν σὺ προὐφάνης ἔχων

393. Οὐ 'ξ ἀρχῆς φίλος] ἐν εἰρωνείᾳ. 394. Ὑπελθὼν] ὑπέρχομαι, τὸ ὑποκάτω τινὸς ἔρχομαι, καὶ ἀπὸ τούτου τὸ κολακεύω. οἱ γὰρ κολακεύοντες ὑπὸ τὴν γῆν σχηματίζονται. ἐνταῦθα δὲ τὸ ὑπελθὼν ἀπὸ μεταφορᾶς τῶν παλαιόντων λέγεται, ὅταν τοὺς ἀντιπάλους ὑπέρχωνται λαθόντες, ἵνα εὐχειρώτους αὐτοὺς ποιήσαντες καταστρέψωσι. 395. Μηχανοῤῥάφον] τὰ φαῦλα μηχανώμενον. μάγους δὲ ἐκάλουν τοὺς ψευδεῖς φαντασίας περιτιθέντας. ἀπὸ τούτου δὲ καὶ τοὺς φαρμακεῖς μάγους ἔλεγον. 396. Ἀγύρτην] πτωχὸν, ὀχλαγωγόν. 397. Δέδορκεν] ἐνταῦθα ἀντὶ τοῦ δύναμιν ἔχει τοῦ ὁρᾷν λαμβάνεται, καὶ ἔστιν ἀμετάβατον. εἰ γὰρ ἐλέγετο μεταβατικῶς, διὰ τῆς εἰς προθέσεως μετέβαινεν ἂν τῆς δηλούσης κίνησιν, (καὶ εἶχεν ἂν ὁ λόγος οὕτως, ὅστις εἰς τὰ κέρδη δέδορκε μόνον) οὐ διὰ τῆς ἐν, ἥτις ἀεὶ στάσεώς ἐστι δηλωτική. 399. Ῥαψῳδὸς] ἡ Σφὶγξ ἡ ῥάπτουσα τὰς ᾠδάς. τὸ δὲ ὄνομα τοῦ ῥαψῳδοῦ καθ' Ὅμηρον, ἢ μεθ' Ὅμηρον ἦν· κύνα δὲ αὐτὴν καλεῖ διὰ τὸ ἁρπακτικόν. 401. Οὐχὶ τοῦ 'πιόντος ἦν] τοῦ τυχόντος. ἀντὶ τοῦ, οὐ τοῦ τυχόντος ἦν σαφηνίσαι. διὰ τούτων δὲ αὔξει τὸ ἴδιον κατόρθωμα μεῖζον καὶ μαντικῆς καὶ πάσης ἀνθρωπίνης συνέσεως.

ΣΧΟΛ. ΤΡΙΚΛ. 396. Δόλιον, ἀγύρτην] ἤγουν τὸν περὶ τὰς ἀγυιὰς βαίνοντα,

Superans in expetendæ vitæ ſubſidium,
Quanta apud vos invidia ſervatur?
Siquidem ex hoc regno, quod mihi civitas [nus,
Sponte traditum, non expetitum detulit in ma-
Ex hoc, *inquam*, Creon, ille fidus, ille ex initio
Clàm me ſubruens expellere ſtudet, [amicus
Magum ſubornans hunc, dolorum conſutorem;
Fraudulentum, circulatorem, qui in lucris
Solummodo cernit, ad artem verò cæcus eſt.
Nam dic age, ubi tu fuiſti certus vates?
Cur non, ubi conſutrix-carminum adeſſet canis,
Proferebas aliquam hiſce civibus ſolutionem?
Atqui illud ænigma non vulgaris erat
Viri interpretari, ſed divinationis egebat, [bens
Quam neque ab augurio tu produxiſti notam ha-

βαίνοντα, ἤγουν χυδαῖον. ἵν' οὕτως εἴπω, καὶ τῆς φαυλοτάτης τυγχάνοντα μοίρας, ὃν πᾶς τις ἄγει καὶ φέρει ῥᾶον διὰ τὸ τῆς τύχης ταπεινόν. 403. Οἰωνῶν] ἤγουν, πρὶν ἐμὲ ἀφῖχθαι, ἐδείχθης οὐ γιγνώσκων τινὰ μαντείαν, οὔτ' ἀπὸ ὀρνέων, οὔτ' ἀπὸ θεῶν τινός. οὕτω τὸ ἔχων γνωτὸν, τινὰ μαντείαν νόει.

¶ Σχήμ. Τρικλ. 388. Ὦ πλοῦτε] Οἰδίποδος κατὰ Τειρεσίου κατηγορία. καὶ αὐτοῦ σεμνολογία. 399. Ἐπεὶ, φέρ' εἰπὲ] ἔνστασις.

SCHOL. INED. 379. Τὰ ὦτα τυφλὸς, ἤγουν κωφὸς τὸν νοῦν· τυφλός ἤγουν παραπετραμμένος, ἀνόητος· τυφλὸς τὰ ὄμματα, ἤγουν μὴ ὁρῶν. 381. Οὐδεὶς ἀπὸ τῶνδε ἤγουν τῶν πορισμάτων ἐστὶ δηλονότι ὃς οὐκ ὀνειδίζει σοι ταχέως. 386. Ὧι μέλει ἤγουν διὰ φροντίδος ἐστίν. Ἀπαιτῆσαι· τιμωρῆσαι· εἰσπράξαι. σαυτῷ σχῆμα. ὦ τύραννε κοινὸν ὦ τύραννος; Ἀττικόν. 398. Ἴω τὸ πορεύομαι· ὁ δεύτερος ἀόριστος. ἴον, ἴες, ἴε, καὶ τὸ προστακτικὸν ἴθι, καὶ μεταθέσει, εἶ. 389. Κατὰ τὸν πολὺν φθόνον ἔχοντα βίον. 399. Ἤγουν ἡ γυνὴ Σφὶγξ ἡ συντιθεῖσα ἐμμέτρους λόγους. 392. Κατὰ ἑκούσιον δωρεὰν αὐτῆς. 403. Οὔτ' ἀπ' οἰωνῶν ἐφάνης ἔχων γνωτὸν ἀντὶ τοῦ γνώστην· ἤγουν ἐφάνης γινώσκων· οὔτε ἔκ τινος ἀπὸ τῶν θεῶν.



Digitized by Google

Οὔτ' ἐκ θεῶν του γνωτόν· ἀλλ' ἐγὼ μολὼν
Ὁ μηδὲν εἰδὼς Οἰδίπους, ἔπαυσά νιν
Γνώμῃ κυρήσας, οὐδ' ἀπ' οἰωνῶν μαθών.
Ὃν δὴ σὺ πειρᾷς ἐκβαλεῖν, δοκῶν θρόνοις
Παραστατήσειν τοῖς Κρεοντείοις πέλας·
Κλαίων δοκεῖς μοι καὶ σὺ, χὠ συνθεὶς τάδε,
Ἀγηλατήσειν· εἰ δὲ μὴ 'δόκεις γέρων
Εἶναι, παθὼν ἔγνως ἂν οἷάπερ φρονεῖς.—
Χο. Ἡμῖν μὲν εἰκάζουσι, καὶ τὰ τοῦδ' ἔπη
Ὀργῇ λελέχθαι καὶ τὰ σ', Οἰδίπου, δοκεῖ.
Δεῖ δ' οὐ τοιούτων, ἀλλ' ὅπως τὰ τοῦ θεοῦ
Μαντεῖ' ἄριστα λύσομεν, τόδε σκοπεῖν.—
Τει. Εἰ καὶ τυραννεῖς, ἐξισωτέον τὸ γοῦν
Ἴσ' ἀντιλέξαι· τοῦδε γὰρ κἀγὼ κρατῶ.
Οὐ γάρ τι σοὶ ζῶ δοῦλος, ἀλλὰ Λοξίᾳ·
Ὥστ' οὐ Κρέοντος προστάτου γεγράψομαι.

408. Παραστατήσειν πέλας] ἐκ παραλλήλου. τὸ γὰρ παραστατήσειν, τὸ πέλας στήσεσθαι δηλοῖ. 410. Ἀγηλατήσειν] ἐὰν δασέως, τὸ ἄγος ἀπελάσειν τὸ περὶ τὸν Λάϊον· ἐὰν δὲ ψιλῶς, ἀντὶ τοῦ βασιλεύσειν. 416. Ἐξισωτέον] λείπει ἐμοί. 417. Τοῦδε γὰρ κἀγὼ κρατῶ] τοῦ ἐξίσου λέγειν.

ΣΧΟΛ. ΤΡΙΚΛ. 405. Ὁ μηδὲν εἰδὼς] τοῦτο ἢ ταπεινοφρονῶν Οἰδίπους λέγει· ἢ ὁ μηδὲν εἰδὼς, ἀντὶ τοῦ ὁ μηδὲν πώποτε περὶ τῶν τῆς Σφιγγὸς αἰνιγμάτων ἀκούσας· ἢ ὁ μηδὲν εἰδὼς περὶ τῶν μελλόντων, καθὰ σύ γε κομπάζεις τῇ μαντικῇ. 410. Ἀγηλατήσειν] ἤγουν ὡς ἄγος ἐξελαθήσεσθαι τῆς πόλεως παρ' ἐμοῦ. ἢ ἀντὶ τοῦ ἄρξειν νόει. ἀγηλατῶ γὰρ τὸ ἄγω καὶ φέρω καὶ ἐξουσιάζω λαόν. ὅπερ εἰ εἴποις, κατ' εἰρωνείαν καὶ γέλωτα ἔσται ὁ λόγος, οὕτω, δοκεῖς μοι καὶ σὺ καὶ ὁ συνθεὶς ταῦτα Κρέων κλαίων ἀγηλατήσειν καὶ δεσπόσειν τῆς χώρας, ἤγουν ἧς ἐπιθυμεῖτε ἀρχῆς, πολλῶν πληγῶν ἂν αἰτία ὑμῖν ἐξ ἐμοῦ γένοιτο. κρεῖττον δ' ἐστὶ τὸ ἀγηλατήσειν, ἀντὶ τοῦ ὡς ἄγος ἐλαθῆναι, διὰ τὸ ἐπιφερόμενον.

¶ Σχήμ. Τρικλ. 404. Οὔτ' ἐκ θεῶν] ἀντιπαράστασις. 416. Εἰ

καὶ

Digitized by Google

Neque a deorum aliquo: at ego adveniens
Ille nihil ſciens Oedipus, compeſcui ipſam
Mentis *acie* aſſecutus, non ab alitibus edoctus.
Quem verò tu conaris ejicere, ſperans ſolio
Creontis te adſtaturum proximè [confinxit,
Tuo cum damno videris mihi & tu, & qui hæc
Regnaturus: & niſi te ſenem factum eſſe viderem
Infortunio cognoſceres, quàm malè ſentias.

*Ch.* Nobis quidem conjectantibus & hujus dicta
Per iram dici, tuaque, Oedipu, videntur.
At *nunc* non opus eſt his, ſed quomodo Dei
Oraculum ſolvamus optimè, conſiderare.

*Ti.* Sis licet tyrannus, hoc tamen par ſum tibi [ſum.
Ut paria contrà dicam: hujus enim ego potens
Neque enim ullatenus tibi ſervio, ſed Apollini:
Quare nec Creonte patrono mihi opus erit.

καὶ τύραν.] Τειρεσίου ἔλεγχος κατὰ Οἰδίποδος, καὶ προαγόρευσις ὧν μέλλει παθεῖν.

SCHOL. INED. 394. Ὑπέρχομαι· τὸ ὑποκάτω τινὸς ἔρχομαι· καὶ ἀπὸ τούτου τὸ κολακεύω· οἱ γὰρ κολακεύοντες ὕπουλον σχηματίζονται. ἐνταῦθα δὲ τὸ ὑπελθὼν, ἀπὸ μεταφορᾶς λέγεται τῶν παλαιόντων. ὅταν τοὺς ἀντιπάλους ὑπέρχωνται λαθόντες· ἵνα εὐχειρώτους, οὕτω ποιήσαντες καταστρέψωσιν. ὑπέρχομαι, τὸ κολακεύω. μετέρχομαι, τὸ τιμωρῶ καὶ κολάζω. 395. Διαβάλλει τὸν μάντιν, μάγον αὐτὸν λέγων. Ib. Ἀγύρτης ὁ κατὰ μῆνα λαμβάνων τὰ τέλη. 396. Διὰ τῆς ἐμαυτοῦ γνώσεως ἐπιτυχὼν αὐτῆς δηλονότι. τουτέστι τῶν αἰνιγμάτων αὐτῆς. 408. Παραστήσειν πέλας· ἐκ παραλλήλου· τὸ γὰρ παραστήσειν τὸ πέλας στήσεσθαι δηλοῖ. 410. τὸ ἄγος ἐλάσειν, ἤτοι ἐμὲ ὃν λέγετε φονέα εἶναι. Ib. Ἀντὶ τοῦ, εἰ δὲ μὴ ἦσθα γέρων· γέρων γὰρ ὢν, ἐξ ἀνάγκης καὶ νομίζεται εἶναι. 416. Ἄξιον ἐξισοῦσθαί σοι ὑπ' ἐμοῦ, τὸ γοῦν ἴσ' ἀντιλέξαι. ἤγουν τὸ ἀντιλέξαι σοὶ ἐμὲ τὰ ἴσα. τὸ ἐξισοῦσθαί σοι κατὰ τὸ λέγειν. 418. Ἄρχοντος τοῦ Κρέοντος. οὐ κατηγορηθήσομαι δοῦλος. 419. Προστάτης λέγεται, ὁ ἐν πολέμῳ ἔμπροσθεν ἱστάμενος. καὶ βοηθῶν τοῖς ὄπισθεν. προστάτης, καὶ ὁ τῷ ἀξιώματι προέχων τῶν ἄλλων· ἤγουν ὁ ἄρχων καὶ ἡγεμὼν, καθὸ λέγεται ἐνταῦθα.



Digitized by Google

Λέγω δ', ἐπειδὴ ϗ τυφλόν μ' ὠνείδισας,
Σὺ ϗ δέδορκας, κοὐ βλέπεις ἵν' εἶ κακοῦ,
Οὐδ' ἔνθα ναίεις, οὐδ' ὅτων οἰκεῖς μέτα.
Ἆρ' οἶσθ' ἀφ' ὧν εἶ; ϗ λέληθας ἐχθρὸς ὢν
Τοῖς σοῖσιν αὐτοῦ νέρθε, κἀπὶ γῆς ἄνω.
Καί σ' ἀμφιπλὴξ μητρός τε ϗ τοῦ σοῦ πατρὸς
Ἐλᾷ ποτ' ἐκ γῆς τῆσδε δεινόπους ἀρὰ,
Βλέποντα νῦν μὲν ὄρθ', ἔπειτα δὲ σκότον·
Βοῆς δὲ τῆς σῆς ποῖος οὐκ ἔσται λιμήν;
Ποῖος Κιθαιρὼν οὐχὶ σύμφωνος τάχα,
Ὅταν καταίσθῃ τὸν ὑμέναιον, ὃν δόμοις
Ἄνορμον εἰσέπλευσας εὐπλοίας τυχών;
Ἄλλων δὲ πλῆθος οὐκ ἐπαισθάνῃ κακῶν,
Ἅ σ' ἐξισώσει σοί τε ϗ τοῖς σοῖς τέκνοις.
Πρὸς ταῦτα, ϗ Κρέοντα, ϗ τοὐμὸν στόμα

419. Ὥστ' οὐ Κρέοντος προστάτου γεγράψομαι] δεήσομαι. ὅρα δὲ ϗ τὴν διαφορὰν τοῦ ὀνόματος. τῷ μὲν γὰρ ἐπιφθονωτέρῳ ἐπὶ τοῦ Οἰδίποδος ἐχρήσατο, τῷ δοῦλος· τῷ δὲ εὐπρεπεστέρῳ ἐπὶ τοῦ Κρέοντος. προστάτης δὲ λέγεται ὁ ἐν πολέμῳ ἔμπροσθεν ἱστάμενος ϗ βοηθὸς τοῖς ὄπισθεν, ϗ ὁ τῷ ἀξιώματι προέχων τῶν ἄλλων. 425. Ἀμφιπλὴξ] ἡ ἐξ ἀμφοτέρων ἐλασία· ἡ ἑκατέρωθεν πλήττουσα, ἔκ τε πατρὸς ϗ μητρός. 426. Δεινόπους] ἡ διὰ τῶν ποδῶν δέος ποιοῦσα. 427. Βλέποντα νῦν μὲν ὄρθ'· ἔπειτα δὲ, σκότον·] καινότερον εἶπεν, βλέποντα σκότον, ὥσπερ εἴ τις εἴπε σιωπὴν λέγοντα. 428. Ποῖος οὐκ ἔσται λιμήν;] τὸν λιμένα τίθησιν ἀεὶ ἀντὶ τοῦ τόπου. τροπικῶς δὲ ἀντὶ τοῦ ποῦ, οὐκ ἐλεύσῃ βοῶν; 430. Ὅταν καταίσθῃ] ὅταν αἰσθανθῇς ϗ νοήσῃς.

ΣΧΟΛ. ΤΡΙΚΛ. 426. Ἐλᾷ πότ' ἐκ γῆς] ἰστέον ὅτι τὸ ποτὲ εἶπε, διὰ τὴν ἐξ ἀρχῆς Οἰδίποδος ἀπέλασιν παρὰ Λαΐου ϗ Ἰοκάστης, ὅτι γεννηθέντα αὐτὸν εἰς Καθαιρῶνα ἐξέθηκαν πρὸς ἀπώλειαν· τὸ δ' ἐλᾷ, ἐπειδὴ τῶν γονέων ἐκείνου ϗ νῦν ἡ ἀρὰ τοῦτον διώκει, ἣν ἠράσαντο αὐτὸν ἐφθάρθαι. λέγει οὖν τὴν ἀρὰν ἀμφιπλῆγα, ὡς ἐξ ἀμφοτέρων τοῦ τε πατρὸς ϗ τῆς μητρὸς γεγονυῖαν. δεινόπουν δὲ, διὰ τὸ κακῶς ἐπέρχεσθαι πρὸς οὓς ἂν πεμφθῇ. τὸ δὲ, ποῖος οὐκ ἔσται λιμὴν, ϗ ποῖος Κιθαιρὼν, τοῦτο βούλεται, ὅτι εἰ τῆς παρανομίας τῆς σῆς αἴσθησιν λάβοις, οὐδεὶς τόπος ἔσται ἀνήκοος τοῦ κατά σε δράματος. σύμφωνος γὰρ ϗ

Dico autem, quoniam mihi cæcitatem objecisti,
Tu & cernis, non tamen vides, quibus es in malis,
Neque ubi habitas, neque quibuscum vivis. [esse
Nostin' ex quibus natus es? imò latet te hostem
Te tuorum, qui apud inferos sunt, et in terrâ suprà.
Et te undique-petens matrisque et tui patris
Exigit tandem ex hâc urbe horrenda execratio.
Videntem nunc quidem rectè, sed mox tenebris
Clamori autem tuo quis non portus, [*obrutum.*
Quis non Cithæron concinet brevî,
Cum scies nuptias, quas domi
Importunas contraxeris, secundâ navigatione usus?
Aliorumque agmen non vides malorum,
Quæ te pariter æquabunt tibique, et tuis liberis.
Post hæc, i et Creonta et meum os

καὶ ὁ Κιθαιρὼν καὶ συνᾴδων τῷ ἡμετέρῳ λόγῳ· ἃ γὰρ ἐγὼ νῦν περὶ σοῦ λέγω, ταῦτα ἐκεῖνος βεβαιώσει, ἐπειδὰν ἀποφανῇ ὡς κατ' ἀρχὰς ὑπὸ τῶν γονέων εἰς αὐτὸν ἐξετέθης. 431. Ἄνορμον] ἤγουν κακολιμένιστον, ὃν οὐδεὶς ὥρμισεν. οὐδεὶς γὰρ τῇ μητρὶ συνῆλθεν ἢ σύ. 433. Ἅ σ' ἐξισώσει] τοῦτο λέγει, ὅτι ἡ τῆς ἀνομίας τῆς σῆς αἴσθησίς σε ὁμοιώσει σοί τε καὶ τοῖς σοῖς τέκνοις· σοὶ μὲν, ὅτι υἱὸς ὢν Ἰοκάστης τῇ ἀληθείᾳ, ἀνὴρ αὐτῆς ἀνίσως καὶ παρανόμως γέγονας· αὐτῆς οὖν ἡ ἀνισότης εἰς ἰσότητα τότε ἄξει καὶ ὥσπερ τῇ ἀληθείᾳ υἱὸς τυγχάνεις, οὕτω καὶ τότε τοῖς πᾶσιν ἐπιδειχθήσῃ. τοῖς δὲ τέκνοις, ὅτι τούτων ὢν νῦν δοκεῖς πατὴρ, ἀδελφὸς ὢν φανήσῃ, ἐξ ἧς αὐτὰ ἐγέννησας, ἐξ αὐτῆς καὶ αὐτὸς γεννηθείς.

SCHOL. INED. 424. Τοῖς σοῖσιν αὐτοῦ ἀντὶ τοῦ τοῖς σοῦ αὐτοῦ· τουτέστι τοῖς σεαυτοῦ. 426. Καί σε φοβερὰ κατὰ τὴν ἐπιδημίαν κατάρα τοῦ πατρὸς τοῦ σοῦ καὶ τῆς μητρὸς ἀμφοτέραις ταῖς χερσὶ πλήττουσα, ἐλάσει ποτὲ ἐκ τῆσδε τῆς γῆς· ἤγουν ἐξελάσει τῆσδε τῆς γῆς. νῦν μὲν βλέποντα ὀρθὰ, ἔπειτα δὲ σκότον βλέποντα δηλονότι. 427. Καινοτέρας εἶπε βλέποντα σκότος ὥσπερ εἴ τις σιωπὴν εἶπε λέγοντα. 428. Ποῖος λιμὴν, ποῖος Κιθαιρὼν οὐκ ἔσται σύμφωνος ταχέως τῆς σῆς βοήσεως; συμφωνῶ τῷδε σύμφωνός δέ εἰμι τοῦδε. διὰ τὸ εὑρεῖν σε τὸ αἴνιγμα.

436. Ἐκ-

Προπηλάκιζε· σοῦ γὰρ οὐκ ἔστι βροτῶν
Κάκιον ὅστις ἐκτριβήσεταί ποτε. —

Οἰ. Ἦ ταῦτα δῆτ' ἀνεκτὰ πρὸς τούτου κλύειν;
Οὐκ εἰς ὄλεθρον; οὐχὶ θᾶσσον; οὐ πάλιν
Ἄψορρος οἴκων τῶνδ' ἀποστραφεὶς ἄπει;

Τει. Οὐδ' ἱκόμην ἔγωγ' ἄν, εἰ σὺ μὴ 'κάλεις.

Οἰ. Οὐ γάρ τι σ' ᾔδειν μῶρα φωνήσοντ', ἐπεὶ
Σχολῇ σ' ἂν οἴκους τοὺς ἐμοὺς ἐστειλάμην.

Τει. Ἡμεῖς τοιοίδ' ἔφυμεν, ὡς μὲν σοὶ δοκεῖ,
Μῶροι· γονεῦσι δ' οἵ σ' ἔφυσαν, ἔμφρονες.

Οἰ. Ποίοισι; μεῖνον· τίς δέ μ' ἐκφύει βροτῶν;

Τει. Ἥδ' ἡμέρα φύσει σε καὶ διαφθερεῖ.

Οἰ. Ὡς πάντ' ἄγαν γ' αἰνικτὰ κἀσαφῆ λέγεις;

Τει. Οὔκουν σὺ ταῦτ' ἄριστος εὑρίσκειν ἔφυς.

Οἰ. Τοιαῦτ' ὀνείδιζ' οἷς ἔμ' εὑρήσεις μέγαν.

Τει. Αὕτη γε μέντοι σ' ἡ τύχη διώλεσεν.

Οἰ. Ἀλλ' εἰ πόλιν τήνδ' ἐξέσωσ', οὔ μοι μέλει.

436. Ἐκτριβήσεται] ἀντὶ τοῦ διατρίψει ἐν τοῖς κακοῖς, ἢ ἀπολεῖται. ἡ μεταφορὰ ἀπὸ τῶν σμηχομένων ἀργύρων ἢ χαλκῶν, ἢ ἄλλων τοιούτων. ἅπερ ἐν τῷ πλύνεσθαι σφόδρα τριβόμενα ἐλαττοῦται. 442. Σχολῇ σ' ἂν] ἀντὶ τοῦ βραδέως οὐδαμῶς· 446. Ἡ δ' ἡμέρα φύσει σε] ἀντὶ τοῦ, οἵων εἶ γονέων δείκνυσι. Ib. Διαφθερεῖ] διὰ τὴν πήρωσιν καὶ τὴν λοιπὴν τοῦ βίου ἀνατροπήν. 447. Αἰνικτὰ] ἀσαφῆ καὶ κεκρυμμένα. 448. Οὔκουν ταῦτ' ἄριστος] ὥσπερ εἰρωνευόμενος φησὶν, αἴνιγμά ἐστι· σὺ θᾶττον νοήσεις, ὅτι καὶ τὸ τῆς Σφιγγὸς αἴνιγμα πρῶτος ἐξεῦρες. ὃ δέχεται εἰς ἔπαινον. 450. Αὕτη γε μέντοι σ' ἡ τύχη διώλεσεν] τὸ σὲ διαγνῶναι τὸ αἴνιγμα. 451. Ἀλλ' εἰ πόλιν τήνδε] πάνυ τοῦτο προσαγωγὸν τοῦ πλήθους.

ΣΧΟΛ. ΤΡΙΚΛ. 446. Ἡδ' ἡμέρα] ἤγουν, ἐν τῇδε τῇ ἡμέρᾳ καὶ ἀποφανεῖς Ἰοκάστης, καὶ ἀπολέσεις τοὺς ὀφθαλμοὺς, καὶ τἄλλα πείσῃ. 450. Αὕτη γε] ἤγουν αὕτη ἡ εὐδοκίμησις, ἤγουν τὸ τὰ αἰνίγματα σαφηνίζειν, διολέσει σε· εἰ γὰρ μὴ τὰ τῆς Σφιγγὸς εὗρες αἰνίγματα σαφη-

Contumeliis proſcinde, te enim nullus eſt mortalium
Qui ſceleratior unquam excidetur *et peribit.*

*Oe.* Hoccine ergò ferendum eſt, ut hæc ex eo audiam?
Non in malam crucem *abis?* non ocyus? non
Retrò hiſce ab ædibus converſus abis? [iterum

*Ti.* Ne quidem *omnino* veniſſem ego, niſi tu vocâſſes.

*Oe.* Neque te novi ſtulta dicturum, alioqui
Tardiùs te meas ad ædes vocâſſem.

*Ti.* Nos, tibi quidem ut videtur, ſumus [tes.
Stulti; parentibus verò, qui te genuerunt, ſapien-

*Oe.* Quibus? mane. Quis me *ſodes* genuit mortalium?

*Ti.* Hæc dies gignet te *ſimul* et perdet.

*Oe.* Ut omnia perplexa nimis et obſcura loqueris?

*Ti.* Igitur ad hæc tu es optimus interpres.

*Oe.* Ea exprobras, unde me magnum extitiſſe invenies.

*Ti.* Ea ipſa ſcilicet te perdidit fortuna. [curo.

*Oe.* Sed, quando civitatem hanc e malis liberavi, nihil

σαφηνίζειν, ὐκ ἂν εἰς τόδε τύχης ἀφίκυ. 451. Ἀλλ' εἰ πόλιν] τὸ ἐξέσωσα διπλῶς νοητέον, εἰ ἐξέσωσα τὴν πόλιν ἀπὸ τῆς Σφιγγὸς, ὐ μοι μέλει τῆς ἐμῆς σωτηρίας. ἢ, εἰ ἐξέσωσα τὴν πόλιν ἀπὸ τῦ νῦν ἐπικειμένυ λοιμῦ, ὐ μοι φροντὶς εἰ αὐτὸς ἀπολοίμην.

¶ Σχήμ. Τρικλ. 437. Ἦ ταῦτα] ὀργὴ αὖθις Οἰδίποδος καὶ Τειρεσίυ.

SCHOL. INED. 436. Ἴσων δείξει σὲ σοὶ, ἤγυν ὅς τις εἶ δείξει σέ· ὅτι υἱὸς εἶ ταύτης ᾗ νῦν συνοικεῖς δηλονότι. Οὐδείς ἐςιν ἀπὸ τῶν βροτῶν. ἀντὶ τῦ, διατρίψειεν ἐν τοῖς κακοῖς. 439. Οὐ πάλιν ἄψορρος ἐκ παραλλήλυ, ἀντὶ τῦ, ὐκ ὄπισθος μήτρι. ἄπειμι, ἄπεις, καὶ ἐκβολῇ τῦ σ, ἄπει, ὥσπερ καὶ τὸ εἶ. 445. Τίς δὲ ἀπὸ τῶν βροτῶν ἐκφύει με, ἀντὶ τῦ ἔφυσε τυτέςι ἐγέννησεν. τὴν γέννησίν συ δείξει, δείξει σε ὅθεν ἐγεννήθης. 447. Τὸ ὡς καὶ τὸ ἄγαν ἐκ παραλλήλυ. 451. Εὑρίσκειν ἐςὶ τὸ ἐξετάζειν καὶ ἐρευνῇ καταλαμβάνειν.

455. Εἰπὼν

Digitized by Google

Τει. Ἄπειμι τοίνυν· καὶ σὺ, παῖ, κόμιζέ με.
Οἰ. Κομιζέτω δῆθ'· ὡς παρὼν τά γ' ἐμποδὼν
    Ὀχλεῖς· συθείς τ' ἂν, οὐκ ἂν ἀλγύναις πλέον.
Τει. Εἰπὼν ἄπειμ' ὧν οὕνεκ' ἦλθον, οὐ τὸ σὸν
    Δείσας πρόσωπον. οὐ γάρ ἐσθ' ὅπου μ' ὀλεῖς.
    Λέγω δέ σοι τὸν ἄνδρα τοῦτον, ὃν πάλαι
    Ζητεῖς, ἀπειλῶν κἀνακηρύσσων φόνον
    Τὸν Λαΐειον, οὗτός ἐστιν ἐνθάδε,
    Ξένος λόγῳ μέτοικος· εἶτα δ' ἐγγενὴς
    Φανήσεται Θηβαῖος. οὐδ' ἡσθήσεται
    Τῇ ξυμφορᾷ. τυφλὸς γὰρ ἐκ δεδορκότος,
    Καὶ πτωχὸς ἀντὶ πλουσίου, ξένην ἔπι
    Σκήπτρῳ προδεικνὺς γαῖαν ἐμπορεύσεται.
    Φανήσεται δὲ παισὶ τοῖς αὑτοῦ ξυνὼν
    Ἀδελφὸς αὐτὸς καὶ πατὴρ, κἀξ ἧς ἔφυ
    Γυναικὸς, υἱὸς καὶ πόσις, καὶ τοῦ πατρὸς
    Ὁμόσπορός τε καὶ φονεύς. καὶ ταῦτ' ἰὼν
    Εἴσω, λογίζου. κἂν λάβῃς μ' ἐψευσμένον,
    Φάσκειν ἔμ' ἤδη μαντικῇ μηδὲν φρονεῖν. —

455. Εἰπὼν ἄπειμ'] ἐνταῦθα παῤῥησιαστικώτερον ὅλον τὸ πρᾶγμα παραινίττεται, ἀμφοτέρων τοῦ ποιητοῦ στοχασαμένου, τοῦ τε τῷ δράματι συμφέροντος, ὅπως μὴ ἀνακαλύπτηται ἡ ὑπόθεσις· (διὸ αἰνιγματωδῶς πάντα φησὶ) τοῦ τε τῷ προσώπῳ πρέποντος. ἔδει γὰρ εἰπεῖν τὸν μάντιν τὰ μετ' ὀλίγον φανησόμενα. 457. Τὸν ἄνδρα τοῦτον] ὡς περὶ ἑτέρου λέγων, αὐτὸν αἰνίττεται. 462. Τῇ ξυμφορᾷ.] τῇ συντυχίᾳ. 464. Σκήπτρῳ προδεικνὺς] τὸ σκῆπτρον δεικνὺς σύμβολον τῆς ἑαυτοῦ εὐγενείας, ὅτι ἐκ βασιλέως πτωχὸς ἐγένετο. 467. Καὶ τοῦ πατρὸς ὁμόσπορος] τὴν αὐτὴν σπείρων γυναῖκα.

ΣΧΟΛ. ΤΡΙΚΛ. 453. Ὡς παρὼν τά γ' ἐμποδὼν] τοῦθ' οὕτω λέγει, ὅτι ὀχλεῖς ἡμῖν τὰ ὑπάρχοντα ἐμποδὼν καὶ ἐμπόδιον. τοῦτ' ἔστι, παρὼν εἰς ὄχλον καὶ ταραχὴν εἰσάγεις ἡμᾶς, καὶ ἐμποδίζεις τὸ προκείμενον ζήτημα· εὕρηται δὲ καὶ, σύ γ' ἐμποδών. 468. Καὶ ταῦτ' ἰὼν] τοῦτο διπλῶς νοητέον, ἢ ἐλθὼν εἴσω τοῦ οἴκου, καὶ καθ' ἡσυχίαν γενόμενος·

ἢ

Digitized by Google

*Ti.* Abeo igitur, et tu, puer, abduc me.
*Oe.* Abducat age; nam præſens *tantum*
Impedis et turbas, procul autem amotus non ultrà
moleſtus eris. [um
*Ti.* Abeo poſtquam dixi *ea* propter quæ veni, non tu-
Os veritus; non enim eſt *te penes*, ut me perdas.
Dico autem tibi virum hunc, quem dudum
Quæris minans et prædicans de cæde
Laii, eum præſentem adeſſe,
Peregrinum verbo et advenam, at deinde indi-
Videbitur Thebanus, neque lætabitur [gena
Eventu ſuo: cæcus enim ex vidente,
Et egenus ex divite *factus* in peregrinam
Baculo *pedes* dirigens terram proficiſcetur.
Et palam fiet ſuis ipſius filiis
Fratrem eſſe ipſum et patrem, et ex qua natus eſt
Muliere, filium et maritum, et patris
Adulterumque et peremtorem: et hæc introiens
Exquire, et ſi me deprehendes mendacem,
Dic me jam divinandi arte nihil ſapere.

ἢ ἰὼν εἴσω ἀντὶ τῦ εἰς αὐτὸν γεγονὼς, κ̀ συνάξας τὸν νῦν.

¶ Σχήμ. Τρικλ. 455. Εἰπὼν ἄπειμ'] Τειρεσίυ σαφέστερος ἔλεγχος.

SCHOL. INED. 455. Εἰπὼν ἐκεῖνα ὧν ἕνεκα ἦλθον ἀπελεύσομαι. 456. Ἔσθ' ὅπυ κ̀ ἔσθ' ὅπερ κατὰ τὺς Ἀττικύς. 458. Μετὰ ἀπειλῆς κ̀ ἀνακηρύξεως τῦ φόνυ τῦ Λαΐυ. 460. Ἀλλότριος ἀπὸ τῆς χώρας ταύτης. ἀςὸς ἢ ξένος. ἀςὸς κ̀ ἐγγενὴς ταὐτόν. ἤγυν ἀπὸ τῆς χώρας τῶν Θηβαίων ὤν. 462. Τῷ συμβεβηκότι, ἤγυν τῷ ἀναγνωρισμῷ. βαδίσει· ἐμπεριπατήσει, διελεύσεται. 468. Τὴν αὐτὴν αὐτῷ γυναῖκα σπείρων, εἰς τὴν αὐτὴν αὔλακα σπείρων. 469. Τὸ ἐψευσμένον Ἀττικὸν ἐψευσάμενον. 470. Μηδέν τι πρᾶγμα εἰδέναι τῆς μαντικῆς. Ib. Φάσκειν κ̀ φάσκε. ὅταν τίθεται εἰς τὸ ἀπαρέμφατον κ̀ ἡ τῦ προσώπυ αἰτιατικὴ θέλει κ̀ τὸ δεῖ. ὅταν δὲ ἐδὲν τίθεται κ̀ ἡ αἰτιατικὴ ἢ τῦ προσώπυ, τὸ ἀπαρέμφατον ἀντὶ προςακτικῦ. Τῶν δεινῶν δεινότερα ὑπερβολικῶς, ὡς τὰ κακὰ τῶν κακῶν.



Digitized by Google

Χο. Τίς ὅντιν' ἁ θεσπιέπεια
Δελφὶς εἶπε πέτρα
Ἄῤῥητ' ἀῤῥήτων
Τελέσαντα φοινίαισιν χερσίν;
Ὥρα νῦν ἀελλοπόδων ἵππων
Σθεναρώτερον φυγᾷ πόδα νωμᾶν.
Ἔνοπλος γὰρ ἐπ' αὐτὸν ἐπενθρώσκει
Πυρὶ καὶ στεροπαῖσι Διὸς γενέτας.
Δειναὶ δ' ἅμ' ἕπονται
Κῆρες ἀναπλάκητοι. —

Ἔλαμψε γὰρ τοῦ νιφόεντος
Ἀρτίως φανεῖσα
Φάμα Παρνασοῦ,

471. Τίς ὅντιν' ἁ θεσπιέπεια] ἀκόλουθά εἰσι τὰ τοῦ χοροῦ πρὸς τὰ προειρημένα. νῦν δὲ οὐκ ἔστιν αὐτοῖς εὐπρόσωπον ἀναλογίζεσθαι περὶ ὧν εἶπεν ὁ μάντις. διὸ ἀνατρέχει ἐπὶ τὸ μάντευμα τοῦ θεοῦ. ὁ δὲ νοῦς, τίς ἐστιν οὗτος ὅντινα ἐμφανίζει τὸ μαντεῖον; ἢ οὕτως, τίς ἐστιν οὗτος ὃν καταμήνυσεν ἡ Δελφὶς πέτρα; οἷον, ὁ μὴ λαθὼν τὸ μαντεῖον τοῦ Ἀπόλλωνος. 473. Ἄῤῥητ' ἀῤῥήτων] ὑπερβολικῶς, ὡς τὸ δειλαία δειλαίων. 475. Ὥρα νῦν] καιρός ἐστι κινεῖν αὐτὸν πόδα εὐτονώτερον ἀνέμοις ἰσοταχῶν ἵππων. 479. Κῆρες ἀναπλάκητοι] αἱ εἰς μηδὲν ἁμαρτάνουσαι, ἀλλὰ πάντων κρατοῦσαι. κῆρες δὲ, τοῦ τελευτήσαντος Λαΐου. ἢ οὕτως, ἄφυκτοι. ἀπλάνητοι, ἀπροσπέλαστοι. ἀφανεῖς, ἃς οὐκ ἔστιν ἀποφυγεῖν. 481. Ἔλαμψε γὰρ] ὁ χρησμὸς γὰρ τοῦ Παρνασσοῦ τοῦ χιονώδεος ὁ φανεὶς ἀρτίως ἐδήλωσε πάντα Θηβαῖον ζητεῖν τὸν κρυπτόμενον ἄνδρα, ἤγουν τὸν φονέα.

ΣΧΟΛ. ΤΡΙΚΛ. 471. Τίς ὅντινα] ἐπειδήπερ ὁ Παρνασσὸς ἐν Δελφοῖς, ἐν δὲ τούτῳ τὸ τοῦ Ἀπόλλωνός ἐστι μαντεῖον, διὰ τοῦτο Δελφὶς πέτρα λέγει, ἀντὶ τοῦ ὁ Ἀπόλλων ἐν Παρνασῷ οἰκῶν. ἰστέον δ' ὅτι ὡς ὁ χορὸς πρὸς τοὺς Τειρεσίου λόγους ἀηδῶς διάκειται, τῷ δ' Οἰδίποδι βοηθεῖ,

Digitized by Google

## ANTISTROPHICA. STROPHE I.

*Ch.* Quis *est ille*, quem fatidica
Delphica edixit rupes
Sanguineis perpetrasse manibus
Infandorum adeo infanda?
Tempus jam *ei est*, ut velocibus equis
Ocyor fugam capessat:
Armatus enim in illum incurrit
Igne et fulguribus Jovis filius *Apollo*:
Horrendæque simul sequuntur
Inevitabiles Parcæ.

## ANTISTROPHE I.

Effulsit enim a nivoso
Manifesta nuper
Fama Parnaso

βοηθεῖ, διὰ τοῦτο καὶ ἀποφθεγματικῶς τὸν λόγον ἐκφέρει, τίς ἐστιν ὃν λέγει Ἀπόλλων τελέσαι τὸ ἔργον; 479. Ἀναπλάκητοι] οὕτω χρὴ γράφειν ἵν' εἴη τὸ μέτρον ἁρμόζον τῷ τῆς ἀντιστροφῆς κώλῳ. εὕρηται γὰρ ἔν τινι τῶν παλαιῶν οὕτω βιβλίων. δεινὰς δὲ κῆρας λέγει, τὰ δύο ἀνομήματα, ἃ Τειρεσίας ἔφη κατ' Οἰδίποδος, λέγει δὴ τὴν τῆς μητρὸς συνέλευσιν, καὶ τὸν τοῦ πατρὸς φόνον. τὸ δὲ ἅμ' ἕπονται, ἀντὶ τοῦ σὺν τῷ Ἀπόλλωνι ἔρχονται, οὐχ ὅτι ὁ Ἀπόλλων οὕτως ἐθέσπισεν (ἐκεῖνος γὰρ ἐξελεῖν τὸ μίασμα μόνον τῆς χώρας εἶπεν) ἀλλὰ διὰ τοῦτο ἅμα αὐτῷ ταύτας ἕπεσθαι λέγει, διὰ τὸ Τειρεσίαν ταύτας ἐκφῆναι ἐπὶ τῇ τοῦ Ἀπόλλωνος μαντείᾳ.

SCHOL. INED. 475. Καιρός ἐστι νωμᾶν αὐτὸν ἤγουν κινεῖν τὸν πόδα σθεναρώτερον, ἀντὶ τοῦ εὐτονωτέρως ἀνέμοις ἰσοταχῶν ἵππων. 478. Γενέτης. ὁ υἱὸς ἐνταῦθα καὶ ὁ πατὴρ ἀλλαχοῦ. τῷ Ἀπόλλωνι δηλονότι. 482. Ὁ χρησμὸς γὰρ τοῦ Παρνασοῦ τοῦ χιονώδους ὁ φανεὶς ἀρτίως ἐδήλωσε πάντα Θηβαῖον ἰχνεύειν ἀντὶ τοῦ ζητεῖν τὸν κρυπτόμενον ἄνδρα ἤγουν τὸν φονέα.



Digitized by Google

Τὸν ἄδηλον ἄνδρα πάντ' ἰχνεύειν.
Φοιτᾷ γὰρ ὑπὲρ ἀγρίαν ὕλαν,
Ἀνά τ' ἄντρα καὶ πέτρας, ὡς ταῦρος,
Μέλεος μελέῳ ποδὶ χηρεύων,
Τὰ μεσόμφαλα γᾶς ἀπονοσφίζων
Μαντεῖα. τὰ δ' αἰεὶ
Ζῶντα περιποτᾶται. —

Δεινὰ μὲν οὖν δεινὰ ταράσσει
Σοφὸς οἰωνοθέτας·
Οὔτε δοκοῦντ', οὔτ' ἀποφάσκον-
θ' ὅ, τι λέξω δ' ἀπορῶ.
Πέτομαι δ' ἐλπίσιν, οὔτ' ἐν-
θάδ' ὁρῶν, οὔτ' ὀπίσω.
Τί γὰρ ἢ Λαβδακίδαις,

484. Ἐξιχνεύειν] τοῦτο ἐπήγαγε καὶ τὰ ἄλλα ὀνόματα τροπικῶς. ὡς ἐπὶ ἄγρας ταύρων τῶν ὑπὸ πάντων ζητουμένων, καὶ ὥσπερ ἐν ὕλῃ κεκρυμμένων. οἰκεῖα δὲ ταῦτα τὰ ὀνόματα ἄντρα καὶ πέτραι. 485. Φοιτᾷ γὰρ ὑπ' ἀγρίαν ὕλαν,] ἐκεῖνος ὁ πεφονευκὼς, πανταχοῦ κρυπτόμενος οὐ βούλεται ἑαυτὸν ἐμφανίσαι. 487. Μελέῳ ποδὶ χηρεύων] ἀντὶ τοῦ, μηδενὶ γινωσκόμενος, τῇ φυγῇ μονάζων. ἢ καὶ αὐτὸ οἰκεῖον τῇ θηριώδει διαίτῃ. 488. Τὰ μεσόμφαλα γᾶς ἀπονοσφίζων] ἀντὶ τοῦ φυγών. τὸν τόπον δὲ εἶπεν ἀντὶ τῶν χρησμῶν. ὅτι, τοὺς χρησμοὺς διαφεύγει μέχρι νῦν ὁ μηνυθεὶς ὑπὸ τοῦ θεοῦ. ὅτι δὲ ἡ Πυθὼ μεσόμφαλος, δηλοῖ καὶ ἡ περὶ τοὺς ἀετοὺς ἱστορία, καὶ ὅτι χρύσεοι ἀετοὶ διὰ τοῦτο ἀνάκεινται, καὶ ὅτι τούτου χάριν ἐκεῖσε ὁ Ζεὺς τὸ μαντεῖον ἱδρύσατο. 489. Μαντεῖα δ' αἰεὶ ζῶντα] ἀλλ' οὐδὲν ἧττον τὰ μαντεύματα περιπολᾶται ζῶντα, καὶ ἰσχύοντα τῇ ἀληθείᾳ. 491. Δεινὰ μὲν οὖν] μεταβαίνουσιν ἐπὶ τὰ εἰρημένα ὑπὸ Τειρεσίου. σοφὸν μὲν οὖν αὐτὸν ὁμολογοῦσιν. Ib. Δεινὰ ταράσσει] τούτῳ ἐχρήσατο, ἐπεὶ ἔδοξε δυσχερῶς ἐνεχθῆναι πρὸς τὸν ἄρχοντα. 492. Σοφὸς οἰωνοθέτας·] Τειρεσίας ὁ τὰς θέσεις τῶν οἰωνῶν διατιθείς. 493. Οὔτε δοκοῦντ',] οὔτε πιστὰ, οὔτε ἄπιστα. 497. Τί γὰρ ἢ Λαβδακίδαις,] εἰκότως ἀποροῦσι. ποῖον γὰρ νεῖκος γέγονε τοῖς

ἀπὸ

Latitantem virum a quovis quærendum:
Vagatur enim agreſtibus in ſilvis
Perque antra, perque rupes, ut taurus,
Miſer miſero pede viduos agens annos,
Ex umbilico terræ edita fugere ſperans
Oracula; illa verò ſemper
Valida rataque circumvolant.

## STROPHE II.

Dira quidem dira me movet
Peritus augur,
Neque credentem neque abnegantem:
Quid autem dicam incertus hæreo,
Pendeoque ſpe, neque huc
Reſpiciens neque illuc.
Quæ enim vel Labdacidis

ἀπὸ Λαβδάκου πρὸς τὸν Πόλυβον, ἔτι γὰρ νομίζουσιν αὐτὸν εἶναι Πολύβου. Ib. Λαβδακίδαις,] τῷ Λαΐῳ.

ΣΧΟΛ. ΤΡΙΚΛ. 492. Οἰωνοθέτας] ὁ τοῖς οἰωνοῖς τιθέμενος καὶ ἀρεσκόμενος εἰς τὰς μαντείας Τειρεσίας. ἢ ὁ τὰς πτήσεις τῶν οἰωνῶν διατιθεὶς καὶ συγκρινῶν. τοῦτ' ἔστιν ὁ διδάσκαλος τῆς πτήσεως τῶν οἰωνῶν. 493. Οὔτε δοκοῦντα] οὔτ' ἀρέσκοντά μοι, οὔτ' ἀποφάσκοντα, καὶ ἀπόφασιν καὶ ἀπιστίαν δεχόμενα. ἤγουν, μὴ οἷά τε ἀπιστεῖσθαι, διὰ τὸ μάντιν εἶναι τὸν εἰπόντα. 497. Τί γὰρ ἢ] ἀπορήσειεν ἄν τις διὰ τί οἱ δύο διαζευκτικοὶ σύνδεσμοι, τὸ ἢ Λαβδακίδαις, καὶ τὸ ἢ τῷ Πολύβου, κεῖνται, δέον οὕτως εἰπεῖν, τί γὰρ Λαβδακίδαις καὶ τῷ Πολύβου νεῖκος ἔκειτο. καὶ φαμὲν ὅτι τοῦτο δύνανται οὗτοι οἱ σύνδεσμοι δηλοῦν, ὡς οὔτε τῷ Λαΐῳ διαφορά τις ἦν ἀπὸ τοῦ Οἰδίποδος, οὔτε τῷ Οἰδίποδι ἀπὸ τοῦ Λαΐου. Ib. Λαβδακίδαις] ἰστέον ὅτι διότι μὲν τὸ ἐπίκουρος δοτικῇ συντάσσεται, τὸ μὲν Λαβδακίδαις πρὸς τὸ ἐπίκουρος, εἶπεν ἡ δὲ γενικὴ τὸ ἀδήλων θανάτων· πρὸς τὰ ὄνομ' ἐστὶ τὸ ἐπίκουρος. ἐπίκουρος γὰρ τῷ δείνι τῶν κακῶν φαμέν.

SCHOL. INED. 485. Ἥγουν ὑπὸ δένδρα καὶ ἄλσεις καὶ σπηλαίων ἀγρίων ζώων. 487. Ἀγνοούμενος· μόνος βαδίζων μόνος γινώσκων ἑαυτόν.

Ἢ τῷ Πολύβου νεῖκος ἔκει-
τ' οὔτε πάροιθέν ποτ' ἐγώ,
Οὔτε τανῦν πω ἔμαθον
Τι, πρὸς ὅτου δὴ βασάνῳ,
Ἐπὶ τὰν ἐπίδαμον
Φάτιν εἶμ' Οἰδιπόδα,
Λαβδακίδαις ἐπίκουρος
Ἀδήλων θανάτων. —

Ἀλλ' ὁ μὲν οὖν Ζεύς, ὅ, τ' Ἀπόλλων,
Ξυνετοί, καὶ τὰ βροτῶν
Εἰδότες· ἀνδρῶν δ' ὅτι μάντις
Πλέον ἢ 'γὼ φέρεται,
Κρίσις οὐκ ἔστιν ἀληθής,
Σοφίᾳ δ' ἂν σοφίαν
Παραμείψειεν ἀνήρ.
Ἀλλ' οὔποτ' ἔγωγ' ἂν πρὶν ἴδοι-

ἐαυτόν. 488. Τὰ ὄντα ἐν τῷ μέσῳ τῆς γῆς. ὀμφαλὸς τὸ μέσον· Ἀπονοσφίζων ἤγουν ἐκφεύγων τὰ μαντεῖα τὰ μεσόμφαλα τῆς γῆς, ἀντὶ τοὺς χρησμοὺς τοῦ μέσου ὀμφαλοῦ τῆς γῆς ἐκ παραλλήλου. ἀντὶ τοῦ μέσου τῆς γῆς τοῦτ' ἔστι τοῦ Παρνασοῦ, τὸν ἐπὶ τῇ ἀνευρέσει αὐτοῦ. 492. Ὁ διαιτεθεὶς τὰς πλήσεις τῶν οἰωνῶν, ἤγουν ὁ διατάττων καὶ εὐκρινῶν· τοῦτ' ἔστι ὁ διδάσκαλος τῆς πλήσεως τῶν οἰωνῶν. 496. Οὔτε κατὰ τὸ παρὸν ἐρείδων τὸν νοῦν οὔτε κατὰ τὸ παρεληλυθός. 497. Τί γὰρ νεῖκος ἤγουν τίς φιλονεικία ἔκειτο ἢ τοῖς Λαβδακίδαις ἤγουν τῷ Λαΐῳ, πρὸς τὸν τοῦ Πολύβου δηλονότι, ἤγουν τὸν Οἰδίποδα, ἢ τῷ τοῦ Πολύβου, ἤγουν τῷ Οἰδίποδι πρὸς τὸν Λαΐον.

498. Τῷ Πολύβου] τῷ Οἰδίπου. 501. Πρὸς ὅτου δὴ βασάνῳ] ἀντὶ τοῦ ποίῳ λογισμῷ. τίνος πράγματος κρίσει χρησάμενος τοῖς λεγομένοις πιστεύσω κατὰ τοῦ Οἰδίποδος. 503. Φάτιν εἶμ' Οἰδίποδα,] τὴν κατὰ τοῦ Οἰδίποδος γινομένην παρὰ Τειρεσίου. 506. Ἀλλ' ὁ μὲν οὖν Ζεύς,] θέλουσιν ἀνατρέψαι τὰ ὑπὸ τοῦ Τειρεσίου εἰρημένα. καί φασιν ὅτι οἱ μὲν θεοί, συνετοὶ καὶ μόνοι τὰ τῶν ἀνθρώπων εἰδότες· ὅτι δὲ οἱ

μάντεις

Digitized by Google

Vel filio Polybi lis orta eſt,
Neque antehac ego unquam,
Et ne nunc quidem intelligo
Quicquam, cujus indicio *perſuaſus*
Populari
Accedam rumori de Oedipode
Adjutor Labdacidis factus
In cæde obſcura.

ANTISTROPHE II.

At Jupiter et Apollo
Sunt certè ſapientes, et res humanas
Norunt. *fateor.* ſed inter homines vatem
Plus, quàm ego, intelligere
Judicio non conſtat certo.
Et tamen hunc ille ſapientem
Sapientiâ ſuperet,
Sed nunquam ego, priuſquam certum

μάντεις μᾶλλον τῶν λοιπῶν ἀνθρώπων τὶ ἐπίστανται, οὔ φημι, καὶ οὐδὲ κρίσις αὕτη ἀληθής ἐστι. γένοιτο μὲν γάρ τις κατὰ σύνεσιν ἕτερος ἑτέρου προήκων, οὐ μὴν αὕτη γε ἡ ἐπιστήμη ἐκ μαντικῆς ἐστιν, ἀλλ' ἐκ φύσεως καὶ ἐντρεχείας ἑκάστῳ πάρεστιν. 508. Ἀνδρῶν δ' ὅτι μάντις] οὔπω πιστεύω ὅτι οἱ μάντεις πλέον ἐμοῦ φρονοῦσιν. 511. Σοφίᾳ δ' ἂν σοφίαν] σοφίαν νῦν φησὶ τὸν στοχασμόν. ὃ γὰρ λέγει, τοῦτό ἐστιν, ὅτι ἐν τῷ στοχάζεσθαι ἄλλος ἄλλον παρέλθοι καὶ νικήσειεν. 513. Ἀλλ' οὔποτ' ἔγωγ' ἂν] ἐγὼ δὲ οὐκ ἂν ποτε ἐπαινέσοιμι τοὺς μεμφομένους τὸν βασιλέα, οὐδ' ὀρθὸν ἂν αὐτῶν τὸ ἔπος φαίνῃ, πρὶν ἴδοιμι σαφῆ τὰ ἔργα καὶ τὴν ἀπόβασιν.

SCHOL. INED. 500. Οὔπωποτε ἤγουν οὐδαμῶς ποτὲ οὔτε πρότερον ἔγωγε, οὔτε τανῦν ἤκουσα. 501. Παρ' οὗ σὺν βασάνῳ ἐλεύσομαι ἐπὶ τὴν ἐπιδημήσασαν μαντείαν τοῦ Τειρεσίου τῷ Οἰδίποδι ἤγουν κατὰ τοῦ Οἰδίποδος. 504. Ἐπίκουρος τοῖς Λαβδακίδαις ἤγουν τῷ Λαΐῳ ἕνεκα τῶν ἀδήλων θανάτων. 508. Ἡ κρίσις δὲ τῶν ἀνδρῶν· ὅτι ὁ μάντις ἔχει πλεῖον ἢ ἐγὼ, οὐκ ἔστιν ἀληθής.

515. Φανε-

μ' ὀρθὸν ἔπος, μεμφομένων
Ἂν καταφαίην· φανερὰ
Γὰρ πτερόεσσ' ἦλθε κόρα
Ποτὲ, καὶ σοφὸς ὤφθη,
Βασάνῳ θ' ἡδύπολις.
Τῷδ' ἀπ' ἐμᾶς φρενὸς οὔπο-
τ' ὀφλήσει κακίαν.

Κρ. Ἄνδρες πολῖται, δείν' ἔπη πεπυσμένος
Κατηγορεῖν μου τὸν τύραννον Οἰδίπουν,
Πάρειμι αὐλητῶν· εἰ γὰρ ἐν ταῖς ξυμφοραῖς
Ταῖς νῦν νομίζει πρός γ' ἐμοῦ πεπονθέναι,
Λόγοισιν εἴτ' ἔργοισιν εἰς βλάβην φέρον,
Οὔτοι βίου μοι τοῦ μακραίωνος πόθος,
Φέροντι τήνδε βάξιν· οὐ γὰρ εἰς ἁπλοῦν

515. Φανερὰ γὰρ] ἃ μὲν ἐσχαλῶσιν αὐτῷ, ἄδηλα, καὶ οὐ πάντως ἀληθῆ· ἃ δὲ κατώρθωσι, φανερὰ, ὅτι ἐπιλθούσης αὐτῷ τῆς Σφιγγὸς ὤφθη σοφός. 518. Βασάνῳ θ' ἡδύπολις] κρίσει τε ἡδὺς ὤφθη τῇ πόλει. ἢ οὕτως· ἀπὸ τῆς βασάνου δὲ τῆς Σφιγγὸς ἡδέως διετέθη ἡ πόλις πρὸς τὸν Οἰδίποδα. 521. Ἄνδρες πολῖται,] ἔρχεται ὁ Κρέων ἐπὶ τῇ κατὰ ἑαυτοῦ ὑπονοίᾳ ἀγανακτῶν, καὶ ἀπολογήσασθαι βουλόμενος. πολίτης δὲ ἐμός ἐστιν ὁ δεῖνα, οὐδέποτε δὲ μετὰ τῆς Συν. ἤγουν ἀπὸ τῆς αὐτῆς ἐστιν ἐμοὶ πόλεως. συμπολιτεύεται δέ μοι τις, μετὰ τῆς Συν. ἤγουν τὴν αὐτὴν ἐμοὶ πόλιν οἰκεῖ. 523. Αὐλητῶν.] μὴ καρτερῶν. μὴ φέρων. δυσανασχετῶν. Ib. Εἰ γὰρ ἐν ταῖς ξυμφοραῖς] ἐν ταῖς δυστυχίαις ταῖς νῦν νομίζει τι πεπονθέναι παρ' ἐμοῦ εἰς βλάβην φέρον, εἴτε διὰ λόγων, εἴτε διὰ ἔργων, οὐδαμῶς ἐστιν ἐμοὶ ἐπιθυμία τῆς ἐπὶ πολὺν χρόνον παρεκτεινομένης ζωῆς φέροντι τήνδε τὴν κατηγορίαν. 527. Οὐ γὰρ εἰς ἁπλοῦν] τὸ ἁπλοῦν ἐνίοτε δηλοῖ τὸ ἀποίκιλον, ὡς τὸ ἁπλοῦν ἦθος καὶ ἁπλοῦς λόγος. ἐνίοτε δὲ τὸ ἀσύνθετον· ἐνταῦθα δὲ τὸ ἓν δηλοῖ κατὰ ποιητικὴν ἐξουσίαν. ἀλλ' εἰς πολλὰ ὀφείλων εἰπεῖν, πρὸς τὸ, οὐ γὰρ εἰς ἁπλοῦν ἡ ζημία μοι τοῦ λόγου τούτου φέρει, ὁ δὲ εἰς μέγιστον ἀποδίδωσι, συνάγων τὰ πολλὰ μετὰ ἐπιτάσεως εἰς τὴν τοῦ μεγίστου ὑπέρθεσιν.

ΣΧΟΛ. ΤΡΙΚΛ. 515. Φανερὰ γὰρ] περισσὸν ἦν ἐνταῦθα, τὸ

ἐπ'

Audiero ſermonem, *Oedipum* accuſantibus
*Temerè* aſſentiar. Manifeſtè enim
Alata invenit puella quondàm,
Et ſapiens apparuit,
Certoque argumento urbi jucundus.
Quapropter judicio *ille* meo nunquàm
Cenſebitur pravus

### IAMBI.

*Cr.* O Cives, ubi audivi atrocia mihi crimina
Objicere tyrannum Oedipum,
Adſum ferre non ſuſtinens; ſi enim in his malis
Præſentibus putat ſe a me paſſum eſſe
Dictis factiſve, quod damnum inferat,
Non ampliùs mihi vitæ longioris cupido

ἐπ' αὐτῷ, διὸ καὶ ἐξεβλήθη παρ' ἐμοῦ. οὐ γὰρ ἦν ἴσον τὸ κῶλον πρὸς τὸ τῆς ἀντιστροφῆς. 524. Πρός γ' ἐμοῦ] εὕρηται, πρός τ' ἐμοῦ πεπονθέναι. ὅπερ οὐκ ἔστιν ἕτερον ἀλλ' ἢ πρὸς ἐμοῦ τι. ὥσπερ γὰρ φαμὲν τῶν τις ἀνθρώπων, τὸ τὶς διὰ μέσου τιθέντες, οὕτω καὶ τοῦτο. ὅτι δ' ἐστὶ τὶ, καὶ οὐ σύνδεσμός τε, ὥς φασί τινες, μαρτυρεῖ τὸ φέρον.

SCHOL. INED. 518. Καὶ κατὰ τὴν ἄλλην ἐξέτασιν καὶ κρίσιν ὤφθη δηλονότι ἡδύπολις. ἤγουν ἡδὺς τῇ πόλει. 521. Οἱ ἀπὸ τῆς αὐτῆς ἐμοὶ πόλεως· ἤγουν οἱ τὴν αὐτὴν ἐμοὶ πόλιν οἰκοῦντες. Πολίτης ἐμοί ἐστιν ὁ δεῖνα· οὐδέποτε μετὰ τῆς Συν. ἤγουν ἀπὸ τῆς αὐτῆς ἐστιν ἐμοὶ πόλεως. συμπολιτεύεται δέ μοί τις μετὰ τῆς Συν. ἤγουν τὴν αὐτὴν ἐμοὶ πόλιν οἰκεῖ. 522. Ἀκηκοὼς κατηγορόν μου τὸν βασιλέα Οἰδίποδα δεινὰ ἤγουν χαλεπὰ ἔπη, πάρειμι ἀντὶ τοῦ παραγίγνομαι. ἀτλητῶν ἤγουν δυσανασχετῶν, ἀφορητῶς ἔχων. 524. Εἰ ἐν ταῖς δυστυχίαις ταῖς νῦν νομίζει πεπονθέναι τι παρ' ἐμοῦ εἰς βλάβην φέρον ἤγουν ἀφορῶν διὰ λόγων εἴτε δι' ἔργων, οὐδαμῶς ἐστιν ἐμοὶ ἐπιθυμία τῆς ἐπὶ πολὺν χρόνον παρατεινομένης ζωῆς φέροντι τήνδε τὴν κατηγορίαν.



Digitized by Google

Ἡ ζημία μοι τοῦ λόγου τούτου φέρει,
Ἀλλ' ἐς μέγιστον, εἰ κακὸς μὲν ἐν πόλει,
Κακὸς δὲ πρὸς σοῦ καὶ φίλων κεκλήσομαι.

Χο. Ἀλλ' ἦλθε μὲν δὴ τοῦτο τοὔνειδος τάχ' ἂν
Ὀργῇ βιασθὲν μᾶλλον ἢ γνώμῃ φρενῶν.

Κρ. Πρὸς τοῦ δ' ἐφάνθη, ταῖς ἐμαῖς γνώμαις ὅτι
Πεισθεὶς ὁ μάντις τοὺς λόγους ψευδεῖς λέγει;

Χο. Ηὐδᾶτο μὲν τάδ', οἶδα δ' οὐ γνώμῃ τίνι.

Κρ. Ἐξ ὀμμάτων ὀρθῶν δὲ κἀξ ὀρθῆς φρενὸς
Κατηγορεῖτο τοὐπίκλημα τοῦτό μου;

Χο. Οὐκ οἶδ', ἃ γὰρ δρῶσ' οἱ κρατοῦντες, οὐχ ὁρῶ.
Αὐτὸς δ' ὅδ' ἤδη δωμάτων ἔξω περᾷ.

Οἰ. Οὗτος σὺ πῶς δεῦρ' ἦλθες; ἢ τοσόνδ' ἔχεις
Τόλμης πρόσωπον, ὥστε τὰς ἐμὰς στέγας
Ἵκου, φονεὺς ὢν τοῦδε τἀνδρὸς ἐμφανῶς,

531. Ἀλλ' ἦλθε μὲν δὴ] ἐπειδὴ τὸ τοῦ χοροῦ πρόσωπον ἰσόῤῥοπον δεῖ ἐν ταῖς διαίταις εἶναι, διὰ τοῦτο καὶ νῦν παραμυθεῖται τὸν Κρέοντα, ὅτι ἴσως κατ' ὀργὴν τοῦτο εἶπεν, ἐρεθισθεὶς ὑπὸ τοῦ μάντεως. 533. Πρὸς τοῦ δ' ἐφάνθη] κατ' ἐρώτησιν ὁ λόγος. 536. Ἐξ ὀμμάτων ὀρθῶν δὲ] τοῦ χοροῦ οὐκ ἔχοντος λέγειν τίνι γνώμῃ ταῦτα ἐλέγετο, ἀπὸ τῶν ἔξωθεν συμβάλλειν βουλόμενος ὁ Κρέων, περὶ τοῦ βλέμματος καὶ τοῦ σχήματος ἐν ᾧ ταῦτα ἔλεγεν ὁ Οἰδίπους, πυνθάνεται. 542. Τοῦδε τἀνδρὸς] ἀντὶ τοῦ, ἐμοῦ καὶ τοῦ Λαΐου.

ΣΧΟΛ. ΤΡΙΚΛ. 534. Ψευδεῖς λέγει] οὓς περὶ τῶν παρόντων λέγει. ὡς γὰρ ὁ Οἰδίπους ἔφη, οἱ τοῦ Τειρεσίου λόγοι, οὓς κατ' αὐτοῦ ἔφη, πρὸς ψεῦδος συντέθεινται, καὶ οὐκ ἐν ἀληθείᾳ λελεγμένοι εἰσίν. 536. Ἐξ ὀμμάτων] ἤγουν ἀπὸ ἀνθρώπου σώφρονος καὶ ὑγιεῖς φρένας ἔχοντος· ἢ ἀπ' ἀκριβοῦς συνειδήσεως καὶ καθεστηκυίας γνώμης. εἰκότως δ' εἶπε τὸ ἐξ ὀρθῶν ὀμμάτων. οἱ γὰρ σώφρονες καθεστηκὸς ἔχουσι τὸ ὄμμα, οἱ δὲ μαινόμενοι παρατετραμμένον. 539. Ἔξω περᾷ] ἴσος ἂν τις ἐνταῦθ' ἐλθὼν κακίσειε τὴν δευτέραν ἔννοιαν ἣν πρώην ἔφαμεν εἰς τό, καὶ ταῦτ' ἰὼν εἴσω λογίζου. ἐλέγομεν γὰρ τὸ εἴσω. ἐντὸς τῶν οἴκων ἐλθών, ἢ εἰς ἑαυτὸν καὶ καθ' ἡσυχίαν γενόμενος. ἀμφότερα οὖν ταῦτ' ἔχεται λόγου,

Digitized by Google

Suſtinenti tantam infamiam: non enim ad leve
Injuria hujus ſermonis tendit, [malum
Sed ad maximum, ſiquidem malus civitati
Maluſque erga te et amicos vocabor.
*Ch.* At prodiit, *puto*, hoc convitium forſitan
Irâ expreſſum potiùs quàm mentis ex ſententia.
*Cr.* An ab hoc dictum fuit, quod meis conſiliis
Perſuaſus vates mendacia locutus ſit?
*Ch.* Hæc quidem dicta ſunt, neſcio autem quâ mente.
*Cr.* Oculiſne rectis, rectâque mente
Condemnavit me hujus criminis?
*Ch.* Neſcio: quæ enim faciunt principes, non video.
Ipſe verò jam huc ex ædibus prodit foras.
*Oe.* Heus tu! quid huc veniſti? tantumne habes
Audaciæ in fronte, ut meas ad ædes
Venias, peremtor cum ſis hujus viri palam,

λόγυ, ϗ ὐδὲν κωλύει τὸ δεύτερον μὴ εἶναι ἄριστον, εἰ ϗ νῦν ὁ χορός φησιν, αὐτὸς δ᾽ ὅδ᾽ ἤδη δωμάτων ἔξω περᾷ. ὁ γὰρ ἡσυχίας δεόμενος, ἐντὸς οἴκυ ἢ εἰς ἐρημίαν χωρεῖ· ὥστε οἱ πειρασόμενοι ἡμᾶς αἰτιᾶσθαι, σφᾶς αὐτὺς εἰς αἰτίαν ἐμβαλῦσιν, ὐκ εἰδότες ὡς δεῖ τὰ πράγματα λογίζεσθαι.

Σχήμ. Τρικλ. 540. Οὗτος σὺ] ἐπιτίμησις Οἰδίποδος κατὰ Κρέοντος ϗ κατηγορία.

SCHOL. INED. 527. Ἁπλῦν ἢ ποικίλον· ϗ ἁπλῦν ἢ σύνθετον· ϗ ἁπλῦν ποιητικῶς τὸ ἕν. Τὸ ἁπλῦν ἐνίοτε μὲν δηλοῖ τὸ ἀποίκιλον, οἷον ἁπλῦν ἦθος ϗ ἁπλῦς λόγος· ὅτε ἐναντίον ἔχει τὸ ποικίλον. ἐνίοτε δὲ τὸ ἀσύνθετον· ἔχει δὲ τὸ ἐναντίον τὸ σύνθετον. ἐνταῦθα δὲ τὸ ἁπλῦν τὸ ἓν δηλοῖ κατὰ ποιητικὴν ἐξυσίαν. Ἀλλ᾽ εἰς πολλὰ ὀφείλων εἰπεῖν πρὸς τὸ, ὐ γαρ εἰς ἁπλῦν ἡ ζημία μοι τῦ λόγυ τύτυ φέρει, ὁ δὲ εἰς μέγιστον ἀποδίδωσι συνάγων τὰ πολλὰ μετὰ ἐπιτάσεως εἰς τὴν τῦ μεγίστυ ὑπέρθεσιν. 536. Ἀπὸ ἀναμφιβόλυ διαθέσεως ὀφθαλμῦ, ϗ ἀπὸ ἀναμφιβόλυ διαθέσεως γνώμης. ἀναιδεία, προσώπυ, ἤγυν ἔχεις τοσαύτην ἀναίδειαν ἤγυν ἀναισχυντίαν.



Digitized by Google

Λῃστὴς τ' ἐναργὴς τῆς ἐμῆς τυραννίδος;
Φέρ' εἰπὲ πρὸς θεῶν, δειλίαν ἢ μωρίαν
Ἰδών τιν' ἐν ἐμοὶ, ταῦτ' ἐβουλεύσω ποιεῖν;
Ἢ τοὔργον ὡς οὐ γνωρίσοιμί σου τόδε,
Δόλῳ προσέρπον, κοὐκ ἀλεξοίμην μαθών;
Ἆρ' οὐχὶ μῶρόν ἐστι τοὐγχείρημά σου,
Ἄνευ τε πλήθους καὶ φίλων τυραννίδα
Θηρᾷν, ὃ πλήθει χρήμασίν θ' ἁλίσκεται;
Κρ. Οἶσθ' ὡς ποιήσων; ἀντὶ τῶν εἰρημένων
Ἴσ' ἀντάκουσον, κᾆτα κρῖν' αὐτὸς μαθών.
Οἰ. Λέγειν σὺ δεινὸς, μανθάνειν δ' ἐγὼ κακὸς
Σοῦ. δυσμενῆ γὰρ καὶ βαρύν σ' εὕρηκ' ἐμοί.
Κρ. Τοῦτ' αὐτὸ νῦν μου πρῶτ' ἄκουσον ὡς ἐρῶ.
Οἰ. Τοῦτ' αὐτὸ μή μοι φράζ', ὅπως οὐκ εἶ κακός.
Κρ. Εἴτοι νομίζεις κτῆμα τὴν αὐθαδίαν
Εἶναί τι τοῦ νοῦ χωρὶς, οὐκ ὀρθῶς φρονεῖς.
Οἰ. Εἴτοι νομίζεις ἄνδρα συγγενῆ κακῶς
Δρῶν, οὐκ ὑφέξειν τὴν δίκην, οὐκ εὖ φρονεῖς.

551. Οἶσθ' ὡς ποιήσων;] ἀντὶ τοῦ ποιήσεις. ἔστι δὲ ἀττικισμός. 553. Λέγειν σὺ δεινὸς,] σὺ μὲν δεινὸς εἶ ἐν τῷ λέγειν, ἐγὼ δὲ οὐ μετὰ εὐνοίας σου ἀκούω διὰ τὴν δυσμένειαν. 560. Οὐχ ὑφέξειν τὴν δίκην] οὐκ ἐκτίσειν τὴν τιμωρίαν. ὑπέχει τὰ νῶτα ἡ θάλασσα τῷ Διονύσῳ, ἤγουν ὑποκείμενα ἔχει· καὶ ὑπέχει τις τινὶ δίκην, ὑποκείμενον ἔχει ἑαυτὸν εἰς δίκην. ὅτε δὲ ἄνευ δοτικῆς ἐστιν συνυπακούεται.

ΣΧΟΛ. ΤΡΙΚΛ. 553. Ἐγὼ κακὸς] ἤγουν κακὸν ἥγημαι τὸ ἀπὸ σοῦ τι μανθάνειν. μὴ λάβῃς δὲ εἰς τὸ σοῦ ἔξωθεν τὸ ἀπό· εἰ καὶ ἡμεῖς ἐν τῇ συντάξει χάριν σαφηνείας εἰρήκαμεν. ὥσπερ γάρ φαμεν, κακοῦ ἀνδρὸς ἥγημαι τοῦτο, καὶ πάλιν, βαρβάρου τὴν ὕβριν γινώσκω οὕτω καὶ μανθάνω σοῦ τόδε.

¶ Σχήμ. Τρικλ. 544. Πρὸς θεῶν] συνίζησις. 548. Ἆρ' οὐχὶ] γνωμικόν. 551. Οἶσθ' ὡς] ἀπολογία Κρέοντος ἐφ' οἷς ἐγκαλεῖται.

SCHOL. INED. 545. Ταῦτα ἐβουλεύσω ποιεῖν ὑπολαβών. ἢ ἐβουλεύσω ταῦτα ποιεῖν ὑπολαβὼν ὅτι οὐ γνωρίζοιμι ἤγουν μάθοιμι τὸ ἔργον τόδε ξὺν δόλῳ κινούμενον. 550. Τὸ ὃ πλήθει πρὸς τὸ πρᾶγμα ἀπί-

Prædoque conſpicuus meæ tyrannidis ?
Age dic per deos, timiditatem an ſtultitiam
Ineſſe mihi videns cogitâſti hæc facere ?
Vel facinus tuum quaſi nunquam ſenſurus eſſem,
Dolo ſubrepens mihi ; aut ſi ſenſiſſem ulturus ?
Annon inſanus eſt iſte conatus tuus,
Abſque populo et amicis tyrannidem
Venari, quæ populi favore et pecuniâ capitur ?
*Cr.* Noſtine quid agas ? pro hiſce dictis tuis
Æqualia viciſſim audi, cumque *rem* cognoveris,
deinde judica. [ego malus.
*Oe.* Orator tu quidem *es* vehemens, auditor autem tui
Infenſum enim et gravem te expertus ſum mihi.
*Cr.* Hoc ipſum nunc a me primum audi, quod dicam.
*Oe.* Hoc ipſum *modo* ne mihi dicas, quod non ſis ma-
*Cr.* Siquidem putas quid boni eſſe pervicaciam [lus.
Abſque ſana mente, non rectè ſapis.
*Oe.* Si putas *te* homini cognato malè
Faciens non daturum pœnas, non rectè ſapis.

ἀπέδωκε. Ὑπὸ πλήθους ἀνθρώπων ϗ ὑπὸ χρημάτων. 551. Γινώσκεις ὅπερ μέλλεις ποιῆσαι ἕνεκα τῶν εἰρημένων ὑπό σου. 554. Βαρὺς ἐπὶ ψυχῆς. ὁ δύσκολος ϗ ἀγανάκτησιν ἔχων· ϗ βαρὺς ἐπὶ σώματος, ὁ βεβαρημένος ϗ δυσκίνητος. ἐνταῦθα δὲ οὐ τὸν ἔχοντα τὸ βάρος ἐν ἑαυτῷ λέγει ϗ τὴν ἀγανάκτησιν· ἀλλὰ τὸν γινόμενον ἑτέρῳ τοιοῦτον. ὥστε τὸ βαρὺς ἐνίοτε μὲν τὸν βαρυνόμενον δηλοῖ ϗ ἐπὶ πάθη λέγεται· ἐνίοτε δὲ, τὸν βαρὺν ὄντα ϗ ἐνεργείας ἐστὶ δηλωτικόν. βαρὺς, ἐπὶ ψυχῆς ὁ ἀγανάκτησιν ἔχων· βαρὺς, ἐπὶ σώματος ὁ δυσκίνητος. 554. Περὶ τούτου αὐτοῦ οὗ λέγει ὅτι εὕρηκάς με δυσμενῆ σαυτῷ τὴν ἀπολογίαν τούτου αὐτοῦ· τὴν αὐθάδειαν· λέγουσι δὲ εἶναι τὴν αὐθάδειαν, ἀπήνειαν ὁμιλίας ἐν λόγοις. 560. Ὑπέχει τὰ νῶτα ἡ θάλασσα τῷ Διονύσῳ· ἤγουν ὑποκείμενα ἔχει ϗ ὑπέχει τις τινὶ δίκην, ἤγουν ὑποκείμενον ἑαυτὸν ἔχει εἰς δίκην. ὅπερ ἐνίοτε μὲν τετελεσμένην ἔχει τὴν σύνταξιν· οἷον ὑπέχω σοι δίκην· ἐνίοτε δὲ ἀτελῆ, οἷον ὑπέχω δίκην. ὅτε ἐξ ἀνάγκης ἡ δοτικὴ συνυπακούεται.

564. Τὸν

Κρ. Ξύμφημί σοι ταῦτ' ἔνδικ' εἰρῆσθαι· τὸ δὲ
Πάθημ' ὁποῖον φῂς παθεῖν, δίδασκέ με.
Οἰ. Ἔπειθες, ἢ οὐκ ἔπειθες; ὡς χρεί' ἤμ' ἐπὶ
Τὸν σεμνόμαντιν ἄνδρα πέμψασθαί τινα.
Κρ. Καὶ νῦν ἔτ' αὐτός εἰμι τῷ βουλεύματι.
Οἰ. Πόσον τίν' ἤδη δῆθ' ὁ Λάϊος χρόνον;
Κρ. Δέδρακε ποῖον ἔργον; οὐ γὰρ ἐννοῶ.
Οἰ. Ἄφαντος ἔῤῥει θανασίμῳ χειρώματι.
Κρ. Μακροὶ παλαιοί τ' ἂν μετρηθεῖεν χρόνοι.
Οἰ. Τότ' οὖν ὁ μάντις οὗτος ἦν ἐν τῇ τέχνῃ;
Κρ. Σοφός γ' ὁμοίως, κἀξ ἴσου τιμώμενος.
Οἰ. Ἐμνήσατ' οὖν ἐμοῦ τι τῷ τότ' ἐν χρόνῳ;
Κρ. Οὔκουν, ἐμοῦ γ' ἑστῶτος οὐδαμοῦ πέλας.
Οἰ. Ἀλλ' οὐκ ἔρευναν τοῦ θανόντος ἔσχετε;
Κρ. Παρέσχομεν. πῶς δ' οὐχί; κοὐκ ἠκούσαμεν.
Οἰ. Πῶς οὖν τόθ' οὗτος ὁ σοφὸς οὐκ ηὔδα τάδε;
Κρ. Οὐκ οἶδ'· ἐφ' οἷς γὰρ μὴ φρονῶ, σιγᾶν φιλῶ.
Οἰ. Τὸ σὸν δέ γ' οἶσθα· καὶ λέγοις ἂν εὖ φρονῶν.

564. Τὸν σεμνόμαντιν] ἐν εἰρωνείᾳ. εὐήθη γὰρ θέλει λέγειν τὸν Τειρεσίαν. 567. Οὐ γὰρ ἐννοῶ] ἐπεὶ κατὰ παράλειψιν εἶπε, λέγει, τί με ἐρωτᾷς ἀγνοῶ. 574. Ἀλλ' οὐκ ἔρευναν] ζήτησιν, δοκιμασίαν.

ΣΧΟΛ. ΤΡΙΚΛ. 569. Μακροὶ] εἰκότως εἶπε τὸ παλαιοὶ πρὸς τὸ μακροί. οἱ γὰρ μακροὶ χρόνοι, καὶ παλαιοί εἰσιν. Τὸ σὸν ἀλλὰ τοσοῦτον γοῦν οἶσθα, καὶ λέγοις ἂν αὐτὸ, εἰ καλῶς φρονεῖς. εἰ καὶ ἐκεῖνο μὴ οἶδας, ἀλλὰ τὸ σὸν γινώσκεις εἰ καλῶς φρονεῖς.

¶ Σχήμ. Τρικλ. 563. Ἢ οὐκ ἔπειθες;] συνίζησις, ἢ κοινὴ συλλαβὴ τὸ ἤ. 564. Τὸν σεμνόμαντιν] εἰρωνικόν. 567. Δέδρακε ποῖον] τοῦτο διὰ μέσου εἶπε. 577. Οὐκ οἶδ'] γνωμικόν.

SCHOL. INED. 563. Χρεῖα καὶ χρήσιμα ἤγουν χρήσιμον ἢ λέγειν· ἐκ τούτων γὰρ συγκειται καὶ τὸ χρή. τὸ δὲ χρειά τριγενές ἐστιν. ἔστι γὰρ ὁ χρεῖος, ἡ χρεῖα, καὶ τὸ χρεῖον. ἔστι δὲ μονογενὲς ἡ χρεία. ὅτι δὲ ἐνταῦθα τὸ χρεῖα οὐδέτερόν ἐστι, δηλοῖ τὸ συναλείφεσθαι τὸ ᾶ ὅπερ

*Cr.* Assentior tibi hæc jure dici; sed
Malum, quod dicis te a me accepisse, dic mihi.
*Oe.* Persuasisti, an non persuasisti, quod oporteret me
Ad vatem istum præclarum mittere nuncium aliquem?
*Cr.* Et nunc quidem ejusdem ipse sum sententiæ.
*Oe.* Quantum jam temporis *abiit* ex quo Laius?
*Cr.* Quid fecit? non enim intelligo.
*Oe.* Occultè periit exitiali manu.
*Cr.* Longa et antiqua numerari possunt tempora.
*Oe.* Tunc temporis vatesne ille hanc callebat artem?
*Cr.* Æquè sapiens, et honore habitus pari.
*Oe.* Nunquid mei meminit tunc temporis?
*Cr.* Nunquam omnino, me præsente.
*Oe.* At nullam inquisitionem de mortuo habuistis?
*Cr.* Habuimus. et quid nî? Sed non audivimus.
*Oe.* Cur ergò tunc ille sapiens non dixit hæc?
*Cr.* Nescio. quæ autem nescio *de his* libenter taceo.
*Oe.* Hoc scis tamen, dicesque si rectè sapis.

ὅπερ οὐκ ἂν ἐγένετο εἰ μὴ βραχὺ ἦν. 566. Τοσοῦτον χρόνον ποιῶ τόδε ἀντὶ τοῦ ἐπὶ τοσοῦτον, καὶ πόσον χρόνον δεμνίοις πέπτωχ' ὅδε· ἤγουν ἐπὶ πόσον χρόνον κεῖται ἐν τοῖς δεμνίοις, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. ὅτι δὲ ἡ ἐπὶ πρόθεσις νοεῖται ἐπὶ τούτου, δῆλον ἀπὸ τοῦ πολλὰ τοιαῦτα ἐνίοτε λέγεσθαι μετὰ τῆς ἐπὶ, οἷον, ἐπιολίγον, ἐφικανὸν, ἐπιπολύ. ἐπιπολὺ εἰσήκει ἄφωνος, ἤγουν ἐπιπολὺ μέρος χρόνου, τουτέστι πολὺν χρόνον. 568. Θανατηφόρῳ φόνῳ, τουτέστι διὰ φόνου θανατηφόρου. 570. Ἤγουν οὗτος ὁ νῦν μάντις ᾔδει τότε τὴν μαντικὴν, κατεγίνετο τότε ἐν τῇ μαντικῇ. 571. Ἦν σοφὸς ὁμοίως. ἤγουν ὥσπερ νῦν καὶ ἐξίσου τιμώμενος ἤγουν καὶ ἦν τιμώμενος καθόσον τιμᾶται νῦν, τουτέστι καὶ ἦν σοφὸς οὕτως ὥσπερ νῦν. καὶ ἐνομίζετο οὕτως ὥσπερ νῦν. 573. Οὔκουν οὐδαμοῦ διεμνημόνευσεν ἐμοῦ ἑστῶτος πλησίον ἤγουν τοῦτο ὃ λέγει περὶ ἐμοῦ νῦν. Εἰ καὶ ἐκεῖνο μὴ οἶδας, ἀλλὰ τὸ σὸν οἶσθα· καὶ εἰ καλῶς φρονεῖς, λέγοις ἄν. Οὐκ ἄν ποτε εἶπε τὰς διαφθορὰς τοῦ Λαΐου ἐμάς.

580. Ὁ δ'

Κρ. Ποῖον τόδ'; εἰ γὰρ οἶδά γ', οὐκ ἀρνήσομαι.
Οἰ. Ὅθ' οὕνεκ' εἰ μή σοι ξυνῆλθε, τὰς ἐμὰς
Οὐκ ἄν ποτ' εἶπε Λαΐου διαφθοράς.
Κρ. Εἰ μὲν λέγει τάδ', αὐτὸς οἶσθ'· ἐγὼ δέ σου
Μαθεῖν δικαιῶ ταῦθ' ἅπερ κἀμοῦ σὺ νῦν.
Οἰ. Ἐκμάνθαν'· οὐ γὰρ δὴ φονεὺς ἁλώσομαι.
Κρ. Τί δῆτ' ἀδελφὴν τὴν ἐμὴν γήμας ἔχεις;
Οἰ. Ἄρνησις οὐκ ἔνεστιν ὧν ἀνιστορεῖς.
Κρ. Ἄρχεις δ' ἐκείνῃ ταὐτὰ, γῆς ἴσον νέμων;
Οἰ. Α῏ν ᾖ θέλουσα, πάντ' ἐμοῦ κομίζεται.
Κρ. Οὐκοῦν ἰσοῦμαι σφῷν ἐγὼ δυοῖν τρίτος.
Οἰ. Ἐνταῦθα γὰρ δὴ καὶ κακὸς φαίνῃ φίλος.
Κρ. Οὐκ, εἰ διδοίης γ', ὡς ἐγὼ σαυτῷ, λόγον.
Σκέψαι δὲ τοῦτο πρῶτον, εἴ τιν' ἂν δοκεῖς
Ἄρχειν ἑλέσθαι ξὺν φόβοισι μᾶλλον, ἢ

580. Ὅθ' οὕνεκ' εἰ μή σοι ξυνῆλθε,] ὁ μάντις εἰ μὴ ἐλάμβανέ σε κοινωνὸν τοῦ βουλεύματος, οὐκ ἄν με ἔφη τοῦ Λαΐου φονέα. 588. Α῏ν] τὸ τέλειον, ἃ ἂν, ἀντὶ τοῦ ἅ τινα ἄν.

ΣΧΟΛ. ΤΡΙΚΛ. 580. Τὰς ἐμὰς] τὸ τὰς πρὸς τὸ διαφθορὰς τινὲς συνάπτουσιν, οὕτως, οὐκ ἄν ποτε εἶπε τὰς διαφθορὰς τοῦ Λαΐου ἐμάς. σὺ δ' ἐκείνους ἐάσας, τὸ τὰς πρὸς τὸ ἐμὰς, ὥσπερ συντέθειται, σύναπτε, οὕτως, οὐκ ἄν ποτ' εἶπε τὰς ἐμὰς ὡς αὐτὸς οἴεται διαφθορὰς τοῦ Λαΐου· πρὸς γὰρ τὴν ἐκείνου ὑπόληψιν τὰς ἐμὰς ὡρισμένως εἶπε, καὶ οὐ πρὸς τὴν οἰκείαν. εὑρήσεις δ' ὅμοιον καὶ προϊὼν, ὅταν λέγῃ, τὸν ἐναγῆ φίλον ποτὲ ἐν αἰτίᾳ σὺν ἀφανεῖ λόγῳ. ἐκεῖ γὰρ τὸ ἐναγῆ πρὸς τὴν τοῦ Οἰδίποδος ὑπόληψιν κεῖται. τὸ δὲ πᾶν, εἰ μὴ μετὰ σοῦ ἐβουλεύσατο, οὐκ ἄν ποτε με φονέα Λαΐου εἶπεν. 582. Εἰ μὲν λέγει] ἤγουν εἰ μὲν φονέα σὲ τοῦ Λαΐου ἐκεῖνός φησιν, αὐτὸς οἶσθα· ἐγὼ δὲ παρὰ σοῦ βουλοίμην ἂν μαθεῖν, ὥσπερ καὶ σὺ παρ' ἐμοῦ νῦν. 585. Γήμας ἔχεις] γαμεῖ τις, ἀμεταβάτως ἀντὶ τοῦ γάμον ἔχει, τοῦτ' ἔστι συνημμένος ἐστὶ γυναικὶ, ὡς ἐν τῷ, Οὐ γαμέεις; ζῇς ἔτ' ἐλαφρότερος. καὶ γαμεῖ τις τήνδε, μεταβατικῶς, ἀντὶ τοῦ εἰς γάμον λαμβάνει, ἢ λαβὼν ἔχει· καθ' ὃ λέγεται ἐνταῦθα. 588. Πάντ' ἐμοῦ] μὴ λάβῃς εἰς τὸ ἐμοῦ ἔξωθεν τὸ ἀπὸ, ἀλλ' ὅνπερ ἄνω ἔφαμεν λόγον, εἰς τὸ, Μανθάνειν δ' ἐγὼ κακός σου, ὁ αὐτός ἐστι κἀνταῦθα.

πάντα

*Cr*. Quid istud est? si enim sciam non negabo.

*Oe*. Quòd nisi tecum congressus esset, meam
Nunquam dixisset Laii cædem *esse*.

*Cr*. An hæc ille dicat, ipse nosti: ego autem ex te
Discere volo eadem, quæ tu modò ex me.

*Oe*. Disce: non enim unquam homicida deprehendar.

*Cr*. Quid autem? meam sororem nonne conjugem
habes?

*Oe*. Negari non potest, quod quæris. [conferens?

*Cr*. Et regnas pariter cum eâ, parem terræ portionem

*Oe*. Si volet, omnia mea *habebit* auferetque.

*Cr*. Æqualis igitur sum vobis duobus ego tertius.

*Oe*. Hic porrò tandem malus appares amicus.

*Cr*. Non, si sineres me, sicut ego te, dicere.
Considera hoc primum an quenquam putas
Regnare malle cum timoribus, quàm

πάντα γὰρ λαμβάνει ἐμοῦ, τοῦτ' ἔστιν ἡμέτερα ὄντα αὐτὴ δέχεται. 591. Οὐκ' εἰ διδοίης] οὐδαμῶς φαίνομαι κακὸς φίλος, εἰ διδοίης σαυτῷ λόγον. ἤγουν σκέψιν καὶ διαγνωστικὴν κρίσιν, ὡς ἐγὼ δηλονότι ἐμαυτῷ δίδωμι. ἤγουν σκέψαιο ὡς ἐγὼ σκέπτομαι. 592. Σκέψαι δὲ] λόγισαι δὲ καὶ τοῦτο πρῶτον, εἰ νομίζεις τινὰ, εἰ τὰ αὐτὰ ἕξει κράτη, προκρῖναι ἂν μᾶλλον ἄρχειν σὺν φόβῳ, ἢ ἄρχειν δηλονότι ὑπνῶντα ἀφόβως. Ib. Εἴ τιν' ἂν δοκεῖς] τὸ ἂν πρὸς τὸ ἑλέσθαι συνακτέον, καὶ οὐ πρὸς τὸ δοκεῖς, ὥς τινές φασι, γράφοντες κῆς διὰ τοῦ ῆ.

SCHOL. INED. 585. Γαμεῖ τις ἀμεταβάτως, ἀντὶ τοῦ γάμον ἔχει τουτέστι συνημμένος ἐστὶ γυναικὶ, ὡς ἐν τῷ, οὐ γαμέεις, ζῆς ἔτ' ἐλαφρότερος, καὶ γαμεῖ τις τήνδε μεταβατικῶς ἀντὶ τοῦ εἰς γάμον λαμβάνει, ἢ λαβὼν ἔχει, καθὸ λέγεται ἐνταῦθα. 586. Δυνατὴ οὐκ ἔστιν ἐμοὶ ἡ ἄρνησις· ἤγουν οὐκ ἔστι μοὶ δυνατὸν ἀρνήσασθαι. 587. Ἄρχεις δὲ κατὰ ταυτὰ ἐκείνη γῆς μέρος ἐπίσης αὐτῇ. 591. Οὐδαμῶς φαίνομαι κακὸς φίλος εἰ διδοίης γε σαυτῷ λόγον ἤγουν σκέψιν καὶ διαγνωστικὴν κρίσιν, ὡς ἐγὼ ἐμαυτῷ δηλονότι δίδωμι· ἤγουν σκέψαιο ὡς ἐγὼ σκέπτομαι. λόγον, σκέψιν, διαγνωστικὴν κρίσιν. Λόγισαι δὲ τοῦτο πρῶτον εἰ δοκεῖς τινὰ εἰ τὰ αὐτὰ ἕξει κράτη, ἤγουν τὴν αὐτὴν ἐξουσίαν, προκρῖναι ἂν μᾶλλον ἄρχειν σὺν φόβοις, ἢ ἄρχειν δηλονότι ὑπνώττοντα ἀφόβως.



Digitized by Google

Ἄτρεστον εὕδοντ', εἰ τάγ' αὔθ' ἕξει κράτη;
Ἐγὼ μὲν οὖν οὔτ' αὐτὸς ἱμείρων ἔφυν
Τύραννος εἶναι μᾶλλον ἢ τύραννα δρᾶν,
Οὔτ' ἄλλος ὅστις σωφρονεῖν ἐπίσταται.
Νῦν μὲν γὰρ ἐκ σοῦ πάντ' ἄνευ φόβου φέρω.
Εἰ δ' αὐτὸς ἦρχον, πολλὰ κἂν ἄκων ἔδρων.
Πῶς δῆτ' ἐμοὶ τυραννὶς ἡδίων ἔχειν
Ἀρχῆς ἀλύπου καὶ δυναστείας ἔφυ;
Οὔπω τοσοῦτον ἠπατημένος κυρῶ,
Ὥστ' ἄλλα χρήζειν ἢ τὰ σὺν κέρδει καλά.
Νῦν πᾶσι χαίρω, νῦν με πᾶς ἀσπάζεται·
Νῦν οἱ σέθεν χρήζοντες ἐκκαλοῦσί με.
Τὸ γὰρ τυχεῖν αὐτοῖς ἅπαντ' ἐνταῦθ' ἔνι.
Πῶς δῆτ' ἐγὼ κεῖν' ἂν λάβοιμ', ἀφεὶς τάδε;
Οὐκ ἂν γένοιτο νοῦς κακὸς καλῶς φρονῶν.
Ἀλλ' οὔτ' ἐραστὴς τῆσδε τῆς γνώμης ἔφυν,

607. Πῶς δῆτ' ἐγὼ κεῖν' ἂν] προκατασκευάσας ὡς ἄμεινόν ἐστιν αὐτῷ τοῦ τυραννεῖν τὸ ἀφόβως κοινωνεῖν τῇ τυραννίδι, τοῦτο ἐπήνεγκεν. ὁ γὰρ νοῦς, ὁ ταῦτα τὰ συμφέροντα ἐνθυμούμενος, οὐκ ἂν γένοιτο κακὸς, ὥστε ἑτέρῳ τινὶ ἀσυμφόρῳ ἐπιχειρῆσαι. 608. Φρονῶν] ἀντὶ τοῦ φρονοῦντος. ἢ οὕτως, ὁ καλῶς φρονῶν νοῦς, οὐκ ἂν κακὸς γένοιτο.

ΣΧΟΛ. ΤΡΙΚΛ. 594. Ἄτρεστον εὕδοντ'] εἰκότως εἶπε τὸ εὕδοντα, καὶ οὐ διαλέγοντα. ὁ γὰρ ἀμερίμνως ζῶν, πρὸς ὕπνον ἐγείρεται. τὸ δὲ Εἴ τά γ' αὔθ' ἕξει κράτη, πρὸς τὸ φόβοις συναπτέον. τὸ δὲ οὐ ἄτρεστον εὕδοντα, διὰ μέσου. 599. Ἄκων ἔδρων] τοῦτο λέγει ἐπειδὴ ἡ ἀρχὴ καὶ παρὰ τὸ δίκαιον τοὺς αὐτὴν ἔχοντας ἀναγκάζει πολιτεύεσθαι. 600. Πῶς δῆτ' ἐμοὶ] ἡ σύνταξις, πῶς οὖν ἡ τυραννὶς καὶ ἡ βασιλεία ἔφυ καὶ ὑπάρχει ἔχειν ἐμοὶ ἡδίων καὶ ἡδυτέρα ἀρχῆς καὶ δυναστείας ἀλύπου, ἐφ' ἧς νῦν εἰμί. 603. Ὥστ' ἄλλα χρήζειν] ἡ γὰρ ἀρχὴ καλὸν μέν ἐστιν, ἀλλὰ παρακεκινδυνευμένον καὶ ὕποπτον· ἡ δ' ἐμὴ, καλὸν περισπούδαστον. ἰστέον δὲ ὅτι τὸ χρήζω οὐ μόνον γενικῇ, ἀλλὰ καὶ αἰτιατικῇ συντάσσεται· καὶ ὅτε μὲν γενικῇ συντάσσεται, φυσικὴν ἔχει τὴν σύνταξιν· χρήζω γὰρ τὸ χρείαν τινὸς ἔχω) ὅτε δὲ αἰτιατικῇ, πρὸς τὸ σημαινόμενον· οὐ

γὰρ

Sine timore dormire, ſi potentiam obtineat e-
Ego ſanè neque ipſe cupio [andem?
Tyrannus eſſe magis quàm tyranni juſſa exequi.
Neque alius, quiſquis modeſtus eſſe novit.
Nunc enim a te omnia abſque metu fero,
At ſi ipſe rex eſſem, multa invitus facerem.
Quî mihi igitur tyrannis eſſet dulcior
Quàm principatus ſecurus et potentia?
Nondum adeo animi falſus ſum
Ut alia expetam bona, quàm lucro conjuncta.
Nunc omnibus oblector, nunc omnis me amplectitur.
Nunc qui abs te aliquid volunt, me evocant:
Ut enim omnia conſequantur penes me eſt.
Cur igitur ego hæc captarem, illis dimiſſis *bonis*?
Mens recta ſapiens agere prava non poteſt.
Sed nec amator unquam hujus ſententiæ fui,

γάρ τις ἔχει χρείαν, θέλων αὐτὸ ἔχει χρείαν. 604. Νῦν πᾶσι χαίρω] ἀντὶ τοῦ, πᾶσιν ἀνθρώποις πληροφοροῦμαι καὶ θαῤῥῶ, καὶ εἰς οὐδένα ὑποψίαν ἔχω· ὃ τυραννίδος ἔξω καθέστηκεν. ἐκείνη γὰρ καὶ συγγενέσιν αὐτοῖς καὶ φίλοις ἀπιστεῖ. ἢ τὸ πᾶσι χαίρω, ἀντὶ τοῦ πᾶσι πράγμασιν ἥδομαι, καὶ οὐδεμία φροντὶς καὶ μέριμνα περὶ οὐδενός ἐστί μοι, ἀμβλεῖαν ποιοῦσα τὴν ἡδονήν. 606. Τὸ γὰρ τυχεῖν] ἡ σύνταξις· ἔνι γὰρ καὶ ὑπάρχει αὐτοῖς ἅπανθ' ἃ βούλονται ἐνταῦθα, ἤγουν ἐν ἐμοὶ, τὸ τυχεῖν τούτων. τοῦτ' ἔστι, λογίζονται δι' ἐμοῦ, καὶ δέονταί σου ἁπάντων ὧν χρήζουσι τεύξεσθαι. δέον δ' εἰπεῖν οὕτως, τὸ γὰρ τυχεῖν ἁπάντων ἐνταῦθ' αὐτοῖς ἔνι· ὁ δὲ ἅπαντα εἶπε πρὸς τὸ ἔνι. τὸ δὲ τυχεῖν, ἔξωθεν συντάσσει, τὸ τυχεῖν τούτων δηλονότι.

¶ Σχόλ. Τρικλ. 602. Οὔπω τοσοῦτον] γνωμικόν. 608. Οὐκ ἂν γένοιτ'] γνωμικόν.

SCHOL. INED. 598. Ἀποφέρομαι, λαμβάνω. Ἅπασα γὰρ ἡ ἐλπὶς τοῦ τυχεῖν ὧν θέλουσι δηλονότι, ἐνταῦθά ἐστιν αὐτοῖς ἤγουν ἐν ἐμοί. ἐξ ἐμοῦ ἤγουν ἐνταῦθα ἐν ἐμοὶ πᾶσα ἡ ἐλπὶς τοῦ τυχεῖν. ἤγουν, τὸν φόβον ὃν ἔχει ἡ βασιλεία.



Digitized by Google

Οὔτ' ἂν μετ' ἄλλου δρῶντος ἂν τλαίην ποτέ.
Καὶ τῶνδ' ἔλεγχον, τοῦτο μὲν Πυθώδ' ἰὼν,
Πεύθου τὰ χρησθέντ' εἰ σαφῶς ἤγγειλά σοι
Ταῦτ'· ἀλλ' ἐάν με τῷ τερασκόπῳ λάβῃς
Κοινῇ τι βουλεύσαντα, μή μ' ἁπλῇ κτάνῃς
Ψήφῳ, διπλῇ δὲ, τῇ τ' ἐμῇ καὶ σῇ, λαβών.
Γνώμῃ δ' ἀδήλῳ μή με χωρὶς αἰτιῶ.
Οὐ γὰρ δίκαιον οὔτε τοὺς κακοὺς μάτην
Χρηστοὺς νομίζειν, οὔτε τοὺς χρηστοὺς, κακούς.
Φίλον γὰρ ἐσθλὸν ἐκβαλεῖν, ἴσον λέγω,
Καὶ τὸν παρ' αὐτοῦ βίοτον, ὃν πλεῖστον φιλεῖ.
Ἀλλ' ἐν χρόνῳ γνώσῃ τάδ' ἀσφαλῶς. ἐπεὶ
Χρόνος δίκαιον ἄνδρα δείκνυσιν μόνος·
Κακὸν δὲ κἂν ἐν ἡμέρᾳ γνοίης μιᾷ.—

611. Καὶ τῶνδ' ἔλεγχον, τοῦτο μὲν Πυθώδ' ἰὼν] ζήτησον (φησὶν) εἰ τὸν χρησμὸν ὑγιῶς ἀφήγημαί σοι φέρων· εἶτα εἰ κατεκοινώνησα τοῦ μαντείου τῷ Τειρεσίᾳ. 615. Διπλῇ δὲ, τῇ τ' ἐμῇ καὶ σῇ.] ὅτι καὶ αὐτὸς τὸν ἐμαυτοῦ καταψηφίζομαι θάνατον. 618. Χρηστοὺς νομίζειν] ἀγαθούς. τῷ χρηστῷ ἐναντίον ὁ φαῦλος. ἔστι δὲ χρηστὸς οὗ ἡ ὁμιλία ὠφέλειαν ἐμποιεῖ· φαῦλος δὲ, οὗ ὁ βίος ἄτακτος καὶ ἀκόλαστος, ὡς καὶ ἄλλους βλάπτεσθαι ἀπὸ τῆς αὐτοῦ ὁμιλίας. τῷ ἀγαθῷ δὲ ἐναντίον ὁ κακὸς. τῷ καλῷ δὲ ὁ αἰσχρὸς καὶ ὁ δυσειδής. 619. Φίλον γὰρ ἐσθλὸν ἐκβαλεῖν] ἴσον γάρ ἐστι κακὸν, ἀπωθήσασθαι φίλον, καὶ τὸν ἑαυτοῦ βίον.

ΣΧΟΛ. ΤΡΙΚΛ. 611. Πυθώδ' ἰὼν] ἡ σύνταξις, καὶ τοῦτο μὲν ἰὼν καὶ ἐλθὼν Πυθώδε καὶ εἰς τὴν Πυθίαν, πεύθου καὶ μάνθανε τὰ χρησθέντα καὶ τὰ μαντευθέντα σοὶ, ἔλεγχον καὶ δοκιμασίαν τῶνδε, εἰ σαφῶς καὶ ἀληθῶς ἤγγειλά σοι ταῦθ' ἃ ἔφην σοι. οὕτω καὶ τὸ ἔλεγχον λέγε. καὶ μὴ λάβῃς ἔξωθεν τὸ εἰς, ἀλλ' ὥσπερ φαμὲν, μανθάνω τὸν διδάσκαλον περὶ ἐμὲ εὔνουν, οὕτω καὶ τοῦτο, μανθάνω τὰ χρησθέντα ἔλεγχον τῶνδε. 613. Τῷ τερασκόπῳ] ἤγουν, ἐὰν εὕρῃς με κοινῇ τι βουλευσάμενον περὶ σοῦ Τειρεσίᾳ τῷ τερασκόπῳ καὶ τῷ τὰ τέρατα καὶ σημεῖα τῆς μαντείας σκοποῦντι καὶ σαφηνίζοντι, κόλασόν με. 615. Τῇ τ' ἐμῇ καὶ σῇ.] τοῦτο λέγει, καὶ τῇ ἐμοὶ προσηκούσῃ, (ἤγουν ἣν ἄξιός εἰμι παθεῖν, κακὸς φανεὶς)

Digitized by Google

Neque cum alio sic agente *versari* sustinerem.
Et horum illud argumentum *habe*, Delphos profectus
Exquire, responsa si rectè hæc renunciaverim tibi.
Et si me cum vate deprehenderis
Consilii quid communicâsse, ne me unius occidas
Calculo, sed gemino, meoque et tuo convictum.
Sed propter incertam suspicionem ne me privatim crimineris.
Non enim justum est neque malos temerè
Bonos judicare, neque bonos malos.
Amicum enim fidum ejicere, idem *esse* puto
Ac si suam *quis* ejiciat vitam, quam maxime diligit.
At cum tempore scies hæc certò: quoniam
Tempus bonum virum ostendit solum,
Malum verò vel unâ die cognoveris.

νὶς) καὶ τῇ σοὶ προσηκούσῃ, ἤγουν ἣν ἄξιον βασιλέα ποιεῖσθαι καλὰ τῶν ἐπιβεβουλευκότων αὐτῷ. ἢ, ἐὰν καὶ ἐγὼ κατ' ἐμοῦ, καὶ αὐτὸς ψηφίσαιο κατ' ἐμοῦ.

¶ Σχόλ. Τρικλ. 617. Οὐ γὰρ δίκ.] γνωμικόν. 619. Φίλον γὰρ] γνωμικόν. 622. Χρόνος δίκαιον ἄνδ.] γνωμικόν.

SCHOL. INED. 612. Ἐρώτα εἰ σαφῶς ἤγγειλά σοι τὸν δοθέντα χρησμόν. 613. Τερασκόπος· ὁ τῶν τεράτων ἑρμηνεύς. 614. ἤγουν κοινωνήσαντα βουλῆς τῷ μάντει. Κοινῇ τῷ τερατοσκόπῳ ἤγουν σὺν τῷ τερατοσκόπῳ. τερατοσκόπος, ὁ τῶν τεράτων ἑρμηνεύς. ἐνταῦθα δὲ τερατοσκόπῳ, ἁπλῶς ἀντὶ τοῦ μάντει. 616. Ἐπὶ λογισμῷ ἀμφιβολίαν ἔχοντι. 617. Οὔτε τοὺς κακοὺς, χρηστούς. ἀντὶ τοῦ ἀγαθούς. τῷ χρηστῷ γὰρ κυρίως, ἐναντίον ὁ φαῦλος. ἔστι δὲ χρηστὸς οὗ ἡ ὁμιλία ὠφέλειαν ἐμποιεῖ. φαῦλος δὲ, οὗ ὁ βίος ἄτακτος καὶ ἀκόλαστος. ὡς καὶ ἄλλους βλάπτεσθαι ἀπὸ τῆς αὐτοῦ ὁμιλίας. τῷ ἀγαθῷ δὲ ἐναντίον ὁ κακός. τῷ καλῷ δὲ, ὁ αἰσχρὸς ἤγουν ὁ δυσειδής. Σοὶ τῷ Οἰδίποδι εὐλαβουμένῳ πιστεῦσαι καὶ ἐπιβουλευθήσεσθαι παρ' αὐτοῦ καλῶς ἔλεξεν ὁ Κρέων. ὅτι ἐν χρόνῳ τάδε γνώσῃ ἀσφαλῶς ὁποῖος εἰμὶ περὶ σέ. ὁ γὰρ ταχὺ βουλευόμενος, μὴ βασανίζων τὴν γνώμην σφάλλεται· πρὸς ὃ ὁ Οἰδίπους φησὶ, ὅτι πρὸς τὰς ταχείας ἐπιβουλείας δεῖ ταχεῖαν εἶναι τὴν ἄμυναν.



Digitized by Google

Χο. Καλῶς ἔλεξεν εὐλαβουμένῳ πεσεῖν,
Ἄναξ. φρονεῖν γὰρ οἱ ταχεῖς, οὐκ ἀσφαλεῖς.
Οἰ. Ὅταν ταχύς τις οὑπιβουλεύων λάθρα
Χωρῇ, ταχὺν δεῖ κἀμὲ βουλεύειν πάλιν.
Εἰ δ' ἡσυχάζων προσμενῶ, τὰ τοῦδε μὲν
Πεπραγμέν' ἔσται, τἀμὰ δ' ἡμαρτημένα.—
Κρ. Τί δῆτα χρήζεις. ἤ με γῆς ἔξω βαλεῖν;
Οἰ. Ἥκιστα· θνήσκειν, οὐ φυγεῖν σε βούλομαι.
Κρ. Ὅταν προδείξῃς οἷόν ἐστι τὸ φθονεῖν.
Οἰ. Ὡς οὐχ ὑπείξων, οὐδ' ἐπιστεύσων, λέγεις;
Κρ. Οὐ γὰρ φρονοῦντά σ' εὖ βλέπω.
Οἰ. Τὸ γοῦν ἐμόν.
Κρ. Ἀλλ' ἐξ ἴσου δεῖ κἀμόν.
Οἰ. Ἀλλ' ἔφυς κακός.

624. Καλῶς ἔλεξεν] σοὶ εὐλαβουμένῳ πεσεῖν καὶ ἐπιβουλευθήσεσθαι παρ' αὐτοῦ, καλῶς ἔλεξεν ὁ Κρέων ὅτι ἐν χρόνῳ γνώσῃ τάδ' ἀσφαλῶς, ὁποῖός εἰμι περὶ σέ. ὁ γὰρ ταχὺ βουλευόμενος, καὶ μὴ πολλάκις βασανίζων τὴν γνώμην, σφάλλεται. πρὸς ὃ ὁ Οἰδίπους φησὶν, ὅτι πρὸς τὰς ταχείας ἐπιβουλὰς δεῖ ταχεῖαν καὶ τὴν ἄμυναν εἶναι. 628 Τὰ τοῦδε μὲν] τὰ τοῦ Κρέοντος τοῦ ἐμοὶ ἐπιβουλευσαμένου. 629. Τἀμὰ δ' ἡμαρτημένα.] ἡ ἄμυνα. 633. Ὡς οὐχ ὑπείξων,] οὕτως λέγεις ὡς μὴ πεισθησόμενός μοι, ἀλλ' ἀντιλέξων τῇ κελεύσει. 635. Τὸ γοῦν ἐμόν.] ὅσον ἧκεν εἰς ἐμὲ, καλῶς βουλεύομαι. ἢ οὕτως, τὸ γοῦν ἐμαυτῷ σύμφορον ποιῶ. πρὸς ὅ φησιν ὁ Κρέων, ὅτι καὶ τὸ ἐμὸν συμφέρον δεῖ σε σκοπεῖν, ὅτι οὐ δεῖ με ἀκαίρως ὑπονοεῖσθαι.

ΣΧΟΛ. ΤΡΙΚΛ. 624. Εὐλαβουμένῳ πεσεῖν] ἤγουν, φοβουμένῳ σοι πεσεῖν τῆς ἀρχῆς καλῶς ἔλεξε Κρέων, ὡς οὐκ ἐκ τοῦ εὐθέος δίκαιον καταψηφίζεσθαι οὓς ἂν κατὰ σοῦ ὑπονοήσῃς, ἀλλὰ πρῶτον ἐξετάζειν παντὶ τρόπῳ περὶ αὐτῶν, καὶ καταδίκους αὐτοὺς εὑρόντα, τότε κολάζειν. οἱ γὰρ ταχεῖς φρονεῖν (ἤγουν οἱ ταχέως καὶ μὴ μετὰ σκέψεως ποιοῦντές τι) οὐκ ἀσφαλεῖς, ἀλλ' ἀβέβαιοι, καὶ πρὸς κίνδυνον ἔσθ' ὅτε πίπτουσιν. ἰστέον δ' ὅτι ἢ μερικὸν τὸ εὐλαβουμένῳ νοεῖ διὰ τὸν Οἰδίποδα, ἢ καθόλου διὰ πάντα φοβούμενον. 630. Ἢ με γῆς ἔξω βαλεῖν] τὸ ἢ, εἰ μὲν καθ'

ὑπο-

Digitized by Google

*Ch.* Rectè dixit caventi ne ruas,
O rex; consilia qui ineunt subita, non sunt tuti.
*Oe.* Ubi quis celer est insidias struere clàm,
Et me celeritèr consilium capere oportet.
At si quietus manebo, ille sua quidem
Confecerit, mea autem erunt frustranea.
*Cr.* Quid igitur postulas, an me ex terra pellere?
*Oe.* Minimè, mori, non exulare te volo.
*Cr.* Si dixeris priùs quale sit invidere.
*Oe.* Ut non cessurus mihi, neque crediturus dicis.
*Cr.* Video enim te non bene sapere.
*Oe.* Certè in rem meam.
*Cr.* At æqualiter *te* decet in meam *sapere.*
*Oe.* At malus es.

ὑποστιγμὴν ἐρεῖς τὸ ἑξῆς, ἀντὶ τοῦ ὄντως ἄρα νοήσεις· εἰ δὲ κατὰ ἀποφαντικὴν ἐρώτησιν τὸ ἑξῆς εἴποις, ἀντὶ τοῦ διαζευκτικοῦ συνδέσμου νοήσεις, στίζων καὶ ἐν ἀμφοτέροις εἰς τὸ χρήζεις. ἰστέον δ' ὅτι ποτὲ μὲν καθ' ὑποστιγμὴν τὴν ἐρώτησιν ποιούμεθα, ὡς τὸ, Οὐ σῖγ' ἀνέξῃ, μηδὲ δειλίαν ἀρεῖς; καὶ τὸ, Μεμηνότ' ἄνδρα περιφανῶς ὀκνεῖς ἰδεῖν; πολλὲ δὲ κατ' ἀπόφασιν, ὡς τὸ, Πρὶν ἄν τι δράσῃς, ἢ τι κερδάνῃς πλέον;

¶ Σχήμ. Τρικλ. 625. Φρονῶν γάρ οἱ] γνωμικόν. 632. Οἷόν ἐστι τὸ φθο.] γνωμικόν.

SCHOL. INED. 626. Ταχύς τις εἰ, καὶ ἐπιῤῥήματος ἔχει σημασίαν ἐνταῦθα τὸ ταχὺς, ἐπεὶ μέντοι ἔχει προφορὰν ὀνόματος, καὶ τὸ τὶς οἰκείως ἔχει μεθ' ἑαυτοῦ. 629. Ἡ ἐμὴ δὲ ἐσφαλμένη· ἐπταισμένη. Ἀντὶ τοῦ ἐκβαλεῖν ἀπώσασθαι ἐξόριστον ποιῆσαι. 632. Ὅταν ἀποδείξῃς ὃ λέγεις δηλονότι τότε τεθνήξομαι. εἶτα ἐπάγει σχετλιάζων οἷόν ἐστι τὸ φρονεῖν. 635. Ὅσον ἥκει εἰς ἐμὲ καλῶς βουλεύομαι, ἢ οὕτως, τὸ γοῦν ἐμαυτοῦ συμφέρον ποιῶ· πρὸς ὃ φησιν ὁ Κρέων, ὅτι καὶ τὸ ἐμὸν συμφέρον δεῖ σε σκοπεῖν, ὦ Οἰδίπου, ὅτι οὐ δεῖ με ἀκαίρως ὑπονοεῖσθαι.





Digitized by Google

Κρ. Εἰ δ᾽ ξυνίης μηδέν;
Οἰ. Ἀρκτέον γ᾽ ὅμως.
Κρ. Οὔτοι κακῶς γ᾽ ἄρχοντος.
Οἰ. Ὦ πόλις, πόλις.
Κρ. Κἀμοὶ πόλεως μέτεστι τῆσδ᾽, οὐ σοὶ μόνῳ.
Χο. Παύσασθ᾽ ἄνακτες· καιρίαν δ᾽ ἡμῖν ὁρῶ
Τήνδ᾽ ἐκ δόμων στείχουσαν Ἰοκάστην, μεθ᾽ ἧς
Τὸ νῦν παρεστὼς νεῖκος εὖ θέσθαι χρεών.—
Ιο. Τί τὴν ἄβουλον, ὦ ταλαίπωροι, στάσιν
Γλώσσης ἐπήρατ᾽, οὐδ᾽ ἐπαισχύνεσθε γῆς
Οὕτω νοσούσης, ἴδια κινοῦντες κακά;
Οὐκ εἶ σύ τ᾽ εἰς οἴκους, σύ τε Κρέων στέγας,
Καὶ μὴ τὸ μηδὲν ἄλγος εἰς μέγ᾽ οἴσετε;
Κρ. Ὅμαιμε, δεινά μ᾽ Οἰδίπους ὁ σὸς πόσις
Δρᾶσαι δικαιοῖ, δυοῖν ἀποκρίνας κακοῖν.
Ἢ γῆς ἀπῶσαι πατρίδος, ἢ κτεῖναι λαβών.
Οἰ. Ξύμφημι· δρῶντα γάρ νιν ὦ γύναι κακῶς
Εἴληφα τοὐμὸν σῶμα σὺν τέχνῃ κακῇ.
Κρ. Μὴ νῦν ὀναίμην, ἀλλ᾽ ἀραῖος, εἴ σέ τι
Δέδρακ᾽, ὀλοίμην, ὧν ἐπαιτιᾷ με δρᾶν.

638. Εἰ δὲ συνίεις μηδὲν] ὧν ὑπονοεῖς. 639. Ἀρκτέον γ᾽ ὅμως] ἀλλὰ χρὴ βασιλεύειν. 648. Ἴδια κινοῦντες κακὰ] φιλονεικοῦντες. 649. Οὐκ εἶ σύ τ᾽ οἴκους] ἀντὶ τοῦ οὐκ ἐλεύσῃ. καλῶς δὲ, οὐ πυνθάνεται τὴν αἰτίαν τῆς ἔριδος, ἐκ παντὸς ἀπαλλαγῆναι αὐτοὺς βουλομένη, ἅμα δὲ καὶ ἵνα μὴ διλογία ᾖ. 652. Δυοῖν ἀποκρίνας] ἐκ τῶν δύο ποιήσας. 656. Μὴ νῦν ὀναίμην τοῦ βίου δηλονότι.

ΣΧΟΛ. ΤΡΙΚΛ. 638. Εἰ δὲ ξυνίης μηδὲν] ἤγουν, ἐγὼ μὲν οὐ κακός εἰμι· εἰ δὲ ξυνίης μηδὲν, ἤγουν ψευδῶς τοῦτο νοεῖς. τί λοιπόν; πρὸς ὃ Οἰδίπους ἀποκρίνεται, ἀρκτέον γ᾽ ὅμως καὶ εἰ οὕτως ἔχεις. τοῦτ᾽ ἔστι, καὶ εἰ οὕτως ἔχεις, ὅμως ἀρκτέον καὶ κυριευτέον ἐμοί σου. πρὸς ὃ πάλιν ὁ Κρέων, οὔτι κακῶς ἄρξεις, ἐμοῦ ἄρχοντος, ὥσπερ καὶ σύ. ὅπερ ἀπειθὲς

Digitized by Google

*Cr.* Quid si rem nihil intelligas?
*Oe.* Imperandum est tamen.
*Cr.* Non regis est *ut imperet* malè.
*Oe.* O civitas, civitas. [solum:
*Cr.* Ad me quoque civitas hæc pertinet, non ad te
*Ch.* Desinite, reges. In tempore enim nobis video
Ex ædibus egredientem Jocasten, cujus operâ
Præsentem contentionem componi æquum est.
*Jo.* Quid hunc, O miseri, temerè tumultum
Rixando excitastis, neque erubescitis, terrâ
Tam graviter laborante, privata movere mala?
Non tu abis domum? tuque, Creon, tuas ad ædes?
Nolitequé ex nihili dolore maximum producere.
*Cr.* Soror, atrocia mihi Oedipus tuus maritus
Facere parat, ad alterutrum damnans malum,
Ut aut e patria ejiciat, aut captum interficiat.
*Oe.* Fateor, O uxor, molientem enim eum mala
In meam vitam deprendi, *idque* arte malâ.
*Cr.* Ne *vitâ* jam fruar, sed execratus inteream, si tibi
Quid feci ex iis quæ me facere objicis.

πόλιν ἀπειθὲς δοκῶν εἰς θυμὸν ἐξάγει Οἰδίποδα. 642. Κἀμοὶ πόλεως] τοῦτο διπλῶς νοητέον, ἢ καὶ ἐμοὶ μέτεστι τῆς πόλεως, ἤγουν τοῦ βοᾷν ὦ πόλις πόλις, ὥσπερ σοί. ἢ, κἀμοὶ μέτεστι τῆς πόλεως, ἀντὶ τοῦ, οὐ τῶν ἰδιωτῶν εἷς εἰμι, ἀλλὰ τῶν τὰ μεγάλα δυναμένων· ὥστ' οὐχ ἧττον ἐμοὶ ἢ σοὶ ὑπακούειν. 653. Γῆς ἀπῶσαι] ψεύδεται Κρέων ἐνταῦθα· Οἰδίπους γὰρ ἂν εἶπεν ἀποκτεῖναι αὐτὸν, καὶ οὐκ ἐξελάσαι τῆς χώρας.

SCHOL. INED. 638. Ἐι δὲ μηδὲν γινώσκεις, ἀλλὰ πλανᾷ· τὸ μηδὲν οὐ εἶναι. εἰ δὲ ξυνίης οὐ καὶ οὐδαμῶς ὅτι εἰμὶ κακός. 643. Καιρίαν ὡς, ἐπίῤῥημα· καταστῆσαι πρέπον τὸ ἀ στέρησιν ἐνταῦθα. 645: Ἡ κατὰ ἐνίοτε καὶ κίνησιν. 652. Κρίνας; ἀπὸ τῶν δύο κακῶν ἕν.

Ιο. Ὦ πρὸς θεῶν, πίστευσον, Οἰδίπους, τάδε,
Μάλιστα μὲν τόνδ' ὅρκον αἰδεσθεὶς θεῶν,
Ἔπειτα, κἀμὲ, τούσδέ θ' οἳ πάρεισί σοι. —

Χο. Πιθοῦ θελήσας φρονήσας
Τ' ἄναξ, λίσσομαι.
Οἰ. Τί σοι θέλεις δῆτ' εἰκάθω;
Χο. Τὸν οὔτε πρὶν νήπιον,
Νῦν τ' ἐν ὅρκῳ μέγαν,
Καταίδεσαι.—

Οἰ. Οἶσθ' οὖν ἃ χρήζεις;
Χο. Οἶδα.
Οἰ. Φράζε δὴ τί φής.
Χο. Τὸν ἐναγῆ φίλον μήποτ' ἐν αἰτίᾳ
Σύνγ' ἀφανεῖ λόγῳ ἄτιμον βαλεῖν.
Οἰ. Εὖ νῦν ἐπίσω, ταῦθ' ὅταν ζητῇς, ἐμοὶ
Ζητῶν ὄλεθρον ἢ φυγὴν ἐκ τῆσδε γῆς.

660. Τούσδέ θ' οἳ] τοὺς τοῦ χοροῦ. 661. Πιθοῦ θελήσας φρονήσας τ' ἄναξ] ὅτι, μὴ τῇ ὀργῇ εἴκων, ἀλλὰ τὰ δέοντα διασκεψάμενος· καλῶς τὸ θελήσας. πολλάκις γὰρ ἐπὶ ταῖς ὀργαῖς μεταγνῶναί τις ὀφείλων, αἰδούμενος ἐμμένει τοῖς ἁμαρτήμασι. 664. Τὸν οὔποτε πρὶν νήπιον] ἢ, τὸν ἐν τῷ πρὶν χρόνῳ, ἢ τὸν ἐν τῷ εἰρημένῳ λόγῳ· (ἀπελογήσατο γὰρ) νῦν δὲ μεγάλην πίστιν ἐπαγόμενον ἀπὸ τοῦ ὅρκου, αἰδέσθητι. 670. Τὸν ἐναγῆ φίλον] γράφεται φίλον ἐναγῆ. ἐναγὲς δὲ, τὸ σεβάσμιον καὶ ἁγνόν. ἄγος γὰρ τὸ ἱερὸν σέβας. ὅθεν καὶ τὸ, ἄγη μ' ἔχει. καὶ, ὥς σε γύναι ἄγαμαι. κατ' εὐφημισμὸν δὲ καὶ τὰ μιάσματα ἄγη λέγεται, καὶ οἱ μιαροὶ ἐναγεῖς καλοῦνται. ὁ δὲ νοῦς, τὸν μηδέποτε ὑπὸ φίλων ἐν ἀφανεῖ αἰτίᾳ γενόμενον, ἀλλὰ καθαρὸν ὄντα, δεόμεθα μὴ λόγον ἄτιμον ἐκβαλεῖν, ἀλλὰ προσδέξασθαι αὐτοῦ τὴν ἀπολογίαν. ἡ ἐναγῆ,

τὸν

Digitized by Google

*Jo.* O per deos crede iſta, Oedipus,
Maximè quidem hoc jusjurandum reveritus deorum,
Et me quoque eoſque porrò qui adſunt tibi.

## Pericommata. Strophe I.

*Ch.* Obtempera volens ſapienſque,
O rex, obſecro.
*Oe.* Quid vis tibi ut cedam?
*Ch.* Hunc neque olim ſtultum,
Nunc autem juramenti fide obſtrictum
Reverere.

## Systema I.

*Oe.* Noſti igitur quid petis?
*Ch.* Novi.
*Oe.* Dic igitur quæ velis.
*Ch.* Venerandum amicum neutiquam ut ob cauſam
Obſcurumque rumorem cum ignominiâ ejicias.
*Oe.* Hoc jam ſcito, quando hæc petis, mihi
Quod petas interitum, vel fugam ex hâc terrâ.

τὸν ἐνεχόμενον μίσει. οὕτως, δεόμεθα τῦ μηδέποτε ἐναγῦς γενομένυ εἰς φίλους, μὴ ἐν ἀφανεῖ αἰτίᾳ ἄτιμον ποιήσῃς τὸν λόγον. ἢ τὸν ἐναγῆ, τὸν σοὶ νομιζόμενον ἐναγῆ. 672. Εὖ νῦν ἐπίςω] γίγνωσκε ὅτι τύτῳ συνηγορῶν ἐμὲ ἀδικεῖς. ὐδὲν γὰρ ἄλλο ἢ ὄλεθρόν μοι ἐπάγεις, εἰ παρόψομαι τὸν ἐπιβεβουλευκότα.

ΣΧΟΛ. ΤΡΙΚΛ. 659. Τὸν δ᾽ ὅρκον] ἤγυν ὃν αὐτὸς ὤμοσε· λέγει δὲ τῦτο, διότι πρόσθεν εἶπε τὸ, μὴ νῦν ὀναίμην, καὶ τὸ ἀραῖος ὀλοίμην.

SCHOL. INED. 657. Ὠφελείας ἀπολαύσαιμι· μέσος. ὀλόμην, καὶ τὸ εὐκτικὸν παθητικὸν, ὀλοίμην. 660. Οἱ παρόντες εἰσί σοι. 670. Μήποτε ἐκβαλεῖν, ἤγυν μὴ θελήσῃς ἀπώσασθαι.

Χο. Οὐ τὸν πάντων θεῶν
Θεὸν πρόμον ἅλιον.
Ἐπεὶ ἄθεος, ἄφιλος,
Ὅ, τι πύματον ὀλοίμαν,
Φρόνησιν εἰ τάνδ' ἔχω·
Ἀλλά μοι δυσμόρῳ
Γᾶ φθίνουσα τρύχει
Ψυχὰν καὶ τάδ' εἰ κακοῖς
Κακὰ προσάψει
Τοῖς πάλαι τὰ πρὸς σφῷν.

Οἰ. Ὁ δ' οὖν ἴτω, κεἰ χρή με παντελῶς θανεῖν,
Ἢ γῆς ἄτιμον τῆσδ' ἀπωσθῆναι βίᾳ.
Τὸ γὰρ σὸν οὐ τὸ τοῦδ' ἐποικτείρω στόμα
Ἐλεεινόν. οὗτος δ' ἔνθ' ἂν ᾖ, στυγήσεται.

674. Οὐ τῶν πάντων θεῶν] ἐπὶ ὅρκον καταπέφευγεν, ἐξ οὗ μάλιστα ἐδόκει πεῖσαι τὸν βασιλέα. ἥλιον δὲ ὄμνυσιν ὅτι πάντα ἑωρακὼς αὐτὸς συνῄδει τὸ πᾶν. 677. Ὅ,τι πύματον ὀλοίμαν] ἀντὶ τοῦ ἔσχατος ἀπολοίμην. 684. Ὁ δ' οὖν ἴτω] τὸ φιλόκοινον αὐτοῦ κἀνταῦθα δείκνυσιν, ὡς οὐ δι' ἑαυτὸν παρακεχωρηκότος, ἀλλὰ διὰ τὴν πόλιν, κἂν δέῃ αὐτὸν πεισθέντα κινδυνεῦσαι.

ΣΧΟΛ. ΤΡΙΚΛ. 674. Οὐ τῶν πάντων θεῶν] πάντων θεῶν πρόμαχον λέγει τὸν ἥλιον, ὥσπερ ἐόντα τὸν οὐρανὸν ἔνθ' οὗτοί εἰσι, καὶ ὥσπερ φύλακος τάξιν ἔχοντα. εἰ δὲ τὸ πρῶτον τὸ θεὸν μικρογραφήσεις, ὥσπερ τὸ δεύτερον, ἐκ παραλλήλου εἴποις· καὶ τὸ πάντων, ἀντὶ τοῦ ἀνθρώπων νοήσεις. ὀμνύει δὲ ὁ χορὸς τὸν ἥλιον. ὡς ἔφορον πάντων τῶν ἀνθρωπίνων καὶ τῶν κρυπτῶν γνώστην καὶ ἐκφάντορα. 676. Ἄθεος, ἄφιλος] ἤγουν, πρότερον ὑπὸ τῶν θεῶν τιμωρηθεὶς, καὶ ὑπὸ τῶν φίλων μισηθεὶς λίαν. τοῦτο γάρ ἐστι τὸ ὅτι ὕστερον ἀπολοίμην. ἢ τὸ ἄθεος, ἄφιλος, ἀντὶ τοῦ

ἀσεβὴς

Digitized by Google

### Strophe II.

*Ch.* Non per omnium deorum
Deum principem Solem, *id volo.*
Sed deo et amicis deſtitutus
Miſerrimè peream,
Si ea ſit mihi mens.
At mihi infelici
Patria calamitoſa excruciat
Animum, quódque hæc veſtra mala
Malis adjunget prioribus.

### Systema II.

*Oe.* Ille igitur abeat, etſi me oportet omninò perire,
Aut cum ignominiâ ex hâc terrâ ejici.
Tui enim, non hujus, miſeret me loquentis
Miſerabiliter: Ille verò, ubicunque fuerit, odio habebitur.

ἀσεβὴς κὴ μὴ περὶ τὺς φίλυς εὐγνώμων. 683. Τὰ πρὸς] τὰ παρ' ὑμῶν. ἤγυν, ἵνα μὴ κορυφωθείη ἡ τῆς πόλεως δυςυχία τὰ ὑμέτερα προσλαβοῦσα κακὰ, προνοούμενος ἐγὼ τὴν ἱκετείαν ταύτην, ἀνήνεγκά σοι. γράφειν δὲ χρὴ, κακὰ προσψαύσει, ἵν' εἴη τὸ κῶλον ὅμοιον τῷ τῆς ἀντιςροφῆς.

SCHOL. INED. 677. Φθαρείην ὅπερ ἔσχατον. ἤγυν ἀπώλειαν ἥτις ἐσχάτη, τυτέςι φθαρείην ἐσχάτην ἀπώλειαν· Ἀλλά μυ τῦ δυςυχῦς λυπεῖ τὴν ψυχὴν ἡ γῆ φθειρομένη. κὴ τάδε λυπεῖ δηλονότι τὴν ψυχήν μυ. λέγω εἰ τοῖς κακοῖς τοῖς πάλαι ἤγυν εἰ ταῖς προτέραις δυςυχίαις συναφθήσεται τὰ παρ' ὑμῶν κακὰ ἤγυν αἱ παρ' ὑμῶν δυςυχίαι· ἀπιλθέτω, ἔςω ἐλεύθερος, ἀπολελύσθω. 686. Τὸ γὰρ σὸν ἐλεεινὸν ςόμα. ἀντὶ τῦ τὺς γὰρ ἐλέυς ἀξίυς σὺς λόγους οἰκτείρω, ὐ τὺς τῦδε λόγυς δηλονότι. τὸ μὲν λόγυς συνυπακέεται ἀπὸ κοινῦ, ὐ μὴν κὴ τὸ ἐλεεινὺς· Στυγηθήσεται ἐμοὶ, μισηθήσεται.

688. Στυγ-

Κρ. Στυγνὸς μὲν εἴκων, δῆλος εἶ· βαρὺς δ', ὅταν
Θυμοῦ περάσῃς. αἱ δὲ τοιαῦται φύσεις
Αὑταῖς δικαίως εἰσὶν ἄλγισαι φέρειν.
Οἰ. Οὔκουν μ' ἐάσεις, κἀκτὸς εἶ;
Κρ. Πορεύσομαι,
Σοῦ μὲν τυχὼν ἀγνῶτος, ἐν δὲ τοῖσδ', ἴσος.

Χο. Γύναι, τί μέλλεις κομίζειν
Δόμων τόνδ' ἔσω;
Ἰο. Μαθοῦσά γ' ἥτις ἡ τύχη.
Χο. Δόκησις ἀγνὼς λόγων
Ἦλθε, δάπτει δὲ καὶ
Τὸ μὴ 'νδικον.

Ἰο. Ἀμφοῖν ἀπ' αὐτοῖν;

688. Στυγνὸς μὲν εἴκων] δῆλος εἶ ἀηδῶς εἴκων· ὅταν δὲ ἐπὶ τὸ πέρας ἔλθῃς τῆς ὀργῆς, τότε βαρέως οἴσεις τὸ πρᾶγμα. οἷον μετανοήσεις, καὶ ἄδικα ἐνθυμηθήσῃ. ἔτι δὲ ἐμμένει ὁ Κρέων τῇ αὐτῇ παῤῥησίᾳ, ἐπιστάμενος ὡς οὐδὲν ἐσκαιώρησεν. 693. Σοῦ μὲν τυχὼν ἀγνῶτος] σοῦ μὲν μὴ ἐπισταμένου τὴν ἐμὴν προαίρεσιν, οἷον ἠγνοηκότος με. παρὰ δὲ τούτοις τῆς ὁμοίας δόξης ἣν καὶ πρώην εἶχον περὶ ἐμέ. 694. Γύναι, τί μέλλεις] ὡς καλέγνωκεν ὁ χορὸς τοῦ Οἰδίποδος, παρακελεύεται τῇ γυναικὶ εἰσάγειν αὐτόν. 696. Μαθοῦσά γ' ἥτις ἡ τύχη.] πιθανῶς, μετὰ τὸ διηλλάχθαι αὐτοὺς, ἐπιζητεῖ τὴν αἰτίαν· ἅμα δὲ καὶ ἵνα ἀρχὴ γένηται τοῦ ἀναγνωρισμοῦ. 697. Δόκησις ἀγνὼς λόγων] ὁ χορὸς ὑπὲρ ἀμφοτέρων ἀπολογεῖται· ὑπὲρ μὲν τοῦ Κρέοντος, ὅτι ἐπ' ἀδήλοις ἐγκέκληται· ὑπὲρ δὲ τοῦ Οἰδίποδος, ὅτι εἰκότως ὠργίσθη ἐπὶ τοιούτοις διαβληθείς. 700. Ἀμφοῖν ἀπ' αὐτοῖν;] οἷον, ἀμφότεροι τῆς διαφορᾶς αἴτιοί εἰσιν.

ΣΧΟΛ. ΤΡΙΚΛ. 688. Στυγνὸς μὲν] ἤγουν σκυθρωπός τις τυγχάνεις, εἴκων καὶ ὑποτασσόμενός τινι, ὅταν δεήσηταί σου ἣν ἔχεις ὀργὴν παῦσαι. 689. Αἱ δὲ τοιαῦται φύσεις] ἤγουν, ὁ ἔχων ἄνθρωπος, αὐτὸς ἑαυτὸν μισεῖ, καὶ οὐ δύναται φέρειν, ὅτι τοιοῦτός ἐστι. τὸ δὲ δικαίως εἶπε, διότι δίκαιόν ἐστι τοὺς κακοὺς μὴ μόνον ὑπὸ τῶν ἄλλων, ἀλλὰ καὶ ὑφ'

*Cr.* Durus apertè es, etiam dum cedis; gravis autem
Cum iram expleveris: talia enim ingenia [tibi,
Sibi ipsis jure sunt molestissima toleratu.

*Oe.* Non igitur dimittes me, et foràs abis?

*Cr.* Ibo

Futurus forsan ignotus tibi,
Inter hos autem idem, qui anteà.

ANTISTROPHE I.

*Ch.* Mulier, quid moraris *eum* abducere
Intra has ædes?

*Jo.* Priùs si novero, quæ causa litis, *abducam.*

*Ch.* Suspicio incerta sermonum
Venit, *animosque* mordet
Iniqua *criminatio.*

ANTISYSTEMA I.

*Jo.* Ipsisne ab ambobus?

ὑφ' ἑαυτῶν μισεῖσθαι. 693. Σὺ μὲν τυχὼν ἀγνῶτος,] ἤγουν ἀναισθήτου τῶν ἐμῶν, καὶ ἕτερον ἢ προσῆκεν ὑπολαμβάνοντος· ἰστέον δ' ὅτι τὸ ἀγνὼς καὶ ἀντὶ τοῦ μὴ γινωσκόμενος εὕρηται, καὶ ἀντὶ τοῦ μὴ γινώσκων. 696. Μαθοῦσα] ἤγουν, ἐπειδὴ τὸ συμβεβηκὸς ἔγνων ὅπερ ἐστὶ, ποιήσω τοῦτο καὶ κομίσω δηλαδή. ἔγνων γὰρ τίς ἐστιν ἡ κατέχουσ' αὐτοὺς τύχη. ἤγουν ἡ μάχη. 697. Δόκησις ἀγνὼς λόγων ἦλθε] τοῦτο καὶ εἰς τὸν Οἰδίποδα καὶ εἰς τὸν Κρέοντα νόει· εἰς μὲν τὸν Οἰδίποδα, διὰ τὰς τοῦ Τειρεσίου ἐπ' αὐτῷ μαντείας, ἃς οὐκ ἀληθεῖς ὁ χορὸς ἐνόμιζεν· εἰς δὲ τὸν Κρέοντα, διὰ τὴν ἐξ Οἰδίποδος πρὸς αὐτὸν τοῦτον ψευδῆ ὑπόληψιν, ὡς ὑποβάλλοντα κατ' αὐτοῦ τὸν μάντιν τοιαῦτα λέγειν. τὸ δὲ, δάπτει δὲ τὸ μὴ 'νδικον, τοῦτο λέγει ὅτι οὐ μόνον ματαία ὑπόληψις αὐτοὺς λυπεῖ, ἀλλ' ὅτι καὶ ἄδικός ἐστιν.

SCHOL. INED. 688. Δύσκολος καὶ ἀγανάκτησιν ἔχων. λυπηρόταταί εἰσι δικαίως ἑαυταῖς εἰς τὸ φέρειν. 693. Ἀγνὼς, ὁ μὴ γινωσκόμενος. 696. Ὅ,τι ἐστὶ τὸ συμβεβηκὸς, ποιήσω τοῦτο δηλονότι, κομίσω. Ἄδηλος, μὴ γινωσκομένη. ἀγνὼς ὁ μὴ γινωσκόμενος. 700. Ἀπ' ἀμφοτέρων αὐτῶν ἐκινήθησαν οἱ λόγοι.

703. Ἅλις

Digitized by Google

Χο. Ναιχί.

Ἰο. Καὶ τίς ἦν λόγος;

Χο. Ἅλις ἔμοιγ' ἅλις γᾶς προπονȣμένας
Φαίνεται, ἔνθ' ἔληξεν, αὐτȣ̃ μένειν.

Οἰ. Ορᾷς ἵν' ἥκεις ἀγαθὸς ὢν γνώμην ἀνὴρ,
Τȣ̓μὸν παριεὶς καὶ καταμβλύνων κέαρ;

Χο. Ἄναξ, εἶπον μὲν ȣ̓-
χ' ἅπαξ μόνον, ἴσθι δὲ
Παραφρόνιμον, ἄπορον
Ἐπὶ φρόνιμα πεφάνθαι
Μ' ἂν, εἴ σε νοσφίζομαι,
Ὅς γ' ἐμὰν γᾶν φίλαν
Ἐν πόνοις ἀλύȣ-
σαν, κατ' ὀρθὸν ȣ̓́ρησας.
Τανῦν δ' εὔπομπος,

703. Ἅλις ἔμοιγ' ἅλις] αὐταρκές μοι φαίνεται στῆσαι τὸν λόγον ἔνθα ἔληξεν. ἀντὶ τȣ̃, ἱκανὰ λέλεκται, καὶ αὐταρκές ἐστιν ἀναπεπαῦσθαι τὰ τȣ̃ λόγȣ ἔνθα ἔληξεν ἡ στάσις. 705. Ὁρᾷς ἵν' ἥκεις ἀγαθὸς] τȣ̃τό φησιν ὁ Οἰδίπȣς ἀγανακτῶν· διὰ τί πρὸς ἕτερον ἀποφεύγεις, καίτοι ἀγαθὸς ὢν ἀνὴρ, καὶ ȣ̓χ ὁμολογεῖς τὰ λυπήσαντά με τῇ Ἰοκάστῃ· διὰ τί ȣ̓̃ν ȣ̓ συνοργίζῃ μοι, ἀλλὰ πραΰνεις με ὑπὲρ τȣ̃ Κρέοντος;] 707. Εἶπον μὲν ȣ̓χ ἅπαξ μόνον] πολλάκις (φησὶ) τὰ ἐπελθόντα κατὰ τὴν ἐμὴν διάνοιαν εἰπόν σοι· οἷα καὶ ἐν τοῖς ἀνωτέρω ὤμνυεν. 708. Ἴσθι δὲ παραφρόνιμον] ἴσθι πεφάνθαι με παραφρόνιμον, ἀντὶ τȣ̃ παράφρονα καὶ ἀνόητον, καὶ ἄπορον ἐπὶ τὰ φρόνιμα. δὶς δὲ τὸ αὐτὸ εἶπεν. ἀντὶ τȣ̃, μωρὸν κατὰ διάνοιαν καὶ ἄπορον. 711. Εἴ σε νοσφίζομαι] εἰ ἀλλότριόν σε καὶ ȣ̓κ οἰκεῖον νενόμικα. ἢ ȣ̃̔τως, εἴ σε ἀποκρύπτομαι, ἢ ἐκτρέπομαι, καὶ ȣ̓ συγγιγνομαί σοι. ἢ ȣ̃̔τως, εἰ βȣ́λομαί σε ἐκβαλεῖν τὸν τοσαῦτα ἡμᾶς εὐεργετήσαντα. 714. Κατ' ὀρθὸν ȣ̓́ρησας.] ἔστησας, ἔσωσας.

ΣΧΟΛ. ΤΡΙΚΛ. 703. Ἅλις ἔμοιγ' ἅλις] ἅλις καὶ αὐτάρκως φαίνεται ὁ λόγος ἐμοὶ μένειν αὐτȣ̃ καὶ ἐκεῖ ἔνθα καὶ ὅπȣ ἔληξε, προπονȣμένης

*Ch.* Imo.

*Jo.* Et quis erat ſermo?

*Ch.* Satis mihi quidem ſatis;. terrâ ſic laborante,
Videtur, ubi deſiit *contentio*, ibi deſinere.

*Oe.* Videſne quo veneris, vir alioqui non malus,
Meum negligens et obtundens animum?

## ANTISTROPHE II.

*Ch.* O rex, dixi quidem
Non ſemel antea; ſcito verò
Me inſanum, nec compotem
Animi viſum mihi fore,
Si te ſegregarem *et negligerem*,
Qui meam patriam charam
Laboribus oppreſſam
Servatam erexeris.
Et nunc generoſus dux,

νυμένης καὶ προπασχούσης ὑπὸ τοῦ λοιμοῦ τῆς γῆς. τοῦτ᾽ ἔστιν, ἐπειδήπερ ἡ γῆ δυστυχεῖ, πρὸς ἑαυτὴν ἕλκει τὸν νοῦν μου, καὶ οὐκ ἐᾷ ἀναξαίνειν τὰ τούτοις ξυμβάντα. ἀρκεῖ γὰρ ὅτι λεχθέντα πέπαυνται, καὶ οὐ δεῖ αὖθις λέγειν. 705. Ὁρᾷς ἵν᾽ ἥκεις] τοῦτο Οἰδίπους λέγει πρὸς τὸν χορὸν, ὅτι οὐκ ἐβούλετο διηγεῖσθαι Ἰοκάστῃ τὴν διαφοράν. δόξαν γὰρ ἐντεῦθεν παρίστη ὅτι καταγινώσκων Οἰδίποδος ὡς ἀδίκως ὀργισθέντος Κρέοντι, λέγειν οὐκ ἤθελεν.

SCHOL. INED. 703. Ἅλις ἔμοιγε ἅλις φαίνεται· ἤγουν ἀρκούντως ἔχειν τὸ πρᾶγμα φαίνεται ἐμοὶ, ἔνθα ἔληξεν ἤγουν ἐπαύσατο ἡ φιλονεικία αὐτοῦ, ἀντὶ τοῦ ἐκεῖ μένειν· τῆς γῆς προπονουμένης ἀντὶ τοῦ πονουμένης τουτέστι κακουμένης. Ἅλις αὐταρκές ἐμοὶ φαίνεται στῆσαι τὸν λόγον ἔνθα ἔληξεν· ἀντὶ τοῦ ἱκανὰ λελέχθαι καὶ αὐτάρκη εἶναι· ἀρκούντως ἔχειν φαίνεται τὸ πρᾶγμα. 708. Ἴσθι δὴ πεφάνθαι ἐμὲ ἤγουν δεδεῖχθαι παράφρονα· ἄπορον ἐπὶ τὰ φρόνιμα εἴ σε παραλογίζομαι ὅς τοι τὴν ἐμὴν φίλην γῆν ἐν πόνοις ἀμηχανοῦσαν κατ᾽ ὀρθὸν οὔρησας ἀντὶ τοῦ ἐσώσας. 715. Καὶ κατὰ τὰ παρόντα ἀγαθὸς ὁδηγός· κυβερνήτης εἰ δύναιο γενοῦ αὐτῆς δηλονότι, ἤγουν τῆς γῆς.



Digitized by Google

Εἰ δύναιο, γίνου.

Ιο. Πρὸς θεῶν, δίδαξον κἄμ', ἄναξ, ὅτου ποτὲ
Μῆνιν τοσήνδε πράγματος στήσας ἔχεις.
Οἰ. Ἐρῶ (σὲ γὰρ τῶνδ' ἐς πλέον, γύναι, σέβω)
Κρέοντος, οἷά μοι βεβουλευκὼς ἔχει.
Ιο. Λέγ', εἰ σαφῶς τὸ νεῖκος ἐγκαλῶν ἐρεῖς.
Οἰ. Φονέα με φησὶ Λαΐου καθεστάναι.
Ιο. Αὐτὸς ξυνειδὼς, ἢ μαθὼν ἄλλου πάρα;
Οἰ. Μάντιν μὲν οὖν κακοῦργον εἰσπέμψας. ἐπεὶ
Τόγ' εἰς ἑαυτὸν, πᾶν ἐλευθεροῖ στόμα.

Ιο. Σὺ νῦν ἀφεὶς σεαυτὸν, ὧν λέγεις πέρι,
Ἐμοῦ 'πάκουσον, καὶ μάθ' οὕνεκ' ἐστί σοι
Βρότειον οὐδὲν μαντικῆς ἔχον τέχνης.
Φανῶ δέ σοι σημεῖα τῶνδε σύντομα.
Χρησμὸς γὰρ ἦλθε Λαΐῳ πότ', (οὐκ ἐρῶ
Φοίβου γ' ἀπ' αὐτοῦ, τῶν δ' ὑπηρετῶν ἄπο)

721. Λέγ', εἰ σαφῶς] λέγε, εἰ σαφῆ ἐστιν ἃ μέλλεις ἐγκαλεῖν. καὶ ὡμολογημένα. 725. Τό γ' εἰς ἑαυτὸν,] ὅσον κατὰ τὸ εἰς ἑαυτὸν ἧκον μέρος. ἤγουν, κατὰ τὴν ἑαυτοῦ δύναμιν. 729. Φανῶ δέ σοι σημεῖα] εὖ τὸ ἅμα παρακαλοῦσαν ἐκτίθεσθαι τὰ εἰς τὴν ὑπόνοιαν αὐτὸν ἐμβαλοῦντα.

ΣΧΟΛ. ΤΡΙΚΛ. 717. Ὅτου ποτὲ] μὴ λάβῃς εἰς τὸ ὅτου ἔξωθεν τὸ ἕνεκα, ἀλλὰ πρὸς τὸ μῆνιν ἐστίν. 724. Μάντιν μὲν οὖν] τὸ μὲν οὖν, ἀντὶ τοῦ δέ. νοεῖται δὲ ἀπὸ τούτου, ὅτι οὐ λέγει αὐτὸς, εἰσπέμψας δέ. εἰ μὲν οὖν στίξεις εἰς τὸ τόγ' εἰς ἑαυτὸν, οὕτως ἐρεῖς. ἐπεὶ ἐλευθεροῖ πᾶν τὸ στόμα τούτου τοῦ λόγου τοῦ λέγειν, ὅτι ἐγὼ φονεύς εἰμι Λαΐου, τόγ' εἰς ἑαυτὸν, ἤγουν ὅσον τὸ καθ' αὐτόν. αὐτὸς γὰρ περὶ τούτου καθάπαξ σιγᾷ. εἰ δ' ὁμοῦ τὸ πᾶν ἐρεῖς στόμα πρὸς τὸ τόγ' εἰς ἑαυτὸν, ἔσται

Si potes, esto.

### ANTISYSTEMA II.

*Jo.* Per deos, dic mihi quoque, O rex, cujus rei gratiâ
Tantum furorem conceperis.
*Oe.* Dicam (nam te præ his magis, mulier, colo)
De Creonte, qualia in me machinatus est.
*Jo.* Dic, evidenti si causâ conquereris accusasque.
*Oe.* Peremtorem me esse dicit Laii.
*Jo.* An ipse suâ cognitione, an alieno indicio?
*Oe.* Vatem quidem maleficum subornando, nam
Quantum potest, omnium ille laxat ora.

### IAMBI.

*Jo.* *At* tu jam, omisso teipso quatenùs de te dicis,
Me exaudi, et disce neminem tibi esse
Mortalem, divinandi qui tenet artem:
Ostendam verò tibi indicia rei hujus brevia.
Oraculum enim advenit Laio olim (haud dicam
Apollinene ab ipso, an *ipsius* ministris)

ἔσται οὕτως, ἐπεὶ τό γ' εἰς ἑαυτὸν, ἤγουν τὸ οἰκεῖον πᾶν στόμα ἐλευθεροῖ καὶ ἀφίστησι τούτου τοῦ λόγου.

¶ Σχῆμ. Τρικλ. 717. Πρὸς θεῶν] ἄφιξις Ἰοκάστης μελλούσης διαλλάξαι Οἰδίποδα καὶ Κρέοντα. Πρὸς θεῶν, συνίζησις.

SCHOL. INED. 717. Οὗτινος ἕνεκα πράγματος μνησικακίαν τοσαύτην ἐστήριξας ἐν τῇ μνήμῃ δηλονότι ὥσπερ ἄγαλμα. 720. Καθαρῶς καὶ οὐ βοηθῶν σαυτῷ. Ἐρῶ ἕνεκα τοῦ Κρέοντος οἷά μοι ἐπιβεβούλευκε, σὲ γὰρ, ὦ γύναι, τιμῶ ἐπιπλέον τῶν ὧδε. 724. Ἀντὶ τοῦ, ὑποβαλὼν ὑποπέμψας, ὅσον κατὰ τὸ, εἰς ἑαυτὸν ἧκον μέρος, ὁ μάντις πάντα λόγον ἀκρατῶς λέγει, πᾶσαν κακουργίαν λόγων ἀκρατῶς κινεῖ. 726. Ἀπολύσας τοὺς σοὺς λογισμοὺς οὓς ἔχεις εἰς ἐκεῖνα δηλονότι περὶ ὧν λέγεις. Ὅτι οὐδὲν βρότειόν ἐστί σοι μαντικῆς ἐχόμενον τέχνης.

 736. Παι-

Digitized by Google

Ὡς αὐτὸν ἥξει μοῖρα πρὸς παιδὸς θανεῖν
Ὅστις γένοιτ' ἐμοῦ τε κἀκείνου πάρα.
Καὶ τὸν μὲν, ὥσπερ γ' ἡ φάτις, ξένοι ποτὲ
Λῃσταὶ φονεύουσ' ἐν τριπλαῖς ἁμαξιτοῖς·
Παιδὸς δὲ βλάστας, οὐ διέσχον ἡμέραι
Τρεῖς, καί νιν ἄρθρα κεῖνος ἐνζεύξας ποδοῖν,
Ἔρριψεν ἄλλων χερσὶν εἰς ἄβατον ὄρος.
Κἀνταῦθ' Ἀπόλλων οὔτ' ἐκεῖνον ἤνυσε
Φονέα γενέσθαι πατρὸς, οὔτε Λάϊον
Τὸ δεινὸν οὑφοβεῖτο πρὸς παιδὸς θανεῖν.
Τοιαῦτα φῆμαι μαντικαὶ διώρισαν.
Ὧν ἐντρέπου σὺ μηδέν. ὧν γὰρ ἂν θεὸς
Χρείαν ἐρευνᾷ, ῥᾳδίως αὐτὸς φανεῖ.—
Οἰ. Οἷόν μ' ἀκούσαντ' ἀρτίως ἔχει, γύναι,
Ψυχῆς πλάνημα, κἀνακίνησις φρενῶν;
Ἰο. Ποίας μερίμνης τοῦθ' ὑποστραφεὶς λέγεις;
Οἰ. Ἔδοξ' ἀκοῦσαι σοῦ τόδ', ὡς ὁ Λάϊος
Κατασφαγείη πρὸς τριπλαῖς ἁμαξιτοῖς.

736. Παιδὸς δὲ βλάστας,] καλῶς τὸν τόπον προσέθηκεν, ἵνα εἰς ὑπόμνησιν ἀγάγῃ τὸν Οἰδίποδα.

ΣΧΟΛ. ΤΡΙΧΛ. 739. Οὔτ' ἐκεῖνον ἤνυσε] ἀποῤῥητέον πῶς ἄνω μὴ τὰς περὶ τούτων μαντείας Ἀπόλλωνα θεσπίσαι φάσκουσα Ἰοκάστη, ἀλλὰ τοὺς ὑπηρέτας αὐτοῦ, νῦν φησὶν ἐνταῦθα, " Οὔτ' Ἀπόλλων ἤνυσε. καὶ φαμὲν ὅτι τοῦτο λέγει, οὐκ ἐναντιουμένη τῷ λόγῳ αὐτῆς, ἀλλὰ κατὰ τὴν τῶν ἄλλων ὑπόληψιν.

¶ Σχήμ. Τρικλ. 745. Οἷόν μ' ἀκούσ.] δυσφορεῖ Οἰδίπους ἀκούσας τὸ παρὰ τῆς Ἰοκάστης.

SCHOL. INED. 732. Ὅτι ἐλεύσεται μοῖρα θανεῖν αὐτὸν παρὰ παιδὸς, ὅστις ἂν γένοιτο παρ' ἐμοῦ τε καὶ παρ' ἐκείνου. 735. Ἐν συνάψει δύο ὁδῶν πλατειῶν ἁμαξηφόρων. 737. Καί νιν ἤγουν αὐτὸν
ἔῤῥιψεν

Digitized by Google

Illi in fatis esse, ut a filio periret
Qui nasceretur ex meque et illo simùl.
At illum quidèm *Laium*, ut fama est, peregrini
Latrones peremerunt in trivio : [jampridèm
Puero autem orto, non intercesserant dies
Tres, quin ipsum ille, articulis pedum ligatis,
Abjiciendum dederit aliorum manibus in avio
Et ibi Apollo neque effectum dedit, [monte.
Ut ille occisor fieret patris, neque ut Laius,
Id quod vehementèr metuebat, a filio caderet.
Hæc *tamen* oracula fatidica decreverunt,
Quorum tu nihil cura : Quæ enim deus
Opus esse censet scrutari, facilè ipse aperiet.
*Oe.* Qualis me jam *hæc* audientem tenet, mulier,
Animi fluctuatio, & perturbatio sensuum ?
*Jo.* Quâ curâ commotus istud dicis ?
*Oe.* Videor mihi me abs te hoc audiisse, quòd Laius
Peremptus sit, tres ubi coeunt viæ.

ἔῤῥιψεν ἐκεῖνος ἤγουν ὁ Λάϊος εἰς ἄβατον ὄρος χερσὶν ἄλλων, τὰ ἄρθρα τῶν ποδῶν τουτέστι τὰ σφυρὰ περόνῃ συνάψας. Παιδὸς βλάστας εἰπὼν ἀποδίδωσι καί νιν ἤγουν αὐτὸν πρὸς τὸ σημαινόμενον. τὸ γὰρ παιδὸς βλάστας τὸν γεννηθέντα παῖδα δηλοῖ. 739. Ἤνυσεν ἀπὸ κοινοῦ ἀντὶ τοῦ εἰ. τέλος ἔδειξεν ἀγαγόντα τὸ θανεῖν παρὰ τοῦ παιδός. λέγω τὸ δεινὸν, ἤγουν τὸ χαλεπὸν ὃ ἐφοβεῖτο. 744. Διαστέλλων λέγει φῆμαι μαντικαί· ἐπεὶ λέγεται φήμη καὶ ἐπὶ τῆς ἀνθρωπίνης διαλαλήσεως· ἐντρέπομαι τὸ φροντίζω γενικῇ συντάσσεται. Ἤγουν ἃ γὰρ ἂν ὁ θεὸς ζητῇ πρέποντα. κρίνας ζητεῖσθαι ῥᾳδίως ἤγουν εὐκόλως αὐτὸς δείξει. 745. Φεῦ οἷον πλάνημα ἤγουν οἵα φροντὶς καὶ στροφὴ ψυχῆς καὶ διακίνησις φρενῶν ἤγουν ταραχὴ λογισμῶν ἔχει με, ὦ γύναι, ἀρτίως ἀκούσαντα.

752. Φωκὶς

Digitized by Google

Ιο. Ηὔδατο γὰρ ταῦτ', ἐδέ πω λήξαντ' ἔχει.

Οἰ. Καὶ πῦ 'σθ' ὁ χῶρος ἕτος ὅ τόδ' ἦν πάθος;

Ιο. Φωκὶς μὲν ἡ γῆ κλήζεται· σχιςὴ δ' ὁδὸς
'Ες ταυτὸ Δελφῶν κἀπὸ Δαυλίας ἄγει.

Οἰ. Καὶ τίς χρόνος τοῖσδ' ἐςὶν οὐξεληλυθώς;

Ιο. Σχεδόν τι πρόσθεν ἢ σὺ τῆσδ' ἔχων χθονὸς
'Αρχὴν ἐφαίνου, ταῦτ' ἐκηρύχθη πόλει.

Οἰ. Ω Ζεῦ, τί μυ δρᾶσαι βεβύλευσαι πέρι;

Ιο. Τί δ' ἐςί σοι τῦτ' Οἰδίπυς ἐνθύμιον;

Οἰ. Μή πω μ' ἐρώτα· τὸν δ' Λάιον, φύσιν
Τιν' εἶχε, φράζε, τίνα δ' ἀκμὴν ἥβης ἔχων.

Ιο. Μέγας, χνοάζων ἄρτι λευκανθὲς κάρα,
Μορφῆς δὲ τῆς σῆς ὐκ ἀπεςάτει πολύ.

Οἰ. Οἴμοι τάλας· ἔοικ' ἐμαυτὸν εἰς ἀρὰς
Δεινὰς προβάλλων ἀρτίως ὐκ εἰδέναι.

Ιο. Πῶς φῆς; ὀκνῶ τοι πρὸς σ' ἀποσκοπῦσ' ἄναξ.

Οἰ. Δεινῶς ἀθυμῶ μὴ βλέπων ὁ μάντις ᾖ·

752. Φωκὶς μὲν ἡ γῆ κλήζεται. σχιςὴ δ' ὁδὸς] περὶ Αὐλίδα, φησὶ, τὴν σχιςὴν ὁδόν. ὁ δὲ Αἰσχύλος περὶ Ποτνίας. ὕτως, "ἐπῄειμεν τῆς ὁδῦ τροχήλατον, Σχιςῆς κελεύθυ τρίοδον, ἔνθα συμβολὰς Τριῶν κέλευθον Ποτνιάδων ἠμείβομεν. τινὲς δὲ τὴν Δαυλίδα ἀνακρίδα λέγυσιν ὕτως, "Κρίσσαν τε ζαθέην, κὶ ἀνακρίδα, κὶ πανοπῆα. 757. Ὦ Ζεῦ, τί μυ δρᾶσαι] ἀναμιμνήσκεται ὁ Οἰδίπυς κὶ τῦ χρόνυ κὶ τῦ τόπυ· κὶ πρὸς τὸν Δία φησὶ, τί μοι ποιήσεις; 760. Τίνα δ' ἀκμὴν ἥβης] ἡλικίας. κυρίως δὲ ἡ ἀκμὴ τῆς ἡλικίας. 761. Μέγας, χνοάζων] εὖ τὰ πρὸ φωνῆς ταῦτα σημεῖα εἶπεν. 765. Ὀκνῶ] δέδοικα κὶ Ὅμηρος, ὀκνείω δ' ἵππων ἐπιβαινέμεν.

ΣΧΟΛ. ΤΡΙΚΛ. 761. Χνοάζων] ἀνθῶν, ὥσπερ ὑπὸ χνοὸς περικεχυμένην ἔχων τὴν κεφαλήν. αἱ γὰρ περὶ αὐτὰς δεξάμεναι χνῦν τρίχες, ὔτε λευκαί εἰσιν, ὔτε μέλαιναι, ἀλλ' εἶδος ἕτερον μεταξὺ τούτων ἐκφαίνυσι. 766. Μὴ βλέπων] ἤγυν, δέδοικα μὴ πως ὐ τυφλὸς, ἀλλὰ βλέπων κὶ ἀληθεύων ὁ μάντις ᾖ. παρ' ὅσον ὁ τὴν ἀλήθειαν λέγων, βλέπει·

Digitized by Google

*Jo. Audisti.* prædicabantur enim hæc, et nondum
cessat *fama.*

*Oe.* Et ubi est locus ille, id ubi contigit mali?

*Jo.* Phocis quidèm vocatur terra; scissa autèm via
In unum a Delphis et a Dauliâ coit.

*Oe.* Et quantum, *quæso*, temporis, ex quo hæc facta
sunt, elapsum est?

*Jo.* Priùs paululùm, quàm tu hujus tenens terræ
Principatum conspectus es, hæc nunciata sunt [urbi.

*Oe.* O Jupiter, quid de me facere decrevisti?

*Jo.* Quæ hæc tibi cura animum mordet, Oedipus?

*Oe.* Nequaquam me roga: Laio autem habitus
*Oris* quis fuit, dic, et ætatis qui status.

*Jo.* Grandis, cui caput primâ canitie pubescebat.
Formâ autem tuâ non admodum discrepabat.

*Oe.* Hei mihi misero! meipsum, ut videtur, execra-
Atrocibus objeci modò insciens. [tionibus

*Jo.* Quid inquis, *obsecro?* timeo sanè te intuens, O rex.

*Oe.* Miserè metuo, ne oculatus ille vates sit.

πει· ὁ δὲ τὰ ψευδῆ, τυφλώτ]ων ἐςί.

¶ Σχῆμ. Τριχλ. 752. Κλῃΐζε]αι] συνίζησις.

SCHOL. INED. 750. Ἤκουσα δηλονότι· ηὐδᾶτο γὰρ ἤγουν ἐλέγε]ο ταῦτα. οὔπω δὲ λήξαντ' ἔχει ἀντὶ τοῦ ἔληξεν. Ἤγουν τὸ συμβεβηκὸς πρᾶγμα ὥσπερ λέγε]αι λῆμμα καὶ δῶρον ἐπὶ τοῦ αὐτοῦ, ἀπὸ μὲν τοῦ διδόν]ος δῶρον· ἀπὸ δὲ τοῦ λαμβάνον]ος λῆμμα, οὕτω λέγε]αι καὶ πάθος καὶ πρᾶγμα ἐνίοτε ἐπὶ τοῦ αὐτοῦ· ἀπὸ μὲν τοῦ ποιοῦν]ος πρᾶγμα· ἀπὸ δὲ τοῦ πάσχον]ος πάθος· οἷον, ὁ φόνος λέγε]αι καὶ πρᾶγμα ἀπὸ τοῦ ποιοῦν]ος, λέγε]αι δὲ πάθος ἀπὸ τοῦ πάσχον]ος. Καὶ ἡ στρέβλωσις ὁμοίως καὶ ἡ πληγὴ καὶ ὅσα τοιαῦτα. 752. Φωκὶς μὲν ἡ γῆ κλῄζεται ἀντὶ τοῦ καλεῖται. σχιστὴ δ' ὁδὸς ἄγει ἤγουν ἀποκαθιστᾷ εἰς ταὐτὸ ἀπὸ Δελφῶν καὶ ἀπὸ Δαυλίας. 760. Ἀντὶ τοῦ καθεστῶσιν ἡλικίας· ἥβη ἡ ἀκμὴ τῆς ἡλικίας κυρίως· ἐνταῦθα δὲ ἐπὶ τῆς ἁπλῶς ἡλικίας λαμβάνε]αι τοὔνομα. Ἀνθῶν ἄρ]ι λευκόβαφὶς κάρα ἀντὶ τοῦ ἄρ]ι λευκαινόμενος.

775. Οἰ-

Δείξεις δὲ μᾶλλον ἢν ἐν ἐξείπῃς ἔτι.
Io. Καὶ μὴν ὀκνῶ μέν· ἃ δ᾽ ἂν ἔρῃ, μαθοῦσ᾽ ἐρῶ.
Oi. Πότερον ἐχώρει βαιὸς, ἢ πολλοὺς ἔχων
Ἄνδρας λοχίτας, οἷ᾽ ἀνὴρ ἀρχηγέτης;
Io. Πέντ᾽ ἦσαν οἱ ξύμπαντες, ἐν δ᾽ αὐτοῖσιν ἦν
Κῆρυξ· ἀπήνη δ᾽ ἦγε Λάϊον μία.
Oi. Αἶ, αἶ, τάδ᾽ ἤδη διαφανῆ. τίς ἦν ποτε
Ὁ τούσδε λέξας τοὺς λόγους ὑμῖν, γύναι;
Io. Οἰκεύς τις, ὅσπερ ἵκετ᾽ ἐκσωθεὶς μόνος.
Oi. Ἦ κἀν δόμοισι τυγχάνει τανῦν παρών;
Io. Οὐ δῆτ᾽· ἀφ᾽ οὗ γὰρ κεῖθεν ἦλθε, καὶ κράτη
Σέ τ᾽ εἶδ᾽ ἔχοντα, Λάϊόν τ᾽ ὀλωλότα,
Ἐξικέτευσε, τῆς ἐμῆς χειρὸς θιγὼν,
Ἀγροὺς σφε πέμψαι κἀπὶ ποιμνίων νομὰς,
Ὡς πλεῖστον εἴη τοῦ δ᾽ ἄποπτος ἄστεος.
Κἄπεμψ᾽ ἐγώ νιν· ἄξιος γὰρ ὥδ᾽ ἀνὴρ
Δοῦλος φέρειν ἦν τῆσδε καὶ μείζω χάριν. —
Oi. Πῶς ἂν μόλοι δῆθ᾽ ἡμὶν ἐν τάχει πάλιν;
Io. Πάρεστιν. ἀλλὰ πρὸς τί τοῦτ᾽ ἐφίεσαι;
Oi. Δέδοικ᾽ ἐμαυτὸν, ὦ γύναι, μὴ πόλλ᾽ ἄγαν
Εἰρημέν᾽ ᾖ μοι, δι᾽ ἅ νιν εἰσιδεῖν θέλω.

775. Οἰκεύς τις,] οἰκέτης. ἐκ τοῦ αὐτοῦ οἴκου ὤν. 782. Ἄξιος γὰρ ὅγ᾽ ἀνὴρ] ἀντὶ τοῦ, τὸ αἴτημα οὐχ ὑπερέβαλε δοῦλον. 785. Πάρεστιν.] ἀντὶ τοῦ, νόμιζε αὐτὸν παρεῖναι.

ΣΧΟΛ. ΤΡΙΚΛ. 785. Τοῦτ᾽ ἐφίεσαι;] ἐντέλλῃ, ἐπιθυμεῖς. καὶ γενικῇ γὰρ καὶ αἰτιατικῇ συντάττεται τὸ ἐφίεμαι, ὥσπερ καὶ τὸ ἐπιθυμῶ.

SCHOL. INED. 769. Βαιὸς ὁ μικρός· ἐνταῦθα δὲ ὡς ἐπίῤῥημα. Ἀντὶ τοῦ μικροπρεπῶς, εὐτελῶς ἤγουν μετ᾽ ὀλίγων· ἀρχηγὸς τῆς τάξεως, βασιλεύς. 772. Ἡγεμὼν ὁδοῦ ὁ κοινῶς προεύοδος. Ib.

Μία

Monſtrabis autem clariùs, ſi unum adhuc dixeris.
*Jo.* Atqui horreo quidèm, ſi autem ſciero, quæ rogaveris dicam.
*Oe.* Ibatne cum paucis, an plurimos habens
Satellites, ut viri ſolent principes?
*Jo.* Quinq. erant omnes, inter eos autem *quinq.* erat
Præco: rheda verò vexit Laium una.
*Oe.* Heu, heu! hæc jam perſpicua ſunt: ſed quis fuit
Qui hæc dixit vobis facta, conjux?
*Jo.* Famulus quidam, qui evaſit incolumis ſolus.
*Oe.* An et in ædibus nunc adeſt præſtò?
*Jo.* Non: ex quo enim inde rediit, et regnum
Te viditque tenere, Laiumque mortuum,
Vehementer oravit, meâ prenſâ manu,
Ut rus ſe mitterem ad paſcendos greges,
Ut rariſſimè viſeret hanc urbem.
Adeoque ego illum miſi: dignus enim erat ille
Servus, majus hôc qui auferret beneficium.
*Oe.* Quînam redeat ad nos ocyùs?
*Jo.* Aderit *mox*: ſed cur hoc expetis?
*Oe.* Metuo mihi, O uxor, ne multa nimis
Dicta ſint mihi, ob quæ eum cernere volo.

Μία λέγει ὐχ ὅτι διὰ πλειόνων ἀπηνῶν ἦν δυνατὸν αὐτὸν φέρεσθαι· ἀλλὰ θέλει δηλῦν ὁ λόγος, ὅτι κὴ ἀπήνη ἦγεν αὐτόν. κὴ αὕτη ἦν μόνη ἥτις ἦγεν αὐτὸν κὴ ἑτέρα ὐχ εἵπετο. 776. Τυγχάνει παρὼν ἤγουν πάρεστιν. 780. Ἐπὶ τὺς ἀγρύς· ἢ ἐπὶ ἀπὸ κοινῦ. κὴ ἐπὶ τὸ νέμειν πρόβατα. ποίμνια αἱ ἀγέλαι τῶν προβάτων. 781. Ἔξω τῆς θέας τῦδε τῦ ἄστεος ἤγουν ταύτης τῆς πόλεως. 782. Ἄξιος γὰρ δῦλος ἦν ὅδε ὁ ἀνὴρ ἀποφέρεσθαι κὴ μείζω χάριν τῆσδε. 785. Ὡς παρόντα νόμιζε αὐτόν· ὕτως ἔχει εὐκόλως ἀφίξεσθαι.

 794. Μή-

Digitized by Google

Io. Ἀλλ' ἵξεται μὲν, ἀξία δέ που μαθεῖν
Κἀγὼ τάδ' ἐν σοὶ δυσφόρως ἔχοντ' ἄναξ.

Οἰ. Κοὐ μὴ στερηθῇς γ' ἐς τοσοῦτον ἐλπίδων
Ἐμοῦ βεβῶτος. τῷ γὰρ ἂν καὶ μείζονι
Λέξαιμ' ἂν ἢ σοι, διὰ τύχης τοιᾶσδ' ἰών;
Ἐμοὶ πατὴρ μὲν Πόλυβος ἦν Κορίνθιος,
Μήτηρ δὲ, Μερόπη Δωρίς· ἠγόμην δ' ἀνὴρ
Ἀστῶν μέγιστος τῶν ἐκεῖ, πρίν μοι τύχη
Τοιάδ' ἐπέστη, θαυμάσαι μὲν ἀξία,
Σπουδῆς γε μέντοι τῆς ἐμῆς οὐκ ἀξία.
Ἀνὴρ γὰρ ἐν δείπνοις μ' ὑπερπλησθεὶς μέθης,
Καλεῖ παρ' οἴνῳ πλαστὸς ὡς εἴην πατρί.
Κἀγὼ βαρυνθεὶς, τὴν μὲν οὖσαν ἡμέραν
Μόλις κατέσχον· θατέρᾳ δ' ἰὼν πέλας
Μητρὸς πατρός τ', ἤλεγχον. οἱ δὲ δυσφόρως
Τοὔνειδος ἦγον τῷ μεθέντι τὸν λόγον.
Κἀγὼ τὰ μὲν κείνοιν ἐτερπόμην, ὅμως

794. Μήτηρ δὲ, Μερόπη] Φερεκύδης φησὶ Μέδουσαν εἶναι τὴν Πολύβου γυναῖκα, θυγατέρα δὲ Ὀρσιλόχου τοῦ ἀδελφειοῦ. οἱ δὲ, Ἀντιοχίδα τὴν Χάλκωνος. Ib. Δωρὶς] Πελοποννησιακή. 796. Θαυμάσαι μὲν ἀξία,] ἔδει γὰρ πρὸς τὸ ὀξὺ μὲν, ἀκούσαντα ὡς εἴη νόθος, θαυμάζειν, οὐ μὴν τοσοῦτον φροντίσαι τοῦ πράγματος. 797. Σπουδῆς γε μέντοι] τῆς ἀρετῆς. 799. Πλαστὸς] προσποιητὸς, ἀλλότριος, νόθος. 801. Θατέρᾳ] τῇ ἑτέρᾳ τῇ ἑξῆς.

ΣΧΟΛ. ΤΡΙΚΛ. 790. Κοὐ μὴ] Ἢ πρὸς τὸ στερηθῇς ὑπόστιξον, οὕτως, καὶ οὐ μὴ στερηθῇς ὧν ζητεῖς, βεβῶτος ἐμοῦ ἐς τοσοῦτον ἐλπίδων, ἤγουν τοσαύτην ἐλπίδα ἔχοντος ὥστε τὸν ἀγρότην μόνον ἰδεῖν, καὶ παρ' ἐκείνου ἀκοῦσαί τι· καὶ τὰ πάντα γὰρ τὰ ἄλλα ἀπήλπισα· ἢ πρὸς τὸ ἐλπίδων, οὕτως, ἐμοῦ βεβῶτος, ἤγουν ζῶντος, οὐ μὴ στερηθῇς τῶν ἐλπίδων ἐς τοσοῦτον, ἤγουν, ἅπερ ἐλπίζεις μαθεῖν παρ' ἐμοῦ, οὐ μὴ ἀποτύχῃς τούτων ἐς τοσοῦτον ὥστε μὴ μαθεῖν αὐτά. κρεῖττον δ' ἐστὶ τὸ πρῶτον. μαρτύριον δέ. προϊὼν γὰρ λέγει, Καὶ μὴν τοσοῦτον ἔστη μοι τῆς ἐλπίδος,

Τὸν

Digitized by Google

*Jo.* Veniet ille quidem: digna quoque forsitàn
Et ego *sim* quæ sciam ea, quæ te malè habent,
*Oe.* Nullo modo privaberis, cum eò spei [O Rex.
Pervenerim: cui enim potiori [contigit?
Indicarem quàm tibi, talis *mihi* fortuna cum
Mihi pater quidem Polybus erat Corinthius,
Mater autem, Merope Dorica, et habebar vir
Inter cives illos primarius, antequam mihi fortuna
Talis accidit, admiratione forsàn digna,
Studiis verò meis indigna.
Vir quidam enim in convivio valdè ebrius
Vocat inter pocula me *nothum* suppositititium pa-
*Idque* ego ægrè ferens, eâ ipsâ die [tri.
Vix *me* continui, at alterâ accedens
Matrem patremque rem exquirebam. illi verò gravitèr
Probrum ferebant *contra* eum qui verba sparserat.
Et ego quidem eorum *sermone* delectabar, tamèn

Τὸν ἄνδρα τὸν βοτῆρα προσμεῖναι μόνον.

¶ Σχῆμ. Τρικλ. 793. Ἐμοὶ πατὴρ] διήγησις Οἰδίποδος, περὶ τῆς ἀνατροφῆς αὐτοῦ καὶ τοῦ φόνου Λαΐου.

SCHOL. INED. 790. Μέχρι τοσούτου ἤγουν μέχρι τοῦ μὴ ἀξιωθῆναι ἀκοῦσαι τὸ ἐν ἐμοὶ βάρος. Καὶ τίνι γὰρ ἂν ἄλλῳ δηλονότι μείζονι ἀντὶ τοῦ ἀξίῳ μᾶλλον, προτιμοτέρῳ λέξαιμ' ἂν ἢ σοι. Ἐμοὶ πατὴρ μὲν ἤγουν ἐγχώριος, ἐγγενής. 794. Δωρὶς διάλεκτος ἡ τῶν Δωριέων. καὶ Δωρὶς γυνὴ ὥσπερ Ἑλληνίς, ἡ ἀπὸ γένους τῶν Δωριέων. 796. Ἀξία μὲν θαυμάσαι αὐτὸν τινά. ἤγουν ἀξία μὲν θαύματος καὶ ἀπορίας, καταστάσεώς γε μέντοι τῆς ἐμοῦ οὐκ ἀξία. ἤγουν καὶ ἀξία θαύματος καὶ οὐκ ἀξία τῆς ἐμῆς καταστάσεως. 799. Πεπλασμένος υἱὸς δηλονότι ἤγουν ὑποβολιμαῖος. 800. Κατὰ τὴν παροῦσαν τότε ἡμέραν· βαρυνθεὶς ἐπὶ λύπης. βαρηθεὶς ἐπὶ σώματος, ὡς βεβαρημένων τῶν ὀφθαλμῶν μου. Κνίζει, τὸ ἐρωτικῶς λυπεῖν. ἐνταῦθα δὲ ἔκνιζεν ἁπλῶς ἀντὶ τοῦ ἐλύπει.



Digitized by Google

Δ' ἔκνιζέ μ' αἰεὶ, τοῦθ' ὑφεῖρπε γὰρ πολύ.
Λάθρᾳ δὲ μητρὸς καὶ πατρὸς πορεύομαι
Πυθώδε. καί μ' ὁ Φοῖβος ὧν μὲν ἱκόμην,
Ἄτιμον ἐξέπεμψεν, ἄλλα δ' ἄθλια
Καὶ δεινὰ καὶ δύστηνα προὐφάνη λέγων,
Ὡς μητρὶ μὲν χρεί' εἴη με μιχθῆναι, γένος
Δ' ἄτλητον ἀνθρώποισι δηλώσοιμ' ὁρᾷν·
Φονεὺς δ' ἐσοίμην τοῦ φυτεύσαντος πατρός.
Κἀγὼ 'πακούσας ταῦτα, τὴν Κορινθίαν
Ἄστροις τὸ λοιπὸν ἐκμετρούμενος χθόνα,
Ἔφευγον ἔνθα μήποτ' ὀψοίμην κακῶν
Χρησμῶν ὀνείδη τῶν ἐμῶν τελούμενα.
Στείχων δ', ἱκνοῦμαι τούσδε τοὺς χώρους, ἐν οἷς
Σὺ τὸν τύραννον τοῦτον ὄλλυσθαι λέγεις.
Καί σοι, γύναι, τἀληθὲς ἐξερῶ· τριπλῆς
Ὅτ' ἦν κελεύθου τῆσδ' ὁδοιπορῶν πέλας,
Ἐνταῦθά μοι κῆρυξ τε, κἀπὶ πωλικῆς
Ἀνὴρ ἀπήνης ἐμβεβὼς, οἷον σὺ φῄς,
Ξυνηντίαζον· κἀξ ὁδοῦ μ' ὅ, θ' ἡγεμὼν

805. Ἔκνιζε] ἐλύπει. κυρίως δὲ, ἐρωτικῶς λυπεῖν. 808. Ἄτιμον] ἀνήκουστον. περὶ ὧν γὰρ ἀπῆλθεν οὐκ εἶπεν. 811. Ἄτλητον ὁρᾷν] τὰ μὴ δυνάμενον ὑπὸ ἀνθρώπων ὁρᾶσθαι. 814. Ἄστροις τὸ λοιπὸν ἐκμετρούμενος] χρόνον τινὰ φησὶν, ἐπεὶ πρὸς τοὺς ἀστέρας ἠρίθμουν τὸν χρόνον. ἢ οὕτως, ἐπὶ τὰ ἄστρα ἐπορευόμην. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν τὰ πελάγη μετρούντων, ὡς ἂν δι' ἄστρων τεκμαιρομένων τὸν πλοῦν. 821. Κἀπὶ πωλικῆς] ὑπὸ πώλων ἐζευγμένης.

ΣΧΟΛ. ΤΡΙΚΛ. 814. Ἄστροις τὸ] παροιμία ἐπὶ τῶν μακρὰν ὁδὸν καὶ ἔρημον πορευομένων. οἱ γὰρ φεύγοντες ἀειφυγίαν, τοῖς ἄστροις ἐσημειοῦντο τὴν ἑαυτῶν πατρίδα.

SCHOL.

Digitized by Google

Urebat me femper hoc *dictum* : defcenderat enim
Clamque matre et patre proficifcor [altè.
Delphos ufq. et me Phœbus iis ob quæ veneram
*Nibil refpondit* inauditum dimittens, alia autem
mifera
Et atrocia, et luctuofa *oraculo* prænunciavit *edito*,
Neceffe fore ut matri concumberem, genufque
Odiofum hominibus omnibus in lucem produ-
Occiforq. fierem mei, qui genuit, patris. [cerem,
Et ego, his auditis, Corinthiam
Poft id tempus ftellis metiens terram
Fugiebam *alio*, ubi nunquam cernerem triftium
Oraculorum dedecora mihi datorum compleri.
Iter autem faciens, adeo hos ipfos locos, ubi
Tu tyrannum hunc periiffe dicis:
Et tibi, uxor, verum eloquar, triplicem
Ut juxta viam hanc iter facerem,
Ibi mihi præcoque, et *tractâ* jumentis
Talis vir rhedâ infidens, qualem tu ais,
Simùl obviàm venere, et e viâ me anteambulo,

¶ Σχῆμ. Τρικλ. 814. Ἄστροις τὸ λοιπὸν] παροιμία.

SCHOL. INED. 805. Ἀντὶ τοῦ κατὰ πολὺ ὄνομα ἀντὶ ἐπιῤῥήματος. 810. Χρὴ ἐμὲ μιγῆναι ἀπόκειται. 813. Κἀγὼ ἀκούσας ταῦτα τὴν Κορινθίαν γῆν κατὰ τὸ ἐπίλοιπον δι' ἄστρων μετρούμενος· ἤγουν μακρόθεν βλέπων καὶ δι' ἄστρων συμβάλλων αὐτὸν, ἀπεδήμουν ἐκεῖσε δηλονότι· ἔνθα μήποτε ὀψοίμην πληρούμενα ὀνείδη τῶν εἰς ἐμὲ δυσφήμων χρησμῶν, ἤγουν τὰ ἐμὰ ὀνείδη, ἃ προεδήλουν οἱ πρὸς ἐμὲ δύσφημοι χρησμοί. 821. Εἰπέ μοι τὸν ἰῶ εἰ ζῇ. 822. Ἐπιβεβηκὼς, ἐπάνω ἱστάμενος.



Digitized by Google

Αὐτός θ' ὁ πρέσβυς πρὸς βίαν ἠλαυνέτην.
Κἀγὼ τὸν ἐκτρέποντα τὸν τροχηλάτην
Παίω δι' ὀργῆς· καί μ' ὁ πρέσβυς ὡς ὁρᾷ
Ὄχου παραστείχοντα, τηρήσας μέσον
Κάρα, διπλοῖς κέντροισί μου καθίκετο.
Οὐ μὴν ἴσην γ' ἔτισεν· ἀλλὰ συντόμως
Σκήπτρῳ τυπεὶς ἐκ τῆσδε χειρὸς, ὕπτιος
Μέσης ἀπήνης εὐθὺς ἐκκυλίνδεται.
Κτείνω δὲ τοὺς ξύμπαντας. εἰ δὲ τῷ ξένῳ
Τούτῳ προσήκει Λαΐῳ τι συγγενὲς,
Τίς τοῦδέ γ' ἀνδρός ἐστιν ἀθλιώτερος;
Τίς ἐχθροδαίμων μᾶλλον ἂν γένοιτ' ἀνήρ;
Ὧ, μὴ ξένων ἔξεστι μηδ' ἀστῶν τινὰ
Δόμοις δέχεσθαι, μηδὲ προσφωνεῖν τινά·
Ὠθεῖν δ' ἀπ' οἴκων. καὶ τάδ', οὔτις ἄλλος ἦν
Ἢ 'γὼ 'π' ἐμαυτῷ τάσδ' ἀρὰς ὁ προστιθείς.
Λέχη δὲ τοῦ θανόντος ἐν χεροῖν ἐμαῖν

825. Κἀγὼ τὸν ἐκτρέποντα τὸν τροχηλάτην] τὸν ἔμπροσθεν τῶν τροχῶν πορευόμενον. 827. Ὄχου] ἅρματος. 828. Διπλοῖς κέντροισι] πληγαῖς. δὶς ἔπαισέ με τοῖς κέντροις, οἷς ἐκέντριζε τοὺς ἵππους. οὐκ ἐπίσης δὲ καὶ παρ' ἐμοῦ ἔλαβεν. 832. Εἰ δὲ τῷ ξένῳ] τοῦ ὑπ' ἐμοῦ φονευθέντος εἰ ἦν τις πρὸς Λάϊον συγγένεια. ἢ οὕτως, εἰ δὲ ὃν ὁ ξένος ὃν ἀπέκτεινα, Λάϊός ἐστιν. οὔπω γὰρ οἶδεν εἰ αὐτός ἐστι. 834. Τίς τοῦδέ γ' ἀνδρὸς] ἀντὶ τοῦ ἐμοῦ.

ΣΧΟΛ. ΤΡΙΚΛ. 828. Διπλοῖς κέντροισί μου] τοῦτο διπλῶς νοητέον, ἢ δύο πληγαῖς, ἢ μάστιγι δυο κέντρα ἐχούσῃ. τὸ δ' ἔτισεν, ἀντὶ τοῦ ἀπέδωκε, παρ' ὅσον οἱ κολαζόμενοι διά τινα προϋπάρξασαν ὑπ' αὐτῶν αἰτίαν. δίκας τῆς ἁμαρτίας ἀποδιδόασιν ὀφειλομένας. 836. Ὧι μὴ ξένων] ἤγουν ᾧ τινι οὐκ ἔστιν ἐκδεδομένον δέχεσθαί τινα, ἐμὲ δηλονότι ἐν τοῖς δόμοις, οὔτε τῶν ἀστῶν, οὔτε τῶν ξένων. ἔστι δὲ ἡ τοιαύτη δοτικὴ τὸ ᾧ ἢ πρὸς τὸ ἔξεστιν, ἢ πρὸς τὸ προσφωνεῖν. ὥσπερ γάρ φαμεν, μετεῖχον καὶ ἐχρώμην τῆς δόξης, οὐ πρὸς τὸ ἐχρώμην (ὅπερ ἐστὶ σύνεγγυς οὔσης τῆς γενικῆς) ἀλλὰ πρὸς τὸ μετεῖχον, διὰ μέσου ὄντος τοῦ ἐχρώμην·

οὕτω

Digitized by Google

Ipſeque ſenex vi pepulerunt;
Hîc ego nitentem trudere aurigam
Percutio iratus, et me ſenex, ubi videt
Prope vehiculum euntem, collimans medium
Caput duplici ſtimulo mihi percuſſit.
Neque parem luit *pœnam:* ſed brevitèr *uno ictu*
Sceptro percuſſus ab hac manu ſupinus
Mediâ ex rhedâ ſtatim devolvitur. [*(mihi)*
Perimo quoq. univerſos ſimùl. Si verò peregrino
Huic aliqua cum Laio intercedit cognatio,
Quis hôc utique viro eſt infelicior?
*Aut* quis magis inviſus poſſit eſſe diis?
Quem nulli hoſpitum neque civium licet
Domo recipere, neque alloqui [erat
Sed ab ædibus pellere *jubentur.* atque alius nemo
Quàm ego, qui mihimet diras has invexi.
Torum autem mortui meis ipſius manibus

ὅτω ϗ τοῦτο τὸ ᾧ πρὸς τὸ προσφωνεῖν ἔχει τὴν δύναμιν. τὸ δὲ τάδε ϗ τάσδε ἀρὰς, ταυτόν ἐστιν. αἱ γὰρ ἀραὶ ἃς ἠράσατο τῷ Λαΐου φονεῖ, οὐκ ἄλλό τι ἦσαν ἢ μὴ προσδέχεσθαι αὐτὸν τοὺς πολίτας, μηδὲ προσφωνεῖν. ϗ οὔτις ἄλλος ἦν ὁ προστιθεὶς ἐπ' ἐμαυτῷ ταῦτα, ἢ ἐγὼ ὁ τάσδε τὰς ἀρὰς προστιθεὶς. κατὰ συνεκδοχὴν λαμβανομένου τοῦ προστιθεὶς.

SCHOL. INED. 824. Πρέσβυς πρεσβύτου ἑτερόκλιτον· ἢ παρὰ ὡς ἐπίῤῥημα ἀντὶ τοῦ πλησίον, ὡς ἐν τῷ ἑρκέων ἐγκεκλεισμένον· ἢ ἐν ὡς ἐπίῤῥημα ἀντὶ τοῦ ἐντὸς τῶν ἑρκέων. 828. Διπλοῖς κέντροις ἀντὶ τοῦ μάστιγι· καθίκετό μου τῇ βακτηρίᾳ. 833. Προσήκει τῷ δεῖνι. ϗ προσήκοντες οἱ συγγενεῖς. Συγγένειά τίς ἐστι προσήκουσα τῷ Λαΐῳ, ἤγουν εἰ ἐκεῖνος ἦν ὁ Λάϊος. μισητὸς [illegible] τῶν θεῶν, ἐχθρὸς τοῖς δαίμοσιν ἤγουν τοῖς θεοῖς. ᾧτινι ἤγουν ἐμοὶ οὐκ ἐκδιδομένον ἐστὶ δέχεσθαι τινὰ ἐμὲ δηλονότι ἐν τοῖς δόμοις οὔτε ἀπὸ τῶν ἀστῶν οὔτε ἀπὸ τῶν ξένων. ϗ ταῦτα ὡς ἐπίῤῥημα ἐναντιωματικῶς.

841. Δι'

Χραίνω, δι' ὧνπερ ὤλετ'. ἆρ' ἔφυν κακός;
Ἆρ' οὐχὶ πᾶς ἄναγνος; εἴ με χρὴ φυγεῖν,
Καί μοι φυγόντι, μήτε τοὺς ἐμοὺς ἰδεῖν,
Μήτ' ἐμβατεύειν πατρίδος· ἢ γάμοις με δεῖ
Μητρὸς ζυγῆναι, καὶ πατέρα κατακτανεῖν
Πόλυβον, ὃς ἐξέφυσε κἀξέθρεψέ με.
Ἆρ' οὐκ ἀπ' ὠμοῦ ταῦτα δαίμονος τίς ἂν
Κρίνων ἐπ' ἀνδρὶ τῷδ' ἀνορθοίη λόγον;
Μὴ δῆτα, μὴ δῆτ', ὦ θεῶν ἁγνὸν σέβας,
Ἴδοιμι ταύτην ἡμέραν· ἀλλ' ἐκ βροτῶν
Βαίην ἄφαντος πρόσθεν ἢ τοιάνδ' ἰδεῖν
Κηλῖδ' ἐμαυτῷ συμφορᾶς ἀφιγμένην.—
Χο. Ἡμῖν μὲν, ὦ 'ναξ, ταῦτ' ὀκνήρ'· ἕως δ' ἂν οὖν
Πρὸς τοῦ παρόντος ἐκμάθῃς, ἔχ' ἐλπίδα.
Οἰ. Καὶ μὴν τοσοῦτόν γ' ἐστί μοι τῆς ἐλπίδος,
Τὸν ἄνδρα τὸν βοτῆρα προσμεῖναι μόνον.
Ιο. Πεφασμένου δὲ, τίς ποθ' ἡ προθυμία;
Οἰ. Ἐγὼ διδάξω σ'. ἢν γὰρ εὑρεθῇ λέγων
Σοὶ ταῦτ', ἔγωγ' ἂν ἐκπεφευγοίην πάθος.

841. Δι' ὧνπερ ὤλετ'.] ὧν χειρῶν. 842. Ἄναγνος] ἀντὶ τοῦ μιαρός. 844. Ἐμβατεύειν] ἐπιβαίνειν. 852. Κηλῖδα συμφορᾶς] ἀντιστρόφως, συμφορὰν κηλῖδος καὶ μολυσμοῦ. 854. Ἔχ' ἐλπίδα.] ἀντὶ τοῦ, μὴ ἀθύμει πρὶν ἂν τὸ ἀληθὲς καταμάθῃς. 857. Πεφασμένου] φανεροῦ γενομένου καὶ ἐλθόντος τοῦ ποιμένος, τίνα ἕξεις γνώμην; 859. Σοὶ ταῦτ',] σοὶ ὅμοια καὶ τὰ αὐτά.

ΣΧΟΛ. ΤΡΙΚΛ. 848. Ἀνορθοίη λόγον] ἤγουν ἔξω αἰτίας θήσει. τὸ γὰρ ἀνορθοίη λόγον, οὐχ ἕτερόν ἐστιν ἀλλ' ἢ κειμένην καὶ μὴ οὖσαν τὴν ὑπὲρ ἐκείνου ἀπολογίαν ἀνορθώσει, καὶ δείξει δι' ὧν ἀπολογήσεται. 852. Κηλῖδ' ἐμαυτῷ] κηλῖδα συμφορᾶς, ἀντιστρόφως, ἀντὶ τοῦ συμφορὰν (ἤγουν συντυχίαν] κηλῖδος, ἤγουν μολυσμοῦ.

SCHOL. INED. 841. Τὸ ἔφυν καὶ τὸ οὐχὶ ἀπὸ κοινοῦ, ἤγουν ἆρα οὐκ ἔφυν, ἤγουν ὑπάρχω κακός; ἆρα οὐκ ἔφυν πᾶς ἀντὶ τοῦ ὅλος ἄναγ-

Contamino, per quas periit. Annon malus sum?
Nonne totus *nocens et* pollutus? si me oportet exul-
Et mihi exulanti neq. meos cernere *fas erit*, [are,
Neq. pedes in patriâ ponere, aut *si* nuptias me o-
Cum matre contrahere, et patrem occidere [portet
Polybum, qui genuit et enutriit me.
Nonne ab immiti hæc dæmone qui
Judicaret in hunc virum *immissa*, recta diceret?
Ne, quæso, ne, O deorum sancta numina,
Videam hunc diem; sed ex mortalium cœtu
Abeam evanidus, priusquàm videam
Labem hanc calamitatis mihi adesse.

*Ch.* Nobis quidèm, O Rex, hæc sunt tristia, attamen
Rem ex præsente perdidiceris, spem fove. [donec

*Oe.* Id reliquum sanè est adhuc mihi spei,
Pastorem illum ut expectem solum.

*Jo.* *Illo* autem coràm allato, quid deinde facturus es?

*Oe.* Ego dicam tibi: si enim comperietur dicere
Eadem quæ tu; ego calamitatem hanc effugero.

νος ἤγουν ἀκάθαρτος· Ἐν τῷ προτέρῳ κώλῳ ἀποδίδοται ἡ σύνταξις πρὸς τὸ ἀπαρέμφατον, καὶ προφέρεται κατ' αἰτιατικήν· ἐν δὲ τῷ δευτέρῳ ἀποδίδοται πρὸς τὸ χρὴ, καὶ λέγεται κατὰ δοτικήν· ἤγουν εἰ χρὴ φυγεῖν ἐμὲ, καὶ εἰ χρὴ ἐμοὶ φυγόντι μήτε τοὺς ἐμοὺς ἰδεῖν, μήτε ἐμβατεύειν πατρίδος ἀντὶ τοῦ ἐπιβαίνειν· Ἆρα οὐκ ἀπὸ σκληρᾶς τύχης ταῦτα ἐπ' ἐμοὶ τὶς κρίνων ἀνορθοίη ἂν λόγον, ἀντὶ τοῦ ἀποφαίνοιτο ἀνορθοίη λόγον ἤγουν ἀποφαίνοιτο ἀπὸ τῶν δύο. 849. Ἀντὶ τοῦ, ὦ θεοὶ, ἐν ἁγνείᾳ καὶ καθαρότητι τιμώμενοι, πορευθεὶς γενοίμην ἄφαντος πρότερον. 852. Κηλίδα συμφορᾶς ἀντιστρόφως ἀντὶ τοῦ συμφορὰς ἤγουν συντυχίας κηλῖδος ἤγουν μολυσμοῦ. 855. Ἀντὶ τοῦ τοσαύτη μοί ἐστιν ἡ ἐλπίς· Ταῦτα εἰς τὸ ταῦ ὀξεῖαν· οὐ γὰρ ἐπ' οἰκείας συλλαβῆς ὁ τόνος κεῖται, ἀλλ' ἀπὸ πάθους ἀπεδόθη.



Digitized by Google

Ιο. Ποῖον δέ μου περισσὸν ἤκουσας λόγον;
Οἰ. Λῃστὰς ἔφασκες αὐτὸν ἄνδρας ἐννέπειν,
Ὥς νιν κατακτείναιεν. εἰ μὲν οὖν ἔτι
Λέξει τὸν αὐτὸν ἀριθμὸν, οὐκ ἐγὼ 'κτανον·
(Οὐ γὰρ γένοιτ' ἂν εἷς γε τοῖς πολλοῖς ἴσος)
Εἰ δ' ἄνδρ' ἕν' οἰόζωνον αὐδήσει, σαφῶς
Τοῦτ' ἐστὶν ἤδη τοὔργον εἰς ἡμᾶς ῥέπον.—
Ιο. Ἀλλ' ὡς φανέν γε τοὔπος ὧδ' ἐπίστασο·
Κοὐκ ἔστιν αὐτῷ τοῦτό γ' ἐκβαλεῖν πάλιν.
Πόλις γὰρ ἤκουσ', οὐκ ἐγὼ μόνη, τάδε.
Εἰ δ' οὖν τι κἀκτρέποιτο τοῦ πρόσθεν λόγου,
Οὔτοι ποτ' ὦ 'ναξ τόν γε Λαΐου φόνον
Φανεῖ δικαίως ὀρθὸν, ὅν γε Λοξίας
Διεῖπε, χρῆναι παιδὸς ἐξ ἐμοῦ θανεῖν.
Καί τοι νιν οὐ κεῖνός γ' ὁ δύστηνός ποτε
Κατέκταν', ἀλλ' αὐτὸς πάροιθεν ὤλετο.
Ὥστ' οὐχὶ μαντείας γ' ἂν, οὔτε τῇδ' ἐγὼ
Βλέψαιμ' ἂν οὕνεκ', οὔτε τῇδ' ἂν ὕστερον.—
Οἰ. Καλῶς νομίζεις. ἀλλ' ὅμως τὸν ἐργάτην

861. Ἔφασκες αὐτὸν] τὸν βοτῆρα. 865. Οἰόζωνον] μονόζωνον. μόνον. 868. Τοῦτό γ' ἐκβαλεῖν πάλιν] ἀποκρύπτεσθαι, ἢ ἀποστρέψαι. τουτέστιν, οὐ δύναται ἀρνεῖσθαι ὁ βουκόλος. 871. Τόν γε Λαΐου φόνον φανεῖ] αὐτὸς ὁ θεράπων. 876. Ὥστ' οὐχὶ μαντείας] ὅθεν ἐγὼ χάριν τῆς μαντείας, οὔτε ἐπ' ἐκεῖνα τὰ ῥήματα, οὔτε ταῦτα βλέψαιμι· οὔτε ἑκατέροις πιστεύσαιμι, ἀλλ' ἀπορῶ.

ΣΧΟΛ. ΤΡΙΚΛ. 866. Εἰς ἡμᾶς ῥέπον.] εἰς ἡμᾶς γράφε, μὴ εἰς ἐμέ. οὐ γὰρ ἁρμόζει οὕτως τὸ μέτρῳ. εἰ δὲ πληθυντικὸν ἀντὶ τοῦ ἑνικοῦ τέθειται, οὐδὲν ἀπεικός. πολλὰ γὰρ εὑρίσκεται ὅμοια. 870. Κἀκτρέποιτο] τὸ ἐκτρέπεσθαι κυρίως ἐπὶ ὁδοῦ λέγεται, ὅταν τὴν ἣν βαδίζει τὶς ὁδὸν καταλιπὼν ἑτέραν βαδίσῃ. καὶ ἀπὸ τούτου ἁπλῶς ἐπὶ τῶν ἀπό τινος εἴς τι μεταπιπτόντων. 876. Ὥστ' οὐχὶ μαντείας] ὥσθ' ἕνεκα τῆς μαντείας τοῦ Ἀπόλλωνος, οὔτε βλέψαιμι ἂν τῇδε καὶ ἐνταῦθα, ὅτι ὑπὸ τοῦ παιδὸς

*Jo.* Quæ verò verba ex me audisti præcipua?
*Oe.* Aiebas ipsum retulisse, quòd latrones
*Laium* hunc interficerent: quòd si nunc quoque
Eundem dicet numerum, ego non peremi.
(Non enim unus idem esse potest quod multi)
At si unum solum fecisse dixerit, manifestè
Facinus illud jam ad me spectabit.
*Jo.* At hunc pro certo sic sermonem habeto,
Nec potest hoc iterùm negare.
Civitas enim *tota* hæc audiit, non ego sola.
Porrò a priore si quid deflecteret sermone
Non tamèn, O Rex, de Laii cæde
Loquetur recta, eam ut Apollo [meo:
Prædixit, quòd illum *scilicet* oporteret filio occidi
Quippe illum miser ille nequaquam occidit,
Sed ipse *filius* prior periit.
Quare ego divinationis gratiâ
Neque huc neque illuc in posterum respexero.
*Oe.* Rectè putas, attamen operarium

παιδὸς ἀπόλωλε. πρόσθεν γὰρ ὁ παῖς ἀπηνέχθη τοῦ ζῆν. οὔτε τῆδε καὶ ἐνταῦθα ὕστερον, ὅτι ὑπὸ σοῦ πεφόνευται. ὑπὸ τοῦ παιδὸς γὰρ ὁ Ἀπόλλων ἐθέσπισε. ταῦτα δὲ λέγει ἀποροῦσα περὶ τοῦ φόνου, πῶς ἄρα καὶ γέγονεν.

¶ Σχήμ. Τρικλ. 864. Οὐ γὰρ γένοιτ'] γνωμικόν.

SCHOL. INED. 861. Ἔφασκες ἐννέπειν αὐτὸν ἤγουν τὸν βοτῆρα λῃστὰς ἄνδρας ὅτι ἔκτειναν αὐτὸν ἤγουν τὸν Λαΐον· Ἔλεγε. ὡς εἰπέ μοι τὸν Πολύδωρον εἰ ζῇ. 870. Το ἐκτρέπεσθαι κυρίως ἐπὶ ὁδοῦ λέγεται, ὅταν τὴν ἣν βαδίζει τὶς ὁδὸν καταλιπὼν ἑτέραν βαδίζῃ· καὶ ἀπὸ τούτου ἁπλῶς ἐπὶ τῶν ἀπὸ τίνος εἴς τι μεταπιπτόντων. 873. Ἀσφαλῶς κατὰ τὴν πρόῤῥησιν ἀποβεβηκότα· Πρὸ τοῦ φονευθῆναι τὸν Λαΐον ὥστε μαντείας εἵνεκα οὐκ ἂν βλέψαιμι ἔγωγε οὔτε τῆδε οὔτε τῆδ' ἂν ὕστερον ἤγουν οὔτε πρὸς τοὺς λόγους τούτους, οὔτε πρὸς τοὺς τοῦ θεράποντος.

Πέμψον τινὰ στελοῦντα· μηδὲ τοῦτ᾽ ἀφῇς.
Ιο. Πέμψω ταχύνασ᾽· ἀλλ᾽ ἴωμεν ἐς δόμους.
Οὐδὲν γὰρ ἂν πράξαιμ᾽ ἂν ὧν οὐ σοὶ φίλον.

Χο. Εἴ μοι ξυνείη φέροντι μοῖρα τὰν
Εὔσεπτον ἁγνείαν λόγων
Ἔργων τε πάντων, ὧν νόμοι πρόκεινται
Ὑψίποδες γ᾽ οὐρανίαν δι᾽ αἰθέρα
Τεκνωθέντες· ὧν Ὄλυμπος
Πατὴρ μόνος, οὐδέ νιν θνατὰ
Φύσις ἀνέρων ἔτικτεν, οὐδὲ
Μήν ποτε λάθα κατακοιμάσει.

882. Εἴ μοι ξυνείη φέροντι] εἴθε μοι ξυνοικοίη τὴν ἄχραντον καὶ σεβασμίαν ἀλήθειαν διασώζοντι. ἄλλως, εἴθε μοι συνείη εὐτυχία, καὶ λόγων καὶ πραγμάτων ἁγνείαν φυλάττοντι. μοῖρα δὲ ἡ εὐτυχία. ἄλλως, εἰ ἀληθεύω, γένοιτό μοι καὶ εὐτυχεῖν τὸ ἀληθὲς διασώζοντι. ταῦτα δέ φησι τὴν Ἰοκάστην αἰτιώμενος ὅτι ἀσεβῶς ἔφη ἐψεῦσθαι τὸν Ἀπόλλωνα. φέροντι οὖν τὴν εὔσεπτον ἁγνείαν τῶν λόγων καὶ τῶν ἔργων τῶν περὶ τῶν θεῶν, περὶ ὧν νόμοι πρόκεινται ἔργων καὶ λόγων, τὴν περὶ τούτων λέγοντες ἀκρίβειαν, καὶ τῶν μαντειῶν, ὅτι οὐδὲν αὐτοῖς ὑγιές ἐστιν. 885. Οὐρανίαν δι᾽ αἰθέρα] ἀντὶ τοῦ ἐν οὐρανῷ τεχθέντες. 886. Ὧν Ὄλυμπος] ὧν νόμων τῶν ὀρθῶς ἐχόντων. 887. Οὐδέ νιν θνατὰ φύσις] οὔτε ὑπὸ ἀνθρώπων εὕρηται ὁ περὶ θεῶν λόγος.

ΣΧΟΛ. ΤΡΙΚΛ. 882. Εἴ μοι ξυνείη] καταγινώσκων ὁ χορὸς τῆς Ἰοκάστης, καὶ ὡς μὴ δεχομένης τὰς τοῦ Ἀπόλλωνος μαντείας, φησὶν, ἐμοὶ φέροντι τὴν εὔσεπτον ἁγνείαν, (ἤγουν τὸ πάνσεπτον σέβας τῶν λόγων καὶ τῶν ἔργων πάντων, τοῦτ᾽ ἔστιν ἐμοὶ σεβομένῳ τὸν λόγον καὶ τὰ ἔργα) εἴθε ξυνείη καὶ συνυπάρχοι μοῖρα καὶ εὐτυχία. εἰπὼν δ᾽ ἀορίστως τὸ λόγων καὶ τὸ ἔργων, νῦν ὁρίζεται, λέγων, ὧν πρόκεινται νόμοι μεγάλοι, τεκνωθέντες καὶ γεννηθέντες διὰ τὴν οὐρανίαν αἰθέρα, ἤγουν ἐξ οὐρανοῦ. δείκνυσι δ᾽ ἐντεῦθεν ὅτι λόγων καὶ ἔργων λέγει τῶν θείων, ὧν ἡ τιμὴ ἐξ οὐρανοῦ νενομοθέτηται, ὧντινων νόμων μόνος ὁ Ὄλυμπος πατήρ ἐστιν· ἔστι δὲ ὅμοιον τῷ οὐρανίαν δι᾽ αἰθέρα τεκνωθέντες. οὐδ᾽ ἔτικτε οὐδ᾽ ἐξεῦρεν αὐτοὺς τοὺς νόμους ἡ θνητὴ φύσις τῶν ἀνθρώπων, οὐδὲ κατακοιμίσει καὶ καταβαλεῖ αὐτοὺς, καὶ ἀφανίσει λήθη. τοῦτ᾽ ἔστιν, ἐπεὶ οἱ ἄνθρωποι οὐχ᾽ εὗρον τοὺς περὶ τῆς τιμῆς τῶν

θεῶν

Digitized by Google

Aliquem mitte accersitum, et ne omiseris.
*Jo.* Mittam Ocyus: sed eamus in aedes,
Nil enim faciam nisi quod tibi gratum fuerit.

## ANTISTROPHICA. STROPHE I.

*Ch.* Utinam mihi cohabitet felicitas, ut retineam
Venerandam verborum puritatem
Factorumq. omnium, quae legibus sancita sunt
Sublimibus, coelesti aethere
Genitis, quarum Olympus
Pater est solus, neque eas mortalis
Natura virûm peperit, neque
Sanè unquàm oblivio sopiet.

θεῶν νόμους, ἀλλ οὐρανόθεν ἦλθον ἡμῖν, οὐδ᾽ ὑπὸ λήθης ἀνθρώπων ἂν καταςβεσθεῖεν. μέγας ἐν τούτοις θεὸς ὑπάρχει ἡ ἀλήθεια, οὐδὲ γηράσκει· τοῦτ᾽ ἔςιν, ὡς ἀληθεῖς ὄντες οἱ νόμοι ἀεὶ ἔσονται καὶ οὐκ ἀφανισθήσονται. ἰςέον δὲ ὅτι τινὲς ἀγνοοῦντες, οὐρανίας Αἰθέρος λέγουσι διὰ τὸ δια τὸ δ᾽ ἐςιν " ὅμοιον τῷ παρ᾽ Αἰσχύλῳ, Ἱππικῶν τ᾽ ἀύπνων πηδαλίων διὰ ςόμα. ἔφαμεν δ᾽ ἐκεῖ τὸν περὶ τούτου λόγον.

SCHOL. INED. 879. Τὸ ἑξῆς μηδ᾽ ἀφῇς τοῦτο. 882. Τὸ τοῦ χοροῦ πᾶν δυσχεραίνοντός ἐςι κατὰ τῆς Ἰοκάςης ὡς παρ᾽ οὐδὲν τιθεμένης τοὺς χρησμοὺς τῶν θεῶν. εἴθε μοι οὖν, φησὶν, εὐτυχία συνείη ἁγνότητα καὶ λόγων καὶ ἔργων φέροντι, ὧν οἱ νόμοι, οὐρανόθεν ἐγεννήθησαν, τουτέςι οὔτε κατὰ θεῶν βλασφημοῦντι, οὔτε μὴν ἄλλο τι κατ᾽ αὐτῶν ποιοῦντι. Εἴθε συνείη μοι εὐτυχία σώζοντι τὴν διὰ λόγων καὶ ἔργων πάντων εὐσεβῆ καθαρότητα· ὑπὲρ ὧν ἤγουν τῶν εὐσεβῶν λόγων καὶ ἔργων, νόμοι πρόκεινται ὑψηλοὶ καὶ ἔντιμοι δι᾽ αἰθέρος γεννηθέντες. ἤγουν οὐρανόθεν ὧν νόμων δηλονότι μόνος πατὴρ ὁ Ὄλυμπος, οὐδὲ θνητὴ φύσις ἀνδρῶν ἐγέννησεν αὐτούς. οὐδὲ μήν ποτε λήθη καταχοιμάσει, ἀντὶ τοῦ κατακοιμίσει, ἀφανίσει· μέγας ἐν τούτοις θεὸς οὐδὲ γηράσκει, ἤγουν μεγάλη θεοῦ δύναμις ἐν τούτοις ἐςὶν ἀτελεύτητος. Ὁ νοῦς. ἡ ἀδικία εἰς μέγιςον κακὸν ἐνέβαλε τοὺς χρωμένους· τουτέςιν, ἡ ἀδικία ἰσχυροποιεῖ τὸν τύραννον. ὅταν δὲ πολλῶν ὑπερπλησθῇ μάτην μὴ ἁρμοδίων μηδὲ συμφερόντων εἰς μεγίςην ἀνάγκην ἐμπίπτει. Ὅταν πολλὰ διαπράξηται ὑβριςικὰ εἰς μεγίςην ἀνάγκην ἐμπίπτει.

890. Μέ-

Digitized by Google

Μέγας ἐν τούτοις Θεὸς,
Οὐδὲ γηράσκει.—

Ὕβρις φυτεύει τύραννον· ὕβρις, ἢν
Πολλῶν ὑπερπλησθῇ μάταν,
Ἃ μὴ ’πίκαιρα μηδὲ συμφέροντα
Ἀκρότατον εἰσαναβᾶσ’ ἀπότομον,
Ἀνώρουσεν εἰς ἀνάγκαν·
Ὅθ’ οὐ ποδὶ χρησίμῳ χρῆται.
Τὸ καλῶς δ’ ἔχον πόλει πάλαισμα
Μήποτε λῦσαι θεὸν αἰτοῦμαι.

890. Μέγας ἐν τούτοις Θεὸς] ἐν τοῖς νόμοις μέγας ἐστὶν ὁ Θεός, τουτέστι] θεία δύναμις ϗ μεγάλη τοῖς νόμοις ἔνεστι. 892. Ὕβρις φυτεύει τύραννον] διὰ τῆς ὕβρεως φύεται ϗ ἀναιεῦται ὁ τύραννος. ὅταν (φησὶ) πολλὰ διαπράξηται, τότε εἰς μεγάλα ἐμπίπτει διὰ τῆς ὕβρεως ἐπαρθείς. ταῦτα μέν φησι περὶ τῆς Ἰοκάστης, ὅτι ἀνεπιτήδεια λέγει περὶ τῶν θείων νόμων. τὸν δὲ λόγον ποιοῦσι περὶ τῆς τυραννίδος, ἵνα μὴ δόξωσιν ἐμφανῶς αὐτὴν διελέγχειν. ὁ δὲ νοῦς, ὕβρις φυτεύει τύραννον, ὁπόταν πολλῶν ὑπερπλησθῇ μάτην, ἃ ἐστι μηδὲ ἐπίκαιρα, μηδὲ ἑαυτῷ ἐκείνῳ συμφέροντα. ἀσυνδέτως δὲ εἶπεν. ὕβρις (φησὶ) μηδὲν καίριον διαπραττομένη, εἰς δύσβατον ἀκρώρειαν ἀναβιβάσασα τοὺς χρωμένους αὐτῇ, κατεκρήμνισεν. ἢ οὕτως, ἀπότομον ὤρουσεν εἰς ἀνάγκην, ἤγουν εἰς τοῦτο ὥστε αὐτὸν εἰς ἀνάγκην γενέσθαι, ὑφ’ ἑτέρων κρατηθῆναι. 897. Ὅθ’ οὐ ποδὶ χρησίμῳ] ἀντὶ τοῦ, ἀχρήστους τὰς πορείας ποιεῖται. ϗ εἰ μὲν ἐπὶ τοῦ ὑπὸ ὕβρεως δυσσεβοῦντος, ἔσται οὕτως, οὐ βαδίζει ὀρθὴν ὁδὸν, οὐδὲ χρῆται τοῖς ποσὶ δεόντως· εἰ δὲ ἐπὶ τοῦ ὑπὸ ἀνάγκης βιαζομένου, οὐ χρῆται τοῖς αὐτοῖς ποσίν. 898. Πάλαισμα] ζήτησιν τοῦ φόνου τοῦ Λαΐου. 899. Μήποτε λῦσαι θεὸν αἰτοῦμαι.] ἀξιῶ τὸν θεὸν μὴ λῦσαι τὸ συμφέρον τῇ πόλει, ἐξ οὗ κρατεῖ τῶν ἀντιπάλων.

ΣΧΟΛ. ΤΡΙΚΛ. 892. Ὕβρις φυτεύει] ἤγουν ἡ ὑπεροψία ποιεῖ τύραννον. τοῦτ’ ἔστιν ἡ ὑπεροψία κακοὺς ϗ ἀνόμους (τοιοῦτοι γὰρ οἱ τύραννοι) ἐργάζεται τοὺς αὐτὴν ἔχοντας, ὥστε ϗ Ἰοκάστη ἐξ ὑπεροψίας τοῦ Ἀπόλλωνος ἠτίμασε λόγον. ἐὰν ὑπερπλησθῇ ἡ ὕβρις μάτην πολλῶν, ἃ οὐκ ἔστιν ἐπίκαιρα ϗ πρέποντα μηδὲ συμφέροντα τῷ αὐτὴν ἔχοντι, εἰς ἀκροτάτην ἀπότομον ϗ τραχεῖαν εἰσαναβᾶσα, ἤγουν εἰς ἄκρον κακίας

ἐλάσασα

Digitized by Google

Magnus in his ineſt Deus,
Neque ſenio obnoxius *marceſcit*.

ANTISTROPHE I.

Inſolentia parit Tyrannum; Inſolentia, (ubi
Multa temerè cumulavit ſupra modum,
Quæ nec opportuna, nec utilia ſunt)
Ad ſummum evecta faſtigium
Recidit in neceſſitatem,
Ubì non pede recto utitur.
Hoc autèm rectè ſe habens civitati certamen
Ne ſolvat unquàm, oro, Deus:

ἐλάσασα καὶ κορυφωθεῖσα, ἀνώρουσε καὶ ὥρμησε καὶ πέπλωκεν εἰς ἀνάγκην, ὅθι καὶ ὅπου οὐ χρῆται ποδὶ χρησίμῳ. τοῦτ' ἔστιν, ὑβρισταὶ καὶ ἄνομοι, ὁποία ἡ Ἰοκάστη, αὐξηθέντες εἰς ἄκρον, ἔπειτα εἰς τὴν τοιαύτην ἀνάγκην πίπτουσιν ὡς δυστυχῶς καὶ ἀθέως τὸν αἰῶνα διάγειν. εἴρηται δ' ἐκ μεταφορᾶς τῶν ἐκ κρημνοῦ πιπτόντων καὶ συντριβόντων τοὺς πόδας, ὡς μὴ δύνασθαι πορεύεσθαι. 898. Τὸ καλῶς δ' ἔχον πόλει πάλαισμα] ἤτοι τὴν περὶ τῶν συμφερόντων τῇ πόλει ἔρευναν, αἰτοῦμαι θεὸν, ἤτοι τὸν Ἀπόλλω, μὴ λῦσαι, ἀλλ' ἀεὶ ποιεῖσθαι, καθάπερ καὶ νῦν ἐπὶ τῷ τοῦ Λαΐου φόνῳ. οὐ λήξω καὶ παύσομαί ποτε ἔχων τὸν θεὸν προστάτην καὶ ἀντιλήπτορα. ἰστέον δ' ὅτι εἰς τὸ ἃ μὴ ἐπίκαιρα, τὸ ἃ εἰ μὲν πρὸς τὸ ὕβριν νοήσεις, μακρόν ἐστιν (οὕτω γὰρ καὶ τὸ τῆς ἀντιστροφῆς ἀπαιτεῖ κῶλον) εἰ δὲ πρὸς τὰ ἑξῆς, βραχύ. οὐ κωλύει δὲ καὶ βραχὺ εἶναι, ἐπεὶ τὸ κῶλον ἰαμβικόν ἐστιν. ἔτι ἰστέον ὅτι εἰ καὶ τὸ καλῶς ἐν πολλοῖς μακρὸν εὕρηται, ἐν γεμὴν τῷ, τὸ καλῶς δ' ἔχον πόλει, βραχύ ἐστι· καὶ δῆλον ἐκ τοῦ κώλου τῆς στροφῆς. ἔοικεν οὖν ἀμφοτέρους τοὺς χρόνους καὶ τοῦτο δέχεσθαι. ὃ καὶ κυρίως ἐγώ φημι δίχρονον, ὡς ἀμφοτέρους τοὺς χρόνους δεχόμενον. τοιοῦτον γὰρ καὶ τὸ ὑμεῖς καὶ τὸ ἀὴρ καὶ ὕδωρ καὶ ἱερὸς, καὶ τὰ τοιαῦτα. τὸ δὲ κακὸν ἀεὶ βραχὺ εὕρηται, καὶ οὐδέποτ' ἄλλως, εἰ καὶ ἐν τῷ, Κακά νιν ἕλοιτο μοῖρα, ἀντὶ μακροῦ ἔοικεν εἶναι, οὐ μήν ἐστιν.

SCHOL. INED. 892. Ὕβρις φυτεύει, ἤγουν καταφρόνησις καὶ ὑπερηφανία αὐξάνει βασιλέα ἐν ἑαυτῇ. δηλονότι ὕβρις εἴποτε ὁ τύραννος δηλονότι πολλῶν ὑπὲρ τὸ μέτρον πληρωθῇ ματαίως ἐκείνων ἃ μὴ εὔκαιρα μηδὲ συμφέροντα ἑαυτῷ. δηλονότι ἀναβάσασα εἰς ἀκρότατον ἀπότομον ἔρριψεν ἐκεῖθεν εἰς δυστυχίαν, ἔνθα οὐ πορείᾳ συμφερούσῃ καὶ ὠφελίμῳ χρῆται.

904. Δικας

Θεὸν οὐ λήξω ποτὲ
Προστάταν ἴσχων. —

Εἰ δέ τις ὑπέροπτα χερσὶν
Ἢ λόγῳ πορεύεται
Δίκας ἀφόβητος, οὐδὲ
Δαιμόνων ἕδη σέβων,
Κακά νιν ἕλοιτο μοῖρα,
Δυσπότμου χάριν χλιδᾶς,
Εἰ μὴ τὸ κέρδος κερδανεῖ δικαίως,
Καὶ τῶν ἀσέπτων ἕρξεται,
Ἢ τῶν ἀθίκτων ἕξεται ματάζων.
Τίς ἔτι ποτ' ἐν τούτοις ἀνὴρ
Θυμῷ βέλη ἕρξεται
Ψυχᾶς ἀμύνειν; εἰ γὰρ αἱ
Τοιαίδε πράξεις τίμιαι,

904. Δίκας ἀφόβητος] τὴν δίκην μὴ δεδοικώς. 907. Δυσπότμου χάριν χλιδᾶς.] ἕνεκα (φησὶ) τῆς ἀνοσίου τρυφῆς καὶ ὑπερηφανίας. ὑπὸ τρυφῆς γὰρ καὶ ἐπὶ τὰ αὐτὰ οἱ τύραννοι παραγίγνονται. 909. Καὶ τῶν ἀσέπτων] ὁ τοιοῦτος ἐν κακῇ εἴη μοίρᾳ, ὃς μὴ ἀφέξεται τῶν ἀσέπτων, ἢ ἕξεται τῶν ἀθίκτων. ὅ ἐστιν ὧν οὐ χρὴ ἔχεσθαι. Ib. Ἕρξεται,] παύσεται. ἐκτὸς ἔσται. Ἕξεται δὲ, ἀντὶ τοῦ ἐπιθυμήσει τῶν ἀσέπτων καὶ ἀθίκτων. 910. Ματάζων.] ματαιοφρονῶν. 911. Τίς ἔτι ποτ'] τίς ἔτι τῶν ἀδίκων ἀφέξεται, τῷ θυμῷ αὐτοῦ τὰς τῆς ψυχῆς κακίας ἀπελαύνων; ἢ, οὔτις ἂν ἀπελάσειεν αὐτοῦ τὴν τιμωρίαν τοιαῦτα πράττων.

ΣΧΟΛ. ΤΡΙΚΛ. 902. Εἰ δέ τις ὑπέροπτα χερσὶν] εἰ δέ τις πορεύεται καὶ διάγει ὑπέροπτα καὶ σοβαρὸς καὶ ἐν χερσὶ καὶ ἐν λόγῳ, (τοῦτ' ἔστι καὶ οἷς πράττει καὶ οἷς λέγει) ἀφόβητος τῆς θείας δίκης, οὐδὲ σέβων καὶ τιμῶν τὰ ἕδη καὶ εἴδωλα τῶν δαιμόνων, ἤτοι τοὺς θεοὺς, ἕλοιτο καὶ λάβοι νιν καὶ αὐτὸν κακὴ μοῖρα καὶ τύχη, χάριν καὶ ἕνεκα τῆς τρυφῆς, καὶ τῆς ὑπεροψίας ἣν πρὸς τοὺς θεοὺς ἔχει, τῆς δυσπότμου καὶ δυστυχοῦς. μέγιστον γὰρ ἀτύχημα ἡ ἀσέβεια. εἰ μὴ κερδανεῖ δικαίως τὸ κέρδος. ἤγουν, ἐὰν μὴ τὰ τῆς ὑπεροψίας ἆθλα δικαίως λάβῃ τιμωρηθεὶς. καὶ ἕρξεται

καὶ

Deo non desinam unquam
Præside niti.

### STROPHE II.

Si quis verò fastuose manibus
Dictisve incedit
Juris contemtor, nec
Deorum venerans sedes;
Mala illum occupet Parca
Propter infaustas delicias;
Si, *inquam*, lucrum non lucrabitur justum,
Nec ab impiis *factis* abstinet,
Aut non tangendis manus inferet demens.
Quis enim ultrà ex his viris
Ab animo jacula
Conscientiæ arcebit? si enim
Hæc *impia* facta honorem inveniunt,

ϗ κωλυθῇ τῶν ἀσέπτων ϗ ἀσεβῶν ἐγχειρημάτων. ἢ εἴρξεται ϗ κωλυθῇ πάλιν τῶν ἀθίκτων ϗ ἀπροσψαύστων, ϗ ὧν ὐδεὶς ἅπτεται ἀσεβῶν ἐγχειρημάτων, ματάζων ϗ ματαιοποιῶν. τίς ἄρα ἀνὴρ ἔτι ϗ εἰς τὸ ἑξῆς, ἐν τοῖσδε, ἤγουν ἐν τῷ μὴ τιμωρεῖσθαι τὺς κακὺς, εἴρξεται ϗ κωλυθήσεται τῆς κακίας, δηλονότι τῷ θυμῷ. ἤγουν οἴκοθεν. ὥστε ἀμύνειν ϗ ἀποστοβεῖν δι' εὐχῶν ϗ θυσιῶν τα βέλη τῆς ψυχῆς, ἤγουν τὰ ἁμαρτήματα; ἤγουν, ὐδεὶς τὺς κακὺς ὁρῶν ἀπαθεῖς, ἐπιστροφὴν ποιήσεται τῶν οἰκείων πλημμελημάτων, ϗ πρὸς τὺς θεὺς καταφεύξεται. 914. Εἰ γὰρ αἱ τοιαίδε πράξεις] ἤγουν, εἰ αἱ κακαὶ πράξεις τίμιαι ϗ καλαὶ, τί δεῖ με χορεύειν ϗ πανηγύρεις ἱστάναι τοῖς θεοῖς, αἰτύμενον τὰ λυσιτελῆ, ἐὰν μὴ ἁρμόσῃ πᾶσι τοῖς βροτοῖς τάδε χειρόδεικτα ϗ φανερά; τῦτ' ἔστιν, εἰ μὴ ἐπὶ ἑκάστῳ ἁρμοδίως παρέσται ἐκ τῶν θεῶν τὰ τῆς προαιρέσεως ἔπαθλα, τῷ μὲν κακῷ κακὰ, τῷ δ' ἀγαθῷ ἀγαθά· ἀλλὰ πάντες ἐπίσης μετέχοιεν τῶν θεῶν, ὐκέτι εἶμι ϗ πορεύσομαι ἐπὶ τον ἄθικτον ϗ σεβάσμιον ὀμφαλὸν τῆς γῆς, ἤγουν εἰς τὸν Ἀπόλλωνα, σέβων ϗ τιμῶν αὐτόν. ὐδὲ εἰς τὸν Ἀπόλλωνος ναὸν τὸν ἐν Ἀβαῖσι ϗ ἐν Λυκίᾳ (Ἀβαὶ γὰρ τόπος Λυκίας) ὐδ' εἰς τὴν Ὀλυμπίαν, ἤτοι τὸν Δία. ἀλλ'

Τί δεῖ με χορεύειν;

Οὐκέτι τὸν ἄθικτον εἶμι
Γᾶς ἐπ' ὀμφαλὸν σέβων,
Οὐδ' εἰς τὸν Ἀβαῖσι ναὸν,
Οὐδὲ τὰν Ὀλυμπίαν,
Εἰ μὴ τάδε χειρόδεικτα
Πᾶσιν ἁρμόσει βροτοῖς.
Ἀλλ' ὦ κρατύνων, εἴπερ ὄρθ' ἀκούεις,
Ζεῦ, πάντ' ἀνάσσων, μὴ λάθῃ
Σὲ τάν τε σὰν ἀθάνατον αἰὲν ἀρχάν.
Φθίνοντα δ' ὡς ἐμοὶ δοκεῖ,
Τὰ Λαΐου θέσφατ' ἐξ-
αίρουσιν ἤδη, κοὐδαμοῦ

ὦ Ζεῦ ὁ κρατῶν ϗ ἐξουσιάζων πάντα ϗ ἀνάσσων, εἴπερ ὀρθῶς Ζεῦ ἀκούεις ϗ ὀνομάζῃ, ὥσπερ οὖν εἶ, μήτε σε, μήτε τὴν σὴν ἀθάνατον αἰὲν ἀρχὴν λάθῃ τοῦτο, τὸ τοὺς κακοὺς τιμωρῆσθαι· ἀλλὰ μέχρις ἂν ἡ σὴ ἀρχὴ ἐπέχοι, κολάζοιντο οἱ κακοί. ἐξαίρουσι γὰρ ϗ ἐκβάλλουσι ϗ ἀτιμάζουσιν ἤδη ϗ νῦν, φθίνοντα ϗ ἀτιμαζόμενα τὰ παλαιὰ θέσφατα ϗ μαντεύματα τοῦ Λαΐου. τοῦτ' ἔστι, τὸν πάλαι δοθέντα παρ' Ἀπόλλωνος τῷ Λαΐῳ χρησμὸν, ὡς ὑπὸ παιδὸς τεθνήξεται, Ἰοκάστη νῦν ἀτιμάζει ϗ ψευδῆ οἴεται, ϗ οὐδαμῶς ὁ Ἀπόλλων ἐμφανὴς ὑπάρχει ἐν ταῖς τιμαῖς, ἀλλ' εἰς οὐδὲν τὰ ἐκείνου λογίζεται ϗ ἀτιμάζεται. ἔῤῥει δὲ ϗ ἐφθάρη ϗ καταπεφρόνηται τὰ θεῖα. ἰστέον δ' ὅτι τὸ τῆς ἀντιστροφῆς δέκατον κῶλον, τὸ φθίνοντα δ', ὡς ἐμοὶ δοκεῖ, ἐλλιπὲς ἦν πρὸς τὸ τῆς στροφῆς· διὸ ϗ προσετέθη παρ' ἐμοῦ, τὸ, ὡς ἐμοὶ δοκεῖ. ὅπως ὁλόκληρον ϗ τοῦτο γένηται. ϗ οἶμαι ὡς καλῶς προσετέθη· εἰ δέ τις βέλτιόν τι νοήσει, τοῦτο τιθήτω.

SCHOL. INED. 904. Καὶ ἀδεὴς διδασκάλου λέγεις ϗ τὸν ἄνθρωπον, ϗ ἄφοβος διδασκάλου, τὴν δίκην μὴ δεδοικώς. ἔξω τοῦ φόβου τῆς δίκης. 906. Ἀντὶ τοῦ εἴθε ἔλοι ἤγουν κατάσχοι. 910. Τὸ ἀξίωμα τῆς βασιλείας ὁ τύραννος. τὸ ϗ, ἀντὶ τῆς ἀλλά. τοιαῦτα μάταια ποιῶν, ματαιάζων.

916. Οἰ-

Quid attinet me choros ducere *sacros*?

ANTISTROPHE II.

Non ultrà ad impollutum eo
Terræ umbilicum veneraturus,
Neque, quod eſt Abis, delubrum
Neque Olympiam,
Si non *oracula*, ut digitis monſtrata,
Omnibus patebunt mortalibus.
At O qui imperas, ſi juſtas audis preces,
Jupiter, omnia regens, ne hæc lateant
Te tuumque immortale ſemper regnum.
Vetera enim, ut mihi videtur,
Laii oracula
Elevant jam, et nullis

916. Οὐκέτι τὸν ἄθικτον εἶμι] οὐκ ἔτι ἄπειμι πρὸς τὸν Ἀπόλλωνα, οὐδὲ πρὸς τὸν ἄχραντον καὶ ἀπροσπέλαστον αὐτοῦ ναόν. 918. Ἀβαῖσι ναὸν] Ἀβαὶ, τόπος Λυκίας ἔνθα ἱερόν ἐστιν Ἀπόλλωνος. ἢ διὰ τῶν Σαμίων, ὅτι καὶ ἐκεῖ μαντεύονται· ὡς καὶ Πίνδαρος. ἢ ἐπὶ τῶν πανηγύρεων· ὅτι καὶ τῶν τοιούτων ἀφίξομαι, εἰ μὴ ταῦτα φανερωθῶσιν. 921. Εἰ μὴ τάδε] εἰ μὴ ταῦτα τῶν χρησμῶν τὰ λεχθέντα ὑπὸ Ἰοκάστης, φανερὰ καὶ κατάδηλα γένηται, οὐκ ἔτι τιμήσω θεούς. 925. Φθίνοντα] ἀντὶ τοῦ παλαιά. παρεληλυθότα. γράφεται φθίνων· ἵν' ᾖ, μὴ λάθοι σε ὁ Λάϊος φθίνων, ἀλλὰ δείξαις αὐτοῦ τὸν θάνατον. τὰ γὰρ περὶ Λαΐου μαντεύματα ἐκβάλλουσι, καὶ οὐ παραδέχονται τὰ παρὰ τῶν θεῶν εἰρημένα, ὡς ἀληθῆ. 927. Ἐξαίρουσιν] ἀφανίζουσι. τὰ γὰρ ἐπὶ Λαΐῳ θεσπισθέντα ἐκφαυλίζεται ὑπὸ Ἰοκάστης, καὶ παραγράφεται, καὶ ψευδῆ νομίζεται.

SCHOL. INED. 916. Οὐκέτι ἐπὶ τὸν ἄψαυστον καὶ θεῖον ἐλεύσομαι γῆς ὀμφαλόν· ἤγουν τὴν Πυθίαν σέβων ἀντὶ τοῦ ἐπὶ τιμῇ. 918. Ἀβαὶ, τόπος Λυκίας, ἔνθα ἦν ἱερὸν τοῦ Ἀπόλλωνος. εἰ μὴ ταῦτα τοῦ χρησμοῦ φανερῶς διὰ τῶν χειρῶν δεικνύμενα. 922. Ἀντὶ τοῦ ὀρθῶς, ἀσφαλῶς. οἱ παλαιοὶ χρησμοὶ οἱ δοθέντες τῷ Λαΐῳ. 926. Ἀντὶ τοῦ καὶ ἐν οὐδενὶ φαίνεται ὁ Ἀπόλλων τιμώμενος.



930. Χώ-

Digitized by Google

Τιμαῖς Ἀπόλλων ἐμφανής·
Ἔρρει δὲ τὰ θεῖα.

Ιο. Χώρας ἄνακτες, δόξα μοι παρεστάθη
Ναοὺς ἱκέσθαι δαιμόνων, τάδ' ἐν χεροῖν
Στέφη λαβούσῃ κἀπιθυμιάματα.
Ὑψοῦ γὰρ αἴρει θυμὸν Οἰδίπους ἄγαν
Λύπαισι παντοίαισιν· οὐδ' ὁποῖ' ἀνὴρ
Ἔννους, τὰ καινὰ τοῖς πάλαι τεκμαίρεται.
Ἀλλ' ἐστὶ τοῦ λέγοντος, εἰ φόβους λέγοι.
Ὅτ' οὖν παραινοῦσ', οὐδὲν ἐς πλέον ποιῶ,
Πρός σ' ὦ Λύκει' Ἄπολλον (ἄγχιστος γὰρ εἶ)
Ἱκέτις ἀφῖγμαι τοῖσδε σὺν κατεύγμασιν,
Ὅπως λύσιν τιν' ἡμῖν εὐαγῆ πόροις.
Ὡς νῦν ὀκνοῦμεν πάντες, ἐκπεπληγμένον
Κεῖνον βλέποντες ὡς κυβερνήτην νεώς.—
Αγ. Ἆρ' ἂν παρ' ὑμῶν, ὦ ξένοι, μάθοιμ' ὅπου

930. Χώρας ἄνακτες.] ἄνακτάς φησι τοὺς τοῦ χοροῦ, οἳ βασιλικοὶ καὶ ἔντιμοι. 933. Ὑψοῦ γὰρ αἴρει] ἀντὶ τοῦ μετεωρίζεται τὴν ψυχὴν, καὶ ὑπερβαλλόντως ἄχθεται, πάντα λογιζόμενος, αὐτὸν τὸν φόνον, τὸ τὴν γυναῖκα ἔχειν τοῦ ἀνῃρημένου, τὴν προσδοκωμένην φυγὴν, τὸ μὴ δύνασθαι ἀναστρέψαι πρὸς τοὺς οἰκείους, τὸ δέος τῶν χρησμῶν. 934 Οὐδ' ὁποῖ' ἀνὴρ ἔννους,] οὐχ ὡς συνετὸς ἀνὴρ διὰ τῶν φθασάντων τὰ παρόντα γινώσκει. εἰ γὰρ ὁ ὑπὸ Ἀπόλλωνος δοθεὶς τῷ Λαΐῳ χρησμὸς ἠκύρωται, δῆλον ὅτι καὶ ἃ νῦν ἐμαντεύσατο ὁ Τειρεσίας, ψευδῆ ἐστιν. 936 Ἀλλ' ἐστὶ τοῦ λέγοντος,] μόνοις προσέχει τοῖς τὰ δεινὰ καὶ φοβερὰ ἀπαγγέλλουσι. τῶν δὲ παραμυθουμένων οὐκ ἀνέχεται. 938. Πρός σ' ὦ Λύκει' Ἄπολλον] Λύκειον, γυμνάσιόν ἐστιν Ἀθήνησιν ἔνθα Ἀπόλλων τιμᾶται. καὶ Καλλίμαχος,—" ἐγὼ δ' ᾔτησα Λυκείου Καλὸν ἀεὶ λιπόωντα κατὰ δρόμον Ἀπόλλωνος. ἄγχιστος οὖν, καθὸ οὐ πόρρω τῆς Ἀττικῆς αἱ Θῆβαι. ἢ καὶ ἐν Θήβαις ὁμώνυμον ἦν γυμνάσιον Λυκείου Ἀπόλλωνος. νῦν οὖν, οὐ τὸν ἐν Λυκίᾳ, ἀλλ' ἢ τὸν ἐν Θήβαις ἢ ταῖς πλησιοχώροις Ἀθήναις τιμώμενον. 943. Ἆρ' ἂν παρ' ὑμῶν] ἔρχεται ἄγγελος ἀπὸ Κορίνθου, ἀπαγγέλλων τὸν θάνατον Πολύβου, καὶ ἀντ' αὐτοῦ τύραννον τὸν Οἰδίποδα

αἱρεῖ-

Digitized by Google

Apollo honoribus ſplendet,
Intereunt verò divina.

IAMBI.

*Jo.* Terræ *bujus* principes, viſum eſt mihi)
Templa adire deorum, hiſce in manibus
Coronis ſumptis et incenſis.
Nimis enim ſuſpendit animum Oedipus
Curis variis, neque ut vir
Prudens nova ex veteribus conjicit.
Sed dicentis eſt totus, qui timorem dicit,
Quia ergò admonendo nihil proficio,
Ad te, O Lyceë Apollo (proximus enim es)
Supplex venio hiſce cum precibus,
Ut piam aliquam ſolutionem *ipſe* des *mali.*
Nam torpemus jam omnes, perculſum
Illum cernentes, uti gubernatorem navis.
*Nu.* Num a vobis, O hoſpites, diſcere licet, ubi

αἱρεῖσθαι. ὗτος δέ ἐστιν ὁ ἐκτεθέντα τὸν Οἰδίποδα εὑρὼν, καὶ δοὺς Πολύβῳ.

ΣΧΟΛ. ΤΡΙΚΛ. 935. Τὰ καινὰ τοῖς παλαι] ἤγουν, τοὺς νῦν χρησμοὺς διὰ τῶν παλαιῶν συμβάλλει, τῶν εἰρηκότων ὅτι Λάϊος ὑπὸ παιδὸς τεθνήξεται. 939. Σὺν κατεύγμασιν] ἤγουν, τοῖς κινοῦσι κατάπευσιν τῶν εὐχῶν. ἤγουν τοῖς θυμιάμασι καὶ ἀναθήμασιν. 940. Εὐαγῆ πόρους] ἤγουν, ἵνα λύσιν εὐαγῆ τῆς παρούσης ἀνάγκης τοῦ Οἰδίποδος παράσχῃς, ἤγουν ἁγνὴν καὶ ἱεράν. ἐναντίον δὲ τῷ εὐαγεῖ τὸ ἐναγές.

¶ Σχόλ. Τρικλ. 931. Χώρας ἄνακτ.] ἐξέλευσις Ἰοκάστης θυσίαν ποιησομένης ἐπὶ τοῖς συμβᾶσιν Οἰδίποδος. 943. Ἆρ' ἂν παρ'] ἄφιξις ἀγγέλου τινὸς ἐκ Κορίνθου, ἀπαγγέλλοντος τὸν θάνατον Πολύβου, καὶ μετακαλουμένου Οἰδίποδα ὥστε ἄρχειν τῆς χώρας.

SCHOL. INED. 932. Ἀντὶ τοῦ θυμιάματα. ὡς ἐπιβουκόλος ἀνήρ. 933. Αἴρει θυμὸν οὐκ ὀργῇ, ἀλλὰ λύπῃ. 935. Τοὺς νέους χρησμοὺς τεκμαίρεται ἤγουν συμβάλλει διὰ τῶν πάλαι ἤγουν πρὸ μακροῦ χρησμῶν. 939. Ἤγουν τοῖς κινοῦσιν εἰς συγκατάθεσιν τῶν εὐχῶν· ἤτοι τοῖς θυμιάμασι καὶ ἀναθήμασιν. 940. Ἱερὰν, ἁγνήν. τῷ εὐαγεῖ ἐναντίον ὁ ἐναγής.

947. Γυνὴ

Digitized by Google

Τὰ τοῦ τυράννου δώματ' ἐστὶν Οἰδίπου;
Μάλιστα δ' αὐτὸν εἴπατ', εἰ κάτισθ' ὅπου.
Χο. Στέγαι μὲν αἵδε· κἀυτὸς ἔνδον, ὦ ξένε.
Γυνὴ δὲ μήτηρ ἥδε τῶν κείνου τέκνων.
Αγ. Ἀλλ' ὀλβία τε καὶ ξὺν ὀλβίοις ἀεὶ
Γένοιτ' ἐκείνου γ' οὖσα παντελὴς δάμαρ.
Ιο. Αὔτως δὲ καὶ σύ γ' ὦ ξέν'. ἄξιος γὰρ εἶ
Τῆς εὐεπείας οὕνεκ'. ἀλλὰ φράζ' ὅτου
Χρῄζων ἀφῖξαι, χὤ, τι σημῆναι θέλων.
Αγ. Ἀγαθὰ δόμοις τε καὶ πόσει τῷ σῷ γύναι.
Ιο. Τὰ ποῖα ταῦτα; πρὸς τίνος δ' ἀφιγμένος;
Αγ. Ἐκ τῆς Κορίνθου· τὸ δ' ἔπος ὃ 'ξερῶ τάχα,
Ἥδοιο μέν· πῶς δ' οὐκ ἄν; ἀσχάλλοις δ' ἴσως.
Ιο. Τί δ' ἐστι; ποίαν δύναμιν ὧδ' ἔχει διπλῆν;
Αγ. Τύραννον αὐτὸν οὑπιχώριοι χθονὸς
Τῆς Ἰσθμίας στήσουσιν, ὡς ηὐδᾶτ' ἐκεῖ,
Ιο. Τί δ' οὐχ ὁ πρέσβυς Πόλυβος ἐγκρατὴς ἔτι;
Αγ. Οὐ δῆτ'· ἐπεί νιν θάνατος ἐν τάφοις ἔχει.
Ιο. Πῶς εἶπας; ἦ τέθνηκέ που Πόλυβος γέρων;
Αγ. Εἰ μὴ λέγω τἀληθές, ἀξιῶ θανεῖν.

947. Γυνὴ δὲ μήτηρ] κἀνταῦθα ἔθηκε τὸ ἀμφίβολον, ὃ τέρπει τὸν ἀκροατήν. 949. Ἐκείνου γ' οὖσα παντελὴς δάμαρ.] τοῦτο πρὸς τὸ, γυνή τε μήτηρ τε τῶν κείνου τέκνων. τοῦτο γὰρ τέλειον ἐν γάμῳ. ὅθεν καὶ ἐκ τοῦ ἐναντίου Ὅμηρός φησι, Καὶ δόμος ἡμιτελής. 956. Ἥδοιο μὲν] διὰ μὲν τὸ εὖ πράσσειν, καὶ ἑτέρας ἀρχῆς ἀντιλαβέσθαι, ἡσθήσεσθαί φησιν αὐτήν· ἀσχαλεῖν δὲ δὴ τῷ ἀπιέναι Οἰδίπουν ἐπὶ τὰ οἰκεῖα. 958. Τύραννον αὐτὸν] πιθανῶς ὁ ἄγγελος τὰ ἡδέα πρῶτον ἀπαγγέλλει, πρὶν εἰπεῖν τὰ περὶ θανάτου. 959. Τῆς Ἰσθμίας] τῆς Κορινθίας. ἐκεῖσε γὰρ ὁ Ἰσθμός.

ΣΧΟΛ. ΤΡΙΚΛ. 949. Παντελὴς δάμαρ.] τελεία, νόμιμος· οὕτως, εἰ πρὸς τὸ δάμαρ συνάψεις· εἰ δὲ πρὸς τὸ ὀλβία, τελεία μόνον.

956.

Digitized by Google

Tyranni sit Oedipi regia.
Quin magis ipse sit ubi dicite, si scitis.

*Ch.* Hæc *illius* quidem tecta; et ipse intus, O hospes.
Fæmina autem hæc ejus liberorum mater.

*Nu.* Sit et ipsa beata, et cum beatis usque
Versetur, illius cùm sit perfecta conjunx.

*Jo.* Similiter et tu O hospes *sis beatus*: dignus enim es
Bona ob verba; sed dic cujus rei
Causâ venisti, et quid nunciaturus.

*Nu.* Bona domuique et marito tuo, mulier.

*Jo.* Quænam illa *sunt*? et unde *nobis* advenis?

*Nu.* *Adsum* e Corintho. Sermo verò, quem eloquar protinus [tristis.
Jucundus tibi sit (quidni enim?) tamen et forsan

*Jo.* Quid rei est? quam duplicem sic obtinet vim?

*Nu.* Regem ipsum cives terræ
Isthmiæ creabunt, ut illic ferebatur.

*Jo.* Quid? an non senex Polybus *eam* adhuc obtinet?

*Nu.* Non sanè. quoniam illum mors in sepulchrum condidit.

*Jo.* Quid ais? mortuusne ergo est Polybus senex?

*Nu.* Si non vera dico, mori cupio.

956. Ἥδοιο μὲν] εὐφρανθείης μὲν διότι ὁ σὸς πόσις καὶ ἑτέρας βασιλείας ἐγκρατὴς μέλλει γενήσεσθαι· λυπηθείης δὲ εἰ τὸν τοῦ σοῦ κηδεστοῦ θάνατον ἀκούσαις. 959. Τῆς Ἰσθμίας] τῆς Κορινθίας, τῆς ἐν τῷ ἰσθμῷ τῆς Πελοποννήσου κειμένης.

SCHOL. INED. 944. Οἰδίπους Οἰδίποδος γράφεται· εἰπέ μοι τὸν Πολύδωρον εἰ ζῇ. 950. Τοῦ εἴη ὄλβιος. 956. Ἀλγοίης δ' ἄν. 958. Οἱ ἐπιχώριοι. τὸ ο καὶ ε, εἰς τὴν ου διαφθείρεται ἐκβολῇ τοῦ ι. 959. Καταλαξουσι· καταστήσουσιν. 960. Οὐκέτι ἐστὶν ἐγκρατὴς ὁ γηραιὸς Πόλυβος. 961. Οὐδαμῶς. οὐκ ἔστι. 962. Ἆρα καὶ ἡ αὐτὸ τοῦ ὄντως.



Digitized by Google

Ιο. Ὦ πρόσπολ', οὐχὶ δεσπότῃ τάδ' ὡς τάχος
Μολοῦσα λέξεις; ὦ θεῶν μαντεύματα,
Ἵν' ἐστέ· τοῦτον Οἰδίπους πάλαι τρέμων
Τὸν ἄνδρ' ἔφευγε μὴ κτάνῃ· καὶ νῦν ὅδε
Πρὸς τῆς τύχης ὄλωλεν, οὐδὲ τοῦδ' ὕπο.—
Οἰ. Ὦ φίλτατον γυναικὸς Ἰοκάστης κάρα,
Τί μ' ἐξεπέμψω δεῦρο τῶνδε δωμάτων;
Ιο. Ἄκουε τἀνδρὸς τοῦδε, καὶ σκόπει κλύων
Τὰ σέμν' ἵν' ἥκει τοῦ θεοῦ μαντεύματα.
Οἰ. Οὗτος δὲ τίς ποτ' ἐστὶ, καὶ τί μοι λέγει;
Ιο. Ἐκ τῆς Κορίνθου, πατέρα τὸν σὸν ἀγγελῶν
Ὡς οὐκέτ' ὄντα Πόλυβον, ἀλλ' ὀλωλότα.
Οἰ. Τί φῄς, ξέν'; αὐτός μοι σὺ σημάντωρ γενοῦ.
Αγ. Εἰ τοῦτο πρῶτον δεῖ μ' ἀπαγγεῖλαι σαφῶς,
Εὖ ἴσθ' ἐκεῖνον θανάσιμον βεβηκότα.
Οἰ. Πότερα δόλοισιν, ἢ νόσου ξυναλλαγῇ;
Αγ. Σμικρὰ παλαιὰ σώματ' εὐνάζει ῥοπή.
Οἰ. Νόσοις ὁ τλήμων ὡς ἔοικεν ἔφθιτο.
Αγ. Καὶ τῷ μακρῷ γε συμμετρούμενος χρόνῳ.
Οἰ. Φεῦ φεῦ, τί δῆτ' ἂν, ὦ γύναι, σκοποῖτό τις

964. Ὦ πρόσπολ.] θεραπαινίδι κελεύει τοῦτο ἡ Ἰοκάστη. ἀσμένως γὰρ ἀκήκοε τὰ περὶ τοῦ θανάτου, ἵνα πάλιν ἀνατρέψῃ τὰ μαντεύματα. οὐδὲ γὰρ τὸν Οἰδίποδα τοῦτον δεδοικότα. 966. Ἵν' ἐστέ] ὅπου ἐστέ. καὶ ἔγκειται παιδευτικόν τι τῷ δράματι. ὡς οὐ δεῖ καταφρονεῖν τῶν θείων. οἱ γὰρ τοιαῦτα φθεγξάμενοι, μετ' ὀλίγον φανήσονται οἷοί εἰσι 971. Σκόπει κλύων] δοκίμαζε. 977. Εἰ τοῦτο πρῶτον δεῖ μ' ἀπαγγέλλειν] ἠθικῶς ὁ ἄγγελος οὐχ ὡς ἀπὸ τούτων θέλων ἄρξασθαι. ἀλλ' ἀπὸ τῶν ἡδέων. 979. Ξυναλλαγῇ;] κοινωνίᾳ νόσου ἀντὶ τοῦ ὑπὸ νόσου. 980. Σμικρὰ παλαιὰ] ἡ τυχοῦσα πρόφασις ἐξαρκεῖ ὥστε τὸ παλαιὸν σῶμα ἐξενεγκεῖν τοῦ βίου. 980. Εὐνάζει] κατακοιμίζει. 982. Καὶ τῷ μακρῷ γε] τοῦτο ὁ ἄγγελός φησιν ὡς παραμυθούμενος, ὅτι μακραίων ἀπέθανε, καὶ οὐ δεῖ ἐπ' αὐτῷ ἀπολοφύρεσθαι.

¶ Σχημ.

*Jo.* Famula, quid cessas domino hæc quam celerrimè
Profecta dicere? O deorum oracula
Ubi estis? Hunc Oedipus olim metuens
Virum ne occideret abiit exul: et nunc ille
Fato priùs interiit, nec ab hoc omnino.
*Oe.* O charissimum conjugis Jocastæ caput,
Quid me foras evocasti huc ex ædibus?
*Jo.* Audi hunc virum: et cum perceperis considera
Veneranda quò redierunt Dei oracula.
*Oe.* At hic quis est tandem? et mihi quid nunciat?
*Jo.* Venit ex Corintho, patrem tuum nunciaturus
Non amplius vivere Polybum, sed *esse* mortuum.
*Oe.* Quid dicis, hospes? Tu ipse mihi *rem* indica.
*Nu.* Si hoc primum oportet me disertè dicere,
Scito eum per montem abiisse *ad inferos*.
*Oe.* Dolisne an morbi *alicujus* commercio?
*Nu.* Parvum momentum vetera sopit corpora.
*Oe.* Morbis, ut videtur, miser consumptus est.
*Nu.* Et longo etiam, quod emensus est, temporis spatio.
*Oe.* Heu, heu! quid ergò, uxor, respiciat aliquis

¶ Σχήμ. Τρικλ. 980. Σμικρὰ παλαιὰ] γνωμικόν. 983. Φεῦ φεῦ] εὐθυμία Οἰδίποδος ἀκούσαντος φυσικῷ θανάτῳ τεθνηκέναι τὸν Πόλυβον. καὶ ἀναζήτησις τοῦ οἰκείου γένους.

SCHOL. INED. 966. Ἐκ μακροῦ φοβούμενος. Τοῦτον τὸν ἄνδρα φοβούμενος ὁ Οἰδίπους ἐκ μακροῦ ἵνα μὴ κτάνῃ ἔφευγεν, ἤγουν ἀποδήμει ἐξόριστος ἐγίνετο. 969. Ἀντὶ τοῦ, ὦ φιλτάτη Ἰοκάστη. 970. Ἐκ τῶνδε τῶν δωμάτων. 972. Ἤγουν τὰ μάτην τιμώμενα. 974. Ἀγγείλας, μηνύσας ἐν θανάτῳ ὄντα. νεκρὸν ὄντα. 980. Σμικρὰ ῥοπὴ ἤγουν βάρος εὐνάζει ἤγουν καταστρέφει παλαιὰ σώματα τουτέστι πολυχρόνια. καταστρέφει, κατακοιμίζει. 982. Καὶ νόσοις, καὶ τῷ ἐπιπολὺ παραλειπομένῳ χρόνῳ συμπαραλειπόμενος.



Digitized by Google

Τὴν πυθόμαντιν ἑςίαν, ἢ τοὺς ἄνω
Κλάζοντας ὄρνις, ὧν ὑφηγητῶν, ἐγὼ
Κτανεῖν ἔμελλον πατέρα τὸν ἐμόν; ὁ δὲ, θανὼν
Κεύθει κάτω δὴ γῆς. ἐγὼ δ᾽ ὅδ᾽ ἐνθάδε,
Ἄψαυςος ἔγχους, εἴ τι μὴ τῷ ᾽μῷ πόθῳ
Κατέφθιθ᾽. οὕτω δ᾽ ἂν θανὼν εἴη ᾽ξ ἐμοῦ.
Τάδ᾽ οὖν παρόντα συλλαβὼν θεσπίσματα,
Κεῖται παρ᾽ ἅδῃ Πόλυβος, ἄξι᾽ οὐδενός.
Ιο. Οὔκουν ἐγὼ σοι ταῦτα προὔλεγον πάλαι;
Οἰ. Ηὔδας· ἐγὼ δὲ τῷ φόβῳ παρηγόμην.
Ιο. Μὴ νῦν ἔτ᾽ αὐτῶν μηδὲν ἐς θυμὸν βάλῃς.
Οἰ. Καὶ πῶς τὸ μητρὸς λέκτρον οὐκ ὀκνεῖν με δεῖ;
Ιο. Τί δ᾽ ἂν φοβοῖτ᾽ ἄνθρωπος, ᾧ τὰ τῆς τύχης
Κρατεῖ, πρόνοια δ᾽ ἐςὶν οὐδενὸς σαφής;
Εἰκῆ κράτιςον ζῆν ὅπως δύναιτό τις.
Σὺ δ᾽ εἰς τὰ μητρὸς μὴ φοβοῦ νυμφεύματα.
Πολλοὶ γὰρ ἤδη κἀν ὀνείρασι βροτῶν
Μητρὶ ξυνευνάσθησαν. ἀλλὰ ταῦθ᾽ ὅτῳ

985. Ὧν ὑφηγητῶν.] ὑφ᾽ ὧν μαντείαν δεχόμενος, τῶν ὀρνεοσκόπων καὶ μάντεων. 987. Κεύθει κάτω δὴ γῆς.] ἀντὶ τοῦ κεύθεται, κρύπτεται. καὶ ἐν Ἀντιγόνῃ. " Μητρὸς δ᾽ ἐν ᾅδου καὶ πατρὸς κεκευθότοιν. Ib. Ἐγὼ δ᾽ ὅδ᾽ ἐνθάδε,] ἐγὼ ὁ ἐνταῦθα ὢν, οὐκ ἔλαβον δόρυ, ἵνα αὐτὸν ἀποκτείνω. εἰ μή τις εἴποι ὅτι τάχα διὰ τὸν ἐμὸν πόθον ἀπέθανεν. 989. Οὕτω δ᾽ ἂν θανὼν] τοῦτο ὡς ἐπιμωκώμενος φησί. δῆλον δὲ ἐκ τῶν ἑξῆς. ὁ γὰρ Πόλυβος τὰ παλαιὰ θεσπίσματα (φησὶ) παραλαβὼν μηδενὸς ἄξια, κεῖται παρὰ τῷ ᾅδῃ. 995. Καὶ πῶς τὸ μητρὸς] περὶ τοῦ λείποντος εὐλαβεῖται, τοῦ μιχθῆναι τῇ μητρί. 996. Ὧ τὰ τῆς τύχης κρατεῖ,] ᾧ ἡ τύχη δεξιῶς ἔχει. ἀντὶ τοῦ, τῆς ἀγαθῆς τύχης ἐπικρατούσης. 997. Πρόνοια] πρόγνωσις. 998. Εἰκῆ κράτιςον] καλὸν τὸ ζῆν ἀλόγως.

ΣΧΟΛ. ΤΡΙΚΛ. 990. Τὰ δ᾽ οὖν παρόντα] ἤγουν, ἀλλὰ τοὺς ἐνταῦθα διδομένους χρησμοὺς μεθ᾽ ἑαυτοῦ λαβὼν ὁ Πόλυβος ἀξίους οὐδενὸς, κεῖται παρὰ τῷ ᾅδῃ, ἤγουν ἐν τῷ ᾅδῃ. 998. Εἰκῆ κράτιςον ζῆν]

ἤγουν

Fatidicas Delphis aras, aut in æthere
Clangentes aves, quibus auctoribus ego [tuus
Peremturus eram patrem meum ? Ille verò mor-
Conditus est jam sub terrâ, atque ego hîc sum,
Nullo in eum ense stricto; nisi forte mei desiderio
Contabuit, adeoque sic a me occisus dici possit.
Sed quæ data sunt simul *omnia* auferens oracula
Jacet apud inferos Polybus, nullius pretii *oracula.*
*Jo.* Annon ego ista tibi prædixi pridèm ?
*Oe.* Dixisti. at ego metu transversus agebar.
*Jo.* Ne post igitur horum aliquid in animum admiseris.
*Oe.* Et quomodo matris thalamum non me fugere o-
*Jo.* Quid metuere debeat homo, cui fortuna [portet ?
Cedit dextrè ? Providentia autem nullius rei est
Temerè optimum est vivere, ut quisq. possit. [certa.
Tu verò propter matris ne vereare thalamum,
Multi enim jam per somnium mortalium
Cum matre concubuere: sed ista qui

ἤγουν ἁπλῶς καὶ ἀφροντίστως, καὶ μὴ πρὸς μαντείας ὁρᾷν.

Σχήμ. Τρικλ. 996. Τί δ' ἂν φοβ.] γνωμικόν. 1000. Πολλοὶ γὰρ] γνωμικόν.

SCHOL. INED. 984. Τὴν ἑστίαν τῆς μαντικῆς Πυθοῦς. 988. Ἄψαυστος κυρίως ὁ μὴ δυνάμενος ψαύεσθαι ὑπό τινος ἢ ἀψάμενος ἔγχους ἐπ' αὐτῷ. Ἄψαυστος ὁ μὴ δυνάμενος ψαύεσθαι, ἐνταῦθα δὲ ἄψαυστος, ὁ μὴ ἀψάμενος ἐπὶ ἐνεργείας. ἀπὸ τοῦ πρὸς ἐμὲ πόθου, ἐξαιτίας ἐμοῦ. τοὺς ἐνταῦθα διδομένους χρησμούς. Ἄλλως δὲ τὰ παρόντα θεσπίσματα, ἤγουν τοὺς ἐνταῦθα διδομένους χρησμοὺς συλλαβὼν ὁ Πόλυβος, ἤγουν μεθ' ἑαυτοῦ λαβὼν ἀξίους οὐδενὸς κεῖται παρὰ τῷ ᾅδῃ· ἤγουν ἐν τῷ ᾅδῃ. 994. Μηκέτι νῦν μηδὲν ἀπ' αὐτῶν βάλῃς εἰς θυμόν· ἤγουν εἰς τὸν λογισμόν. 995. Καὶ κατά τινα τρόπον δεῖ. ἤγουν πρέπον ἐστίν. οὐκ ὀκνεῖν ἤγουν φοβεῖσθαί με τὸ λέκτρον τῆς μητρὸς, ἤγουν τὴν μετὰ τῆς μητρὸς συνάφειαν. 996. Τὰ τῆς εὐτυχίας· ἤγουν ἡ εὐτυχία. προνοοῦμαι τὸ ὑπέρ τινος νοῶ.



Digitized by Google

Παρ' οὐδέν ἐστι, ῥᾷστα τὸν βίον φέρει.—
Οἰ. Καλῶς ἅπαντα ταῦθ' ἂν ἐξείρητό σοι,
Εἰ μὴ 'κύρει ζῶσ' ἡ τεκοῦσα· νῦν δ' ἐπεὶ
Ζῇ, πᾶσ' ἀνάγκη, κεἰ καλῶς λέγεις, ὀκνεῖν.
Ἰο. Καὶ μὴν μέγας ὀφθαλμὸς οἱ πατρὸς τάφοι.
Οἰ. Μέγας, ξυνίημ'· ἀλλὰ τῆς ζώσης φόβος.
Αγ. Ποίας δὲ καὶ γυναικὸς ἐκφοβεῖσθ' ὕπερ;
Οἰ. Μερόπης, γεραιὲ, Πόλυβος ἧς ᾤκει μέτα.
Αγ. Τί δ' ἔστ' ἐκείνης ὑμῖν ἐς φόβον φέρον;
Οἰ. Θεήλατον μάντευμα δεινὸν, ὦ ξένε.
Αγ. Ἦ ῥητὸν, ἢ οὐ θεμιτὸν ἄλλον εἰδέναι;
Οἰ. Μάλιστά γ'. εἶπε γάρ με Λοξίας ποτὲ
Χρῆναι μιγῆναι μητρὶ τῇ 'μαυτοῦ, τό, τε
Πατρῷον αἷμα χερσὶ ταῖς ἐμαῖς ἑλεῖν.
Ὧν οὕνεχ' ἡ Κόρινθος ἐξ ἐμοῦ πάλαι
Μακρὰν ἀπῳκεῖτ'· εὐτυχῶς μὲν, ἀλλ' ὅμως
Τὰ τῶν τεκόντων ὄμμαθ' ἥδιστον βλέπειν.—
Αγ. Ἦ γὰρ τάδ' ὀκνῶν, κεῖθεν ἦσθ' ἀπόπτολις;
Οἰ. Πατρός τε χρήζων μὴ φονεὺς εἶναι, γέρον.
Αγ. Τί δῆτ' ἔγωγ' οὐ τοῦδε τοῦ φόβου σ' ἄναξ,
Ἐπείπερ εὔνους ἦλθον, ἐξελυσάμην;
Οἰ. Καὶ μὴν χάριν γ' ἂν ἀξίαν λάβοις ἐμοῦ.
Αγ. Καὶ μὴν μάλιστα τοῦτ' ἀφικόμην, ὅπως

1006. Καὶ μὴν μέγας ὀφθαλμὸς] ὄψις καὶ τεκμήριον τοῦ μὴ τὰ κατὰ τὴν μητέρα ἀποβήσεσθαι, ἡ πατρὸς τελευτή. 1024. Καὶ μὴν μάλιστα τοῦτ' ἀφικόμην] ἦγον διὰ τοῦτο.

¶ Σχήμ. Τρικλ. 1012. Ἦ οὐ θεμ.] συνίζησις. 1018. Τὰ τῶν τ.] γνωμικόν.

SCHOL. INED. 1002. Ἐν οὐδενὸς μοίρᾳ· κατ' οὐδέν.

1008.

Nihili esse ducit, facillimè vitam agit.

*Oe.* Rectè hæc omnia tibi dicta forent,
Si non *adhuc* viveret genitrix; at quando jam
Vivit, licet rectè loquaris, omnino cavendum est.

*Jo.* Atqui magnus *est* oculus sepulchrum patris.

*Oe.* Magnus, intelligo: at quamdiu vivit, metûs est [causa.

*Nu.* Quâ autèm de muliere ità perterriti estis?

*Oe.* Merope, O senex, quâcum Polybus habitavit.

*Nu.* Quid est, unde ea vos in metum conjicit?

*Oe.* Divinum *et* atrox oraculum, O hospes.

*Nu.* Potestne dici? an nefas est alterum scire?

*Oe.* Imò maximè. dixit enim Loxias olim
*Fore ut* concumberem cum meâ ipsius matre, et
Paternum sanguinem manibus meis haurirem.
Quapropter Corinthus a me olim
Procul derelicta est, feliciter sane, sed tamèn
Parentum oculos suavissimum est cernere.

*Nu.* An ista metuens inde abiisti exul?

*Oe.* Patrisq. cavens ne occisor essem, senex.

*Nu.* Cur igitur ego te hoc a timore, O Rex,
Benevolus cum tibi advenerim, non libero?

*Oe.* Atqui gratiam dignam *meritis* a me acceperis.

*Nu.* Profectò hanc maximè ob causam veni, ut,

1008. Ὑπὲρ ποίας δὴ γυναικὸς, ἤγουν ἕνεκα ποίας γυναικὸς φοβεῖσθε. 1009. Μεθ' ἧς ᾤκει ὁ Πόλυβος. 1012. Ἆρα δυνατὰ ῥηθῆναι; ῥητὸν δηλονότι. τὸ μάλιστα συγκατάθεσιν σημαίνει. 1015. Ἐξελεῖν, ἰσχύσαι· ἤγουν φονεῦσαι τὸν πατέρα. 1019. Ἀπὸ τῆς Κορίνθου. 1020. Καὶ ταῦτα φοβούμενος καὶ θέλων μὴ φονεὺς εἶναι τοῦ πατρός. 1023. Χάρις ἡ εὐχαριστία καὶ ἡ δωρεά. διὰ τοῦτο ἢ εἰς τοῦτο.

1025. Σοῦ

Σοῦ πρὸς δόμους ἐλθόντος, εὖ πράξαιμί τι.
Οἰ. Ἀλλ' οὔποτ' εἶμι τοῖς φυτεύσασίν γ' ὁμοῦ.
Αγ. Ὦ παῖ, καλῶς εἶ δῆλος οὐκ εἰδὼς τί δρᾷς.
Οἰ. Πῶς, ὦ γεραιέ; πρὸς θεῶν δίδασκέ με.
Αγ. Εἰ τῶνδε φεύγεις οὕνεκ' εἰς οἴκους μολεῖν.
Οἰ. Ταρβῶ γε μή μοι Φοῖβος ἐξέλθῃ σαφής.
Αγ. Ἦ μὴ μίασμα τῶν φυτευσάντων λάβῃς;
Οἰ. Τοῦτ' αὐτὸ, πρέσβυ, τοῦτό μ' εἰσαεὶ φοβεῖ.
Αγ. Ἆρ' οἶσθα δῆτα πρὸς δίκης οὐδὲν τρέμων;
Οἰ. Πῶς δ' οὐχὶ, παῖς γ' εἰ τῶνδε γεννητῶν ἔφυν;
Αγ. Ὁθ' οὕνεκ' ἦν σοι Πόλυβος οὐδὲν ἐν γένει.
Οἰ. Πῶς εἶπας; οὐ γὰρ Πόλυβος ἐξέφυσέ με;
Αγ. Οὐ μᾶλλον οὐδὲν τοῦδε τἀνδρὸς, ἀλλ' ἴσον.
Οἰ. Καὶ πῶς ὁ φύσας ἐξ ἴσου τῷ μηδενί;
Αγ. Ἀλλ' οὔ σ' ἐγείνατ' οὔτ' ἐκεῖνος, οὔτ' ἐγώ.
Οἰ. Ἀλλ' ἀντὶ τοῦ δὴ παῖδά μ' ὠνομάζετο;
Αγ. Δῶρόν ποτ' ἴσθι τῶν ἐμῶν χειρῶν λαβών.
Οἰ. Κᾆθ' ὧδ' ἀπ' ἄλλης χειρὸς ἔστερξεν μέγα;
Αγ. Ἡ γὰρ πρὶν αὐτὸν ἐξέπεισ' ἀπαιδία.
Οἰ. Σὺ δ' ἐμπολήσας ἢ τεκών μ' αὐτῷ δίδως;
Αγ. Εὑρὼν ναπαίαις ἐν Κιθαιρῶνος πτυχαῖς.

1025. Σοῦ πρὸς δόμους ἐλθόντος,] ἀντὶ τοῦ εἰς Κόρινθον. 1027. Ὦ παῖ, καλῶς] ἀντὶ τοῦ περιφανῶς. 1033. Ἆρ' οἶσθα δῆτα] ἆρα οἶσθα ὅτι ἀδίκως εὐλαβῇ; 1034. Τῶνδε γεννητῶν] τῶν γεγεννηκότων. 1035. Ὁθ' οὕνεκ' ἦν σοι Πόλυβος οὐδ.] ὅτι οὐδέν σοι διαφέρει κατὰ γένος ὁ Πόλυβος. 1038. Ἐξ ἴσου τῷ μηδενὶ] τῷ ἠλλοτριωμένῳ καὶ μὴ οἰκείῳ. ἔτι γὰρ Πολύβου νομίζει ἑαυτόν. 1039. Ἀλλ' οὔ σ' ἐγείνατ' οὔτ' ἐκεῖνος, οὔτ' ἐγώ.] ὥσπερ οὐ γέγονας ἐξ ἐμοῦ, οὕτως οὐδὲ ἐκ Πολύβου. 1042. Κᾆθ' ὧδ' ἀπ' ἄλλης] ἴδιον τῶν ἐν παραδόξοις ἀκούσμασι, τὸ αὐτὸ πολλάκις ἐπερωτᾷν. 1044. Σὺ δ' ἐμπολήσας] ὅ ἐστιν ἀγοράσας. δηλοῖ δὲ ἡ λέξις καὶ τὸ εὑρών.

SCHOL.

Meo tuas ad ædes adventu, aliquid benè facerem.
*Oe.* At nunquàm parentes aditurus ſum meos.
*Nu.* O Filî, manifeſtè apparet te neſcire quid agis.
*Oe.* Quomodo, O ſenex? per deos doce me.
*Nu.* Si ob hæc fugis domum redire.
*Oe.* Metuo ſanè ne mihi Phœbus evadat veridicus.
*Nu.* An *metuis*, nequid piaculi a parentibus contrahas?
*Oe.* Hoc ipſum, ſenex, hoc me ſemper territat.
*Nu.* Noſtin' denique te non cum jure metuere? [ſum.
*Oe.* Quidni *cum jure?* Siquidem his parentibus natus
*Nu.* Quia *nempe* Polybus te nihil attingat genere.
*Oe.* Quid narras? annon Polybus me genuit? [*terq.*
*Nu.* Nihilo magis *te genuit* quàm hic vir, ſed æquè u-
*Oe.* At quomodo qui genuit par ſit non gignenti?
*Nu.* At neque te genuit ille, neque ego.
*Oe.* Quare igitur me filium nominabat?
*Nu.* Dono te olim meis a manibus eum accepiſſe ſcito:
*Oe.* Siccine me ab aliâ *acceptum* manu amavit?
*Nu.* Priſtina nam illi hoc perſuaſerat liberorum ino-
pia. [ei dediſti?
*Oe.* Tu verò emptum me *aliunde*, an genitum ex te
*Nu.* *Dedi* inventum nemoroſis Cithæronis in receſſibus.

SCHOL. INED. 1026. Ὁμῦ εἰμι, ἤγυν συναναςραφήσομαι. 1029. Εἰ φεύγεις διὰ τὰς αἰτίας ταύτας ἃς προέτεινας εἰς οἴκους μολεῖν. 1030. Ἵνα μὴ ὁ Φοῖβος ἀντὶ τῦ οἱ χρησμοὶ τῦ Φοίβυ τελεσθῶσιν ἀληθεῖς. γεννητὸς, ὁ γεγεννημένος. 1023. Ἀντὶ τῦ γεννήτορος, πατρῶν ἐγενόμην. 1035. Ὅτι ὐδὲν ἦν σοι ἐν γένει ὁ Πόλυβος, ἀντὶ τῦ ὐδαμῶς ἦν σοι κατά τι ἐν γένει. 1037. Οὐ μᾶλλον· ὐδαμῶς κατ' ἐπίτασιν τῆς ἀρνήσεως· τῦδ' ἀνδρὸς ἤγυν ἐμῦ κατ' ἴσον. 1040. Ὠνόμαζέ με παῖδα. 1042. Ἠγάπησε μεγάλως. 1045. Ἤγυν ἐν τοῖς ὀρεινοῖς κοιλώμασι τῦ Κιθαιρῶνος. ἐπὶ ποίῳ σκοπῷ; ἐπιςαθῶ ἢ ἐπιςαλεύω, δύλικῇ.

1048.

Οἰ. Ὁδοιπόρεις δὲ πρὸς τί τούσδε τοὺς τόπους;
Αγ. Ἐνταῦθ᾽ ὀρείοις ποιμνίοις ἐπεστάτουν.
Οἰ. Ποιμὴν γὰρ ἦσθα, κἀπὶ θητείᾳ πλάνης;
Αγ. Σοῦ γ᾽ ὦ τέκνον σωτήρ γε τῷ τότ᾽ ἐν χρόνῳ.
Οἰ. Τί δ᾽ ἄλγος ἴσχοντ᾽ ἐν κακοῖς με λαμβάνεις;
Αγ. Ποδῶν ἂν ἄρθρα μαρτυρήσειεν τὰ σά.
Οἰ. Οἴμοι· τί τοῦτ᾽ ἀρχαῖον ἐννέπεις κακόν;
Αγ. Λύω σ᾽ ἔχοντα διατόρους ποδοῖν ἀκμάς.
Οἰ. Δεινόν γ᾽ ὄνειδος σπαργάνων ἀνειλόμην.
Αγ. Ὥστ᾽ ὠνομάσθης ἐκ τύχης ταύτης, ὃς εἶ.
Οἰ. Ὢ πρὸς θεῶν πρὸς μητρὸς, ἢ πατρὸς, φράσον.
Αγ. Οὐκ οἶδ᾽. ὁ δοὺς δὲ ταῦτ᾽ ἐμοῦ λῷον φρονεῖ.
Οἰ. Ἦ γὰρ παρ᾽ ἄλλου μ᾽ ἔλαβες, οὐδ᾽ αὐτὸς τυχών;
Αγ. Οὐκ· ἀλλὰ ποιμὴν ἄλλος ἐκδίδωσί μοι.
Οἰ. Τίς οὗτος; ἦ κάτοισθα δηλῶσαι λόγῳ;
Αγ. Τῶν Λαΐου δήπου τις ὠνομάζετο.
Οἰ. Ἦ τοῦ τυράννου τῆσδε γῆς πάλαι ποτέ;

1048. Κἀπὶ θητείᾳ πλάνης;] ἤτοι μίσθιος, καὶ ἐπὶ μισθῷ πλάνης. ἔστι δὲ ἀρσενικόν. 1050. Τί δ᾽ ἄλγος ἴσχοντ᾽] εἰπόντος τοῦ γέροντος ὅτι σωτήρ σοι γέγονα (ὅπερ κοινὸν ἐπὶ πάντων ἐκτεθειμένων) ἀναπυνθάνεται ὁ Οἰδίπους ὅτι ἐν ποίῳ ἄρα κακῷ ὄντα κατὰ τὴν ἔκθεσιν. ἵνα ἐκεῖνος εἴπῃ τὸ περὶ τῶν ποδῶν· ὅπερ ἐπιγινώσκει ἡ Ἰοκάστη. 1054. Δεινόν γ᾽ ὄνειδος σπαργάνων] ἐκ σπαργάνων χαλεπὴν αἰσχύνην, διὰ τὴν τῶν ἄρθρων βλάβην. 1056. Πρὸς μητρὸς ἢ πατρὸς, φράσον] ὑπὸ μητρὸς ὠνομάσθην, ἢ ἀπὸ τοῦ πατρὸς Οἰδίπου, ἢ πρὸς θεῶν, τίνος εἰμὶ μητρὸς, ἢ ποίου πατρός.

ΣΧΟΛ. ΤΡΙΚΛ. 1048. Κἀπὶ θητείᾳ πλάνης] εἰκότως εἶπε τὸ πλάνης. οἱ γὰρ ποιμένες νῦν μὲν ἐνταῦθα, νῦν δ᾽ ἐκεῖσε τὸ ποίμνιον ἀνάγουσι, πρὸς τὸ λυσιτελοῦν. 1056. Πρὸς μητρὸς] πρὸς πατρὸς ἢ πρὸς μητρὸς ἔπαθον τοῦτο δηλονότι, ἤγουν τὸ διατρυπηθῆναι τοὺς ἀστραγάλους. ἀσύνετον γὰρ καὶ ἀνακόλουθον πρὸς τὰ ἐπαγόμενα, τὸ νομίζειν ἐρωτᾶν τὸν Οἰδίποδα εἰ ὑπὸ τοῦ πατρὸς ἢ τῆς μητρὸς ὠνομάσθη.

SCHOL. INED. 1048. Ἤγουν δοῦλος ἐπὶ μισθῷ πλάνης.

1050.

*Oe.* Peragrabas verò cur hosce locos?
*Nu.* Ibi montanis gregibus præfectus eram.
*Oe.* Pastor itaque eras, et erro mercenarius.
*Nu.* Tuus quidèm, O nate, servator illo tempore.
*Oe.* Quid autem mali mihi acciderat, cum me sustulisti?
*Nu.* Pedum articuli tuorum testimonium præstabunt.
*Oe.* Hei mihi! quid hoc vetus commemoras malum?
*Nu.* Solvo te habentem perforatas pedum summitates.
*Oe.* Atrox sane dedecus cunabulorum pertuli.
*Nu.* Ab hoc casu nomen sortitus es, quod habes.
*Oe.* O per deos, a patre an a matre dic mihi?
*Nu.* Non novi. qui autèm te mihi dedit, me meliùs scit.
*Oe.* An et ab alio me accepisti, nec ipse casu nactus es?
*Nu.* Non. Sed pastor alius tradidit mihi.
*Oe.* Quisnam ille? an potes mihi dicere?
*Nu.* Ex Laii pastoribus quidam vocabatur.
*Oe.* An ejus, qui rex hujus terræ olim fuit?

1050. *Λαμβάνει τὶς τὶ παρά τινος, ἤγουν δέχεται καὶ λαμβάνει, ὅταν αὐτὸς δι' ἑαυτοῦ λαμβάνῃ, μὴ διδόντος ἑτέρου ἐν ταῖς δυστυχίαις ἐκείναις.* 1052. *Τί ἐστι τοῦτο τὸ ἀρχαῖον κακὸν ὃ λέγεις; ὡς τὸ, τίνα τόνδε τὸν λόγον λέγεις;* 1053. *Διαπεπερονημένας τῶν ποδῶν. ὄνειδος τὸ αἶσχος ὥσπερ ἔγκλημα τὸ ἁμάρτημα. ἀκολουθεῖ γὰρ ὥσπερ τῷ ἁμαρτήματι τὸ ἐγκαλεῖσθαι, οὕτω τῷ αἴσχει τὸ ὀνειδίζεσθαι. Πρὸς μητρὸς ἢ πρὸς πατρὸς ἔπαθον τοῦτο δηλονότι· ἤγουν τὸ διατορηθῆναι τοὺς ἀστραγάλους. ἀσύντον γὰρ καὶ ἀνακόλουθον πρὸς τὰ ἐπαγόμενα τὸ νομίζειν ἐρωτᾷν τὸν Οἰδίποδα, εἰ ὑπὸ τοῦ πατρὸς ἢ τῆς μητρὸς ὠνομάσθη. ἤγουν ἐκ τούτου τοῦ συμβεβηκότος Οἰδίπους ὀνομάζῃ. ἔπαθες τοῦτο τὸ διατρηθῆναι τὰ ἄρθρα.* 1058. *ἐντυχὼν ἤγουν εὑρών.* 1060. *Τίς ἐστιν οὗτος ὁ ποιμὴν δηλονότι, ὃν λέγεις.* 1061. *Τίς ἀπὸ τῶν τοῦ Λαΐου οἰκετῶν δηλονότι ἐλέγετο. οὐχ ὡς βοτὴρ λέγεται τούτου, ἀλλ' ὡς οἰκέτης ἐνεργῶν ταύτην αὐτῷ τὴν ἐνέργειαν, τὴν τοῦ νέμειν δηλονότι. ἐπὶ γὰρ ἐκείνων ὧν νέμει τὶς λέγεται βοτὴρ καθὸ βοτήρ. οἷον βοτὴρ προβάτων ἢ βοῶν ἢ τοιούτων τινῶν.*



Digitized by Google

Αγ. Μάλιστα· τούτου τἀνδρὸς οὗτος ἦν βοτήρ.
Οι. Ἦ κἄστ' ἔτι ζῶν οὗτος, ὥστ' ἰδεῖν ἐμέ;
Αγ. Ὑμεῖς γ' ἄριστ' εἰδῆτ' ἂν οὐ 'πιχώριοι.
Οι. Ἔστιν τὶς ὑμῶν τῶν παρεστώτων πέλας,
Ὅστις κάτοιδε τὸν βοτῆρ' ὃν ἐννέπει,
Εἴτ' οὖν ἐπ' ἀγρῶν, εἴτε κἀνθάδ' εἰσιδών;
Σημήναθ', ὡς ὁ καιρὸς εὑρῆσθαι τάδε.
Χο. Οἶμαι μὲν οὐδέν' ἄλλον ἢ τὸν ἐξ ἀγρῶν,
Ὃν καὶ 'μάτευες πρόσθεν εἰσιδεῖν· ἀτὰρ
Ἥδ' ἂν τάδ' οὐχ ἥκιστ' ἂν Ἰοκάστη λέγοι.
Οι. Γύναι, νοεῖς ἐκεῖνον ὅντιν' ἀρτίως
Μολεῖν ἐφιέμεσθα, τόνθ' οὗτος λέγει;
Ιο. Τίς δ' ὅντιν' εἶπε; μηδὲν ἐντραπῇς, τὰ δὲ
Ῥηθέντα βούλου μηδὲ μεμνῆσθαι μάτην.
Οι. Οὐκ ἂν γένοιτο τοῦθ' ὅπως ἐγὼ λαβὼν
Σημεῖα τοιαῦτ' οὐ φανῶ τοὐμὸν γένος.
Ιο. Μὴ πρὸς θεῶν, εἴπερ τι τοῦ σαυτοῦ βίου
Κήδῃ, ματεύσῃς τοῦθ'· ἅλις νοσοῦσ' ἔχω.
Οι. Θάρρει. σὺ μὲν γὰρ, οὐδ' ἂν ἐκ τρίτης ἐγὼ
Μητρὸς φανῶ τρίδουλος, ἐκφανῇ κακή.

1065. Ὑμεῖς γὰρ ἄριστ' εἰδῆτ' ἂν] ἀντὶ τοῦ, εἰδείητε ἄν. 1070. Οἶμαι μὲν οὐδὲν ἄλλον] ἐστοχάζετο ὁ χορὸς ἐκεῖνον εἶναι τὸν τὴν ἔκθεσιν ποιησάμενον τοῦ παιδίου, διὰ τὸ ἤδη εὐνοϊκὸν τὸ πρόσωπον αὐτοῦ στῆσαι τῷ οἴκῳ. 1072. Οὐχ ἥκιστ'] ἀντὶ τοῦ πάνυ. αἱ γὰρ δύο ἀρνήσεις μίαν συγκατάθεσιν ποιοῦσι. μάλιστ' ἂν ταῦτα εἴποι ἡ Ἰοκάστη. 1075. Ὅντιν' εἶπε] συνίησιν ἤδη τὸ πᾶν ἡ Ἰοκάστη, καὶ θέλει ἤδη ἑαυτὴν διαχειρίσασθαι, πρὶν ἔκπυστα γενέσθαι τὰ κακά. τοῦτο δὲ δηλοῖ διὰ τοῦ, ἅλις νοσοῦσ' ἐγώ. 1081. Οὐδ' ἂν ἐκ τρίτης] τρίτον πεπραμένος, καὶ αὐτὸς τρίπρατος. οἴεται δὲ τὴν Ἰοκάστην, δυσγένειαν αὐτῷ συνειδυῖαν, ἀποκρύπτειν καὶ κωλύειν τὴν ζήτησιν.

ΣΧΟΛ. ΤΡΙΚΛ. 1082. Τρίδουλος;] δοῦλον γὰρ τὸ μὴ ἐμφανὲς ἔχειν

τὸ

Digitized by Google

*Nu*. Maximè: ejus viri hic fuit paſtor.
*Oe*. An ille vivit adhuc, videre ut queam?
*Nu*. Id vos populares hujus terræ optimè ſcire poteſtis.
*Oe*. Veſtrûmne quiſquam eſt aſtantium propè
Qui novit paſtorem illum, quem hic memorat,
Seu ruri eum, ſive hîc in urbe conſpicatus?
Indicate, nam hæc retegi tempus poſtulat.
*Ch*. Equidem arbitror neminem alium eſſe, quàm eum ex rure,
Quem et videre tu quærebas priùs: verùm
Hæc *omnium* optimè Jocaſta dixerit.
*Oe*. Uxor, noſtin' illum quem modò
Venire cupivimus, quemque hic dicit?
*Jo*. Quis, rogo, quem dicit? nequid extimeſcas,
Dictaque temerè ne meminiſſe velis.
*Oe*. Non hoc fiat, ut, cum ego ceperim
Indicia talia, non proferam in lucem meum genus,
*Jo*. Ne per deos, ſiquidèm ullatenùs tuæ vitæ [tam,
Curam geris, hoc exquiras. Sit ſatis me eſſe afflic-
*Oe*. Confide. Tu enim ne quidèm ſi tertiâ ego [or.
Ex matre tripliciter apparuero ſervus, eris deteri-

τὸ γένος, ἀλλὰ λαθραῖον. εἰκότως δὲ τὸ τρίδουλος εἶπε πρὸς τὸ τρίτης μητρός.

SCHOL. INED. 1065. Ἀντὶ τοῦ εἰδείης ἄν. τὸ ὑποτακτικὸν ἀντὶ εὐκτικοῦ. τὰ τροχαϊκὰ ἀναβιβάζουσι τοὺς τόνους. 1071. Ὃν καὶ πρότερον ἐμάστευες ἤγουν ἐζήτεις. 1072. Ἤδη δὲ ἡ Ἰοκάστη λέγοι ἂν μάλιστα τάδε. 1075. Μηδαμῶς ἐπιστραφῇς ἤγουν φροντίσῃς. 1080. Μὴ μαντεύσῃς ἤγουν ζητήσῃς τοῦτο. Ib. Ἅλις ἔχω νοσῶν. καὶ ἅλις ἔχω τῆς νόσου. καὶ ἀμφότερα ἐν χρήσει. 1082. Οὐδ' ἂν φανῶ ἤγουν δειχθῶ ἐκ τρίτης μητρὸς, ἤγουν ἐκ προμάμμης. οὐδ' ἂν ἐκ τρίτης καθ' ὁμαλισμὸν ἂν ἀναγινώσκειν δεῖ ἐνταῦθα τὸ ἄν.



Digitized by Google

Io. Ὅμως πιθοῦ μοι, λίσσομαι, μὴ δρᾶν τάδε.
Οἰ. Οὐκ ἂν πιθοίμην μὴ οὐ τάδ' ἐκμαθεῖν σαφῶς.
Io. Καὶ μὴν φρονοῦσά γ' εὖ, τὰ λῷστά σοι λέγω.
Οἰ. Τὰ λῷστα τοίνυν ταῦτά μ' ἀλγύνει πάλαι.
Io. Ὦ δύσποτμ', εἴθε μήποτε γνοίης ὃς εἶ.
Οἰ. Ἄξει τις ἐλθὼν δεῦρο τὸν βοτῆρά μοι;
Ταύτην δ' ἐᾶτε πλουσίῳ χαίρειν γένει.
Io. Ἰοὺ, ἰοὺ, δύστηνε· τοῦτο γάρ σ' ἔχω
Μόνον προσειπεῖν, ἄλλο δ' οὔποθ' ὕστερον.
Χο. Τί ποτε βέβηκεν, Οἰδίπους, ὑπ' ἀγρίας
Αἴξασα λύπης ἡ γυνή; δέδοιχ' ὅπως
Μὴ 'κ τῆς σιωπῆς τῆσδ' ἀναρρήξῃ κακά.
Οἰ. Ὁποῖα χρήζει, ῥηγνύτω· τοὐμὸν δ' ἐγὼ
Κεἰ σμικρόν ἐστι σπέρμ', ἰδεῖν βουλήσομαι.
Αὐτὴ δ' ἴσως (φρονεῖ γὰρ ὡς γυνὴ μέγα)
Τὴν δυσγένειαν τὴν ἐμὴν αἰσχύνεται.
Ἐγὼ δ' ἐμαυτὸν παῖδα τῆς τύχης νέμων,
Τῆς εὖ διδούσης, οὐκ ἀτιμασθήσομαι.
Τῆς γὰρ πέφυκα μητρός· οἱ δὲ συγγενεῖς
Μῆνές με μικρὸν καὶ μέγαν διώρισαν.

1089. Πλουσίῳ χαίρειν γένει·] ἤτοι τρυφᾶν καὶ ἐναβρύνεσθαι. 1090. Ἰοὺ, δύστηνε.] ἐννοουμένη τὰ τῆς ἀναιρέσεως, αὐτὴ μὲν ἀπήλλακται, ὁ δὲ Οἰδίπους παραλέλειπται. τὸ γὰρ αὐτοῦ πρόσωπόν ἐστι τὸ περιπαθὲς, περὶ ὃ πᾶσα ἡ διάθεσις τοῦ δράματος. 1092. Τί ποτε βέβηκεν, Οἰδίπους,] ἀντὶ τοῦ, ὦ Οἰδίπου. ἔστι δὲ Ἀττικόν. 1099. Ἐγὼ δ' ἐμαυτὸν παῖδα τῆς τύχης νέμων] ἀντὶ τοῦ, ἐμαυτὸν τῇ τύχῃ παραδοὺς, ἀτιμίαν ἐκφεύξομαι.

ΣΧΟΛ. ΤΡΙΧΛ. 1089. Πλουσίῳ] εὐδαίμονι. τοῦτο δὲ λέγει διὰ τὸ μὴ θέλειν ταύτην ἐξ ἀσήμων ὄντα φανήσεσθαι. 1100. Τῆς εὖ διδούσης,] τοῦτο λέγει διότι πάντα τὰ τῆς τύχης δῶρα, εἰ καὶ δυσχερῆ ἐστιν ἡμῖν, ἀλλὰ καλά ἐστι, καὶ πρὸς τὸ συμφέρον ἡμῖν, εἰ καὶ μὴ δοκεῖ.

Digitized by Google

*Jo.* Tamèn obſequere mihi, quæſo, ut ne hæc facias.
*Oe.* Non faciam, quin iſta exquiram claré.
*Jo.* Atqui ſentiens rectè optima tibi dico.
*Oe.* Sed hæc optima dudùm mihi moleſta ſunt.
*Jo.* O infauſte, utinam haud unquam ſcias, qui ſis.
*Oe.* Venietne aliquis et adducet paſtorem mihi?
Hanc autem ſinite opulento lætari genere.
*Jo.* Heu, heu, miſer. Hoc enim te *nomine* queo
Solo appellare, nulloque poſthac alio.
*Ch.* Quid, Oedipu, ſic uxor abiit feroci
Concita dolore; metuo ne
Ex hoc ſilentio in aliquod prorumpat malum.
*Oe.* In quod volet, prorumpat: At meum ego
Exiguum licet ſit genus, volam cognoſcere.
Fortaſſe eam (nam, ut mulier, ſpiritus altos gerit)
Ignobilis mei generis pudet.
Ego verò me fortunæ filium judicans.
Quamdiu hæc favet, hanc infamiam nihil morabor.
Ex hâc enim matre nata ſum, cognati autem
Menſes me parvum et magnum conſtituêre.

δυνάμεθα αὐτοὶ τοῦτο καταμαθεῖν. 1102. Μῆνές με μικρὸν] ἤγουν, ὁ χρόνος δυστυχῆ με καὶ εὐτυχῆ πεποίηκεν. ἢ τὸ μικρὸν καὶ μέγαν διὰ τὴν ἡλικίαν λέγει.

¶ Σχόμ. Τρικλ. 1084. Μὴ οὐ τάδ'] συνίζησις. 1093. Αἴξασα] συνίζησις.

SCHOL. INED. 1083. Ὅπερ ἂν ἔχοι τὸ πρᾶγμα, πείσθη τί μοι δέομαι μὴ πράττειν τόδε, ἤγουν τὸ ζητεῖν ἃ ζητεῖς. 1084. Ὥστε μὴ μαθεῖν τάδε καθαρῶς. 1090. Τοῦτο γὰρ ἔχω μόνον πρός σε εἰπεῖν. μετὰ τοῦτο ἄλλο πρός σε εἰπεῖν οὐκ ἔχω. 1092. Ἀνημέρου, ἀκαταςχέτου, ἀκαταπαύστου.

1103. Τοι-

Τοιόσδε δ' ἐκφὺς, οὐκ ἂν ἐξέλθοιμ', ἔτι
Πότ' ἄλλος, ὥστε μὴ κ' μαθεῖν τοὐμὸν γένος.—

Χο. Εἴπερ ἐγὼ μάντις εἰμὶ,
Καὶ κατὰ γνώμην ἴδρις,
Οὐ τὸν Ὄλυμπον, ἀπεί-
ρων Κιθαιρὼν οὐκ ἔσῃ
Τὰν αὔριον πανσέληνον,
Μὴ οὐ σέ γε καὶ πατριώταν
Οἰδίπου, καὶ τροφὸν καὶ μη-
τέρ' αὔξειν, καὶ χορεύεσθαι
Πρὸς ἡμῶν, ὡς ἐπίηρα φέρον-
τα τοῖς ἐμοῖσι τυράννοις.
Ἰήιε Φοῖβε,
Σοὶ δὲ ταῦτ' ἀρέστ' εἴη.—

1103. Τοιόσδε δ' ἐκφὺς,] τοιοῦτος πεφυκὼς, οὐκ ὀκνήσω τὸ γένος ἐξερευνῆσαι τὸ ἡμέτερον. 1105. Εἴπερ ἐγὼ μάντις εἰμὶ.] ὑπονοοῦσιν οἱ κατὰ τὸν χορὸν χρηστότερόν τι περὶ τοῦ Οἰδίποδος, ὅτι θειοτέρου γένους τυγχάνει ἀπό τινος τῶν ὀρείων νυμφῶν. ποιοῦνται δὲ τὸν λόγον πρὸς τὸν Κιθαιρῶνα, καί φασιν, οὐκ ἔσῃ ἐς τὴν αὔριον ἀπείρατος τοῦ ἡμᾶς αὔξειν σε, ὡς τροφὸν καὶ μητέρα τοῦ Οἰδίποδος. 1106. Καὶ κατὰ γνώμην ἴδρις,] ἔμπειρος κατὰ τὴν γνώμην, ὅ ἐστι συνετός. 1112. Αὔξειν,] μεγαλύνειν, λέγει. Ib. Καὶ χορεύεσθαι] ἀντὶ τοῦ ὑμνεῖσθαι, τιμᾶσθαι. 1113. Ὡς ἐπίηρα φέροντα] ὥσπερ τὰ θυμήρεστα παρέχοντα τοῖς ἐμοῖς βασιλεῦσιν· ἐνόμιζε γὰρ ὁ χορὸς τὸν ἀναγνωρισμὸν ὑπὲρ Οἰδίποδος γίγνεσθαι. 1115. Ἰήϊε Φοῖβε,] ἀναγκαίως πρὸς τὸν Ἀπόλλωνα ἀποτείνει, διὰ τὸ ἄρξαι τῶν χρησμῶν.

ΣΧΟΛ. ΤΡΙΚΛ. 1105. Εἴπερ] εἴπερ ἐγὼ κατὰ γνώμην μάντις εἰμὶ καὶ ἴδρις, καὶ ἐπιστήμων καὶ ἄριστος στοχαστὴς, μὰ τὸν πανσέληνον ὄλυμπον, οὐκ ἔσῃ καὶ ὑπάρξεις, ὦ Κιθαιρὼν, ἀπείρων καὶ ἀμέτοχος κατὰ τὴν αὔριον ἡμέραν, μὴ οὐκ αὔξειν καὶ φαίνεσθαί σε πατριώτην τοῦ Οἰδίποδος, τροφὸν καὶ μητέρα, καὶ χορεύεσθαι παρ' ἡμῶν· (τοῦτ' ἔστιν, ὅ-

σα

Talis ergò cum ſim natus, non animatus aliter ero
Meum ut non perdiſcam, quale ſit, genus. [unquam

ANTISTROPHICA. STROPHE I.

*Ch.* Siquidem vates ego ſum *verus*,
Et animo *rerum* haud ignarus,
Non, per Olympum, totâ imperitus nocte
Cithæron non eris
In craſtinam lucem,
Quin dicas te et popularem
Oedipi et nutritorem et
Matrem, et celebrêre choreis
A nobis, ut qui grata feras
Meis tyrannis.
O jaculator Phœbe,
Tibi ſint hæc placita.

σοι οὔπω φανήσεται ὁ Οἰδίπους, εὑρεθεὶς ἐν Κιθαιρῶνι τὴν ἀρχήν. διὸ ϗ πατέρα ϗ μητέρα αὐτοῦ τοῦτον καλεῖ) ὡς ἐπίηρα ϗ ἐπιθυμητὰ φέροντα τοῖς ἐμοῖς τυράννοις. ἤγουν τῷ Οἰδίποδι. ἐπιθυμεῖ γὰρ αὐτὸς ὅστις ἐστὶ φανῆναι. σοὶ δ' ὦ ἰήϊε ϗ τοξικὲ Φοῖβε, ἀρεστὰ ϗ ἀποδεκτὰ εἴη ϗ ὑπάρχοι ταῦτα. ἡ τοῦ Οἰδίποδος λέγω ἔκφανσις· σὺ γὰρ ἐθέσπισας τὴν περὶ τοῦ ε ἔρευναν.

SCHOL. INED. 1107. Οὐ μὰ τὸν Ὄλυμπον ἄπειρος οὐκ ἔσῃ, ὦ Κιθαιρὼν κατὰ τὴν αὔριαν πάνυ λαμπρὰν ἡμέραν τοῦ μὴ οὐκ αὔξειν, ἤγουν τιμᾶν σὲ ἡμᾶς δηλονότι ϗ ὁμοδίαιτον τοῦ Οἰδίποδος ϗ τροφὸν ϗ μητέρα ϗ τιμᾶσθαι παρ' ἡμῶν ὡς ἐπέραστα φέροντα τοῖς ἐμοῦ βασιλεῦσιν. 1110. Πατριῶται, οἱ ἐν τῇ αὐτῇ πατρίδι στρεφόμενοι. 1113. Καθὰ θυμήρη, ἐπέραστα, ἐπίηρα ποιητικόν. ἐπέραστα κοινὸν τὸ αὐτό. τοῖς ἐμοῖς βασιλεῦσιν, ἤγουν τῷ Οἰδίποδι. ἆρα Πανὸς θυγάτηρ τὶς ἀπὸ κοινοῦ ὀρεσιβάτη ἀντὶ τοῦ ὀρεσικοίτη προσπιλασθεῖσα ἢ Λοξίου θυγάτηρ, τὶς ὀρεσιβάτῃ προσπιλασθεῖσα σέ γε τίκτε δηλονότι.

1118.

Τίς σε, τέκνον, τίς σ' ἔτικτε
Τῶν μακραιώνων; ἆρα
Πανὸς ὀρεσιβάτα
Προσπελασθεῖσα, ἤ σέ γε
Τὶς θυγάτηρ Λοξίου; τῷ
Γὰρ πλάκες ἀγρονόμοι πᾶ-
σαι φίλαι· εἴθ' ὁ Κυλλάνας
Ἀνάσσων, εἴθ' ὁ Βακχεῖος
Θεὸς ναίων ἐπ' ἄκρων ὀρέων,
Εὕρημα δέξατο νυμφᾶν
Ἑλικωνιάδων,
Αἶσι πλεῖστα συμπαίζει.

Οἰ. Εἰ χρή τι κἀμὲ, μὴ συναλλάξαντά πω,
Πρέσβεις, σταθμᾶσθαι, τὸν βοτῆρ' ὁρᾶν δοκῶ
Ὅνπερ πάλαι ζητοῦμεν· ἔν τε γὰρ μακρῷ
Γήρᾳ ξυνᾴδει, τῷδέ τ' ἀνδρὶ ξύμμετρος.

1118. Ἆρα Πανὸς ὀρεσιβάτα] ἆρά τις προσπελασθεῖσα τοῦ Πανὸς ἢ τοῦ Ἀπόλλωνος θυγάτηρ. καὶ γὰρ οὗτος νόμιος. 1121. Τῷ γὰρ πλάκες ἀγρονόμοι] αἱ ἐξοχαὶ, αἱ ἀναλάσεις τῶν ὀρῶν. 1122. Ἀγρονόμοι] ἔνθα τὰ ἄγρια νέμεται. ὅ ἐστι τὰ μὴ ἥμερα θηρία. 1123. Εἴθ' ὁ Κυλλάνας] εἴτε ὁ Ἑρμῆς (νόμιος γὰρ) εἴτε ὁ Διόνυσος, ἀπό τινος νύμφης γεννηθέντα σε ἀνεδέξατο. 1129. Μὴ ξυναλλάξαντά πω,] μὴ κοινωνήσαντα, μὴ συναλλάξαντα, τουτέστι μὴ συντυχόντα. μὴ εἰς ἀμοιβὴν καὶ ὁμιλίαν ἐλθόντα. θεασάμενος δὲ ὁ Οἰδίπους τὸν πρεσβύτην ἐρχόμενον ὃν μετεπέμψατο, στοχάζεται μὲν εἶναι αὐτὸν, ἐκ τοῦ γήρως, καὶ τῶν ἀγόντων οἰκετῶν· τὴν δὲ ἐπιστήμην καὶ ἀκριβῆ γνῶσιν τῷ χορῷ ἀνατίθησι. 1132. Τῷδέ τ' ἀνδρὶ ξύμμετρος.] τῷ Κορινθίῳ. ὁμῆλιξ καὶ ἴσος ἐστὶ κατὰ τὴν ἡλικίαν.

ΣΧΟΛ. ΤΡΙΚΛ. 1117. Τίς σε, τέκνον,] τίς σε, ὦ τέκνον, τῶν μακραιώνων καὶ ἀϊδίων θεῶν ἔτικτεν; ἆρα τοῦ ὀρεσιβάτου καὶ τοῦ ὀρειοῦ

Πανὸς

## Antistrophe I.

Quis te, fili, quis te genuit
Immortalium? Numqua filia
Cum Pane montivago congressa
Vel cum Phœbo te *genuit?*
Illi enim tractus montani
Omnes *sunt* grati. An *te* Cyllenes Rex
*Mercurius*, an Bacchus
Habitans summis in montibus
Suscepit partum nymphis ex Heliconiis,
Cum quibus is permultum ludit.

## Iambi.

*Oe.* Si me oportet, cui nihil ante fuit commercii,
Senes, conjicere, pastorem videre videor
Quem quærimus dudùm: senili enim
Ætate convenit, et huic *Corinthio* æqualis est viro.

Πανὸς θυγάτηρ; προσπελασθεῖσα ἐνταῦθα; ἢ ἔτικλέ σε ἡ τῦ Λοξία θυγάτηρ; τῷ γὰρ καὶ τούτῳ τῷ Πανὶ, ἢ τῷ Ἀπόλλωνι (νόμιος γὰρ καὶ οὗτος καλεῖται) πᾶσαι αἱ ἀγρονόμοι καὶ ὄρειναὶ πλάκες καὶ πέτραι φίλαι εἰσίν. εἴτε ὁ Κυλλάνας ἀνάσσων Ἑρμῆς ἐδέξατο εὕρημα καὶ δῶρον τῶν νυμφῶν· εἴθ' ὁ βακχεῖος θεὸς, ἤγουν ὁ Διόνυσος, ὁ ναίων καὶ κατοικῶν ἐπ' ἄκρων τῶν ὀρέων, ἐδέξατο τὸ εὕρημα τῶν νυμφῶν τῶν Ἑλικωνιάδων, ἤγουν τῶν ἐν Ἑλικῶνι τῆς Βοιωτίας οὐσῶν, σὺν αἷς πλεῖστα παίζει. λέγει δὲ τὸν Διόνυσον ναίειν ἐπ' ἄκρων ὀρέων, ἢ διότι αἱ βάκχαι αὐτοῦ, ὡς μαινόμεναι, τὰ ὄρη περιήρχοντο, ἢ ὅτι ἐν τῷ Κιθαιρῶνι τὸ ἱερὸν ἦν αὐτοῦ.
¶ Σχήμ. Τρικλ. 1129. Εἰ χρή τι κἀμ.] ἀναζητήσας Οἰδίπους τὸ οἰκεῖον γένος, καὶ μαθὼν, ἐξετύφλωσεν ἑαυτόν.

SCHOL. INED. 1123. Ἤγουν τόποι ἐφ' οἷς νέμονται τὰ ἄγρια. 1131. Ἐπὶ πολὺ παρατεινομένῳ, πολυχρονίῳ. 1131. Ἐν ἴσῳ μακρῷ ἡλικὸς ὢν δηλονότι.

Ἄλλως τε, τοὺς ἀγοντας, ὥσπερ οἰκέτας
Ἔγνωκ' ἐμαυτοῦ, τῇ δ' ἐπιστήμῃ σύ μου
Προὔχοις, τάχ' ἄν που τὸν βοτῆρ' ἰδὼν πάρος.
Χο. Ἔγνωκα γάρ, σάφ' ἴσθι. Λαΐου γὰρ ἦν
Εἴπερ τις ἄλλος πιστός, ὡς νομεὺς ἀνήρ.
Οἰ. Σὲ πρῶτ' ἐρωτῶ τὸν Κορίνθιον ξένον,
Ἦ τόνδε φράζεις;
Αγ. Τοῦτον, ὅνπερ εἰσορᾷς.
Οἰ. Οὗτος σὺ πρέσβυ, δεῦρό μοι φώνει βλέπων
Ὅσ' ἄν σ' ἐρωτῶ· Λαΐου ποτ' ἦσθα σύ;
Θε. Ἦν δοῦλος, οὐκ ὠνητός, ἀλλ' οἴκοι τραφείς.
Οἰ. Ἔργον μεριμνῶν ποῖον, ἢ βίον τίνα,
Θε. Ποίμναις τὰ πλεῖστα τοῦ βίου ξυνειπόμην.
Οἰ. Χώροις μάλιστα πρὸς τίσι ξύναυλος ὤν;
Θε. Ἦν μὲν Κιθαιρών, ἦν δὲ πρόσχωρος τόπος.
Οἰ. Τὸν ἄνδρα τόνδ' οὖν οἶσθα τῇδέ που μαθών;
Θε. Τί χρῆμα δρῶντα, ποῖον ἄνδρα καὶ λέγεις;
Οἰ. Τόνδ' ὃς πάρεστιν, ἢ ξυναλλάξας τί πω;
Θε. Οὐχ' ὥστε γ' εἰπεῖν ἐν τάχει μνήμης ὕπο.
Αγ. Κοὐδέν γε θαῦμα δέσποτ'· ἀλλ' ἐγὼ σαφῶς
Ἀγνῶτ' ἀναμνήσω νιν· εὖ γὰρ οἶδ' ὅτι
Κάτοιδεν· ἦμος τὸν Κιθαιρῶνος τόπον

1134. Τῇ δ' ἐπιστήμῃ] τῇ γνώσει ὑπερβάλλοις, ὡς καὶ πρὶν αὐτὸν θεασάμενος. 1143. Δεῦρό μοι φώνει βλέπων] ἀντὶ τοῦ ἐγνωκώς. 1147. Ἦν δὲ πρόσχωρος τόπος] ἀντὶ τοῦ, ἦσαν οἱ πλησιόχωροι. 1148. Οἶσθα τῇδέ που μαθὼν] ἀντὶ τοῦ ἐκεῖ μαθών.

ΣΧΟΛ. ΤΡΙΚΛ. 1133. Ὥσπερ οἰκέτας] εἰκότως εἶπε τὸ ὥσπερ. οὐ γὰρ ἀκριβῶς οἶδεν, ἀλλ' εἰκάζων ἦν. 1154. Κάτοιδεν] τοῦτο ἢ πρὸς τὸν Κιθαιρῶνος τόπον σύναπτε· (εἰ καὶ τὸ ἦμος διὰ μέσου ἐτέθη· ὃ δὴ καὶ ποιεῖ τὴν δυσχέρειαν) ἢ πρὸς τὸν Κιθαιρῶνος τόπον εἰς ἔξωθεν λάμβανε, λαμβανομένου κατὰ συνεκδοχὴν τοῦ ἐπλησίαζεν.



Digitized by Google

Maximè, qui ducunt, ut miniſtros
Agnoſco meos: ſed tu me certiùs noſti,
Ut qui alicubi paſtorem fortaſſe videris.
*Ch.* Novi, rectè tenes. Laii enim hic erat,
Ut quiſquam alius, fidelis paſtor.
*Oe.* Te primum rogo, Corinthie hoſpes,
Num hunc dicis?
*Nu.* Hunc ipſum, quem intueris.
*Oe.* Heus tu ſenex, huc veni, et dic,
Quæcunque te rogo. Tune eras aliquando Laii?
*Ser.* Eram ſervus non emptus, ſed domi educatus.
*Oe.* Quod procurabas opus? tuaque quæ vita erat?
*Ser.* Greges ſequebar maximam vitæ meæ partem.
*Oe.* Quænam incolebas maximè loca?
*Ser.* Erat Cithæron, erat et vicinus locus *mea ſtatio.*
*Oe.* Virum igitur hunccine noſti, aut alicubi vidiſti?
*Ser.* Quid rei gerentem? aut quem *mihi* refers virum?
*Oe.* Hunc, inquam, qui adeſt. numquid commercii tibi fuit cum eo?
*Ser.* Non memoria ſuggerit, ut citò queam dicere.
*Nu.* Neque hoc mirum eſt, here. at ego clarè [ſcio
Ignota jam ei in memoriam reducam: nam ſatis
Eum meminiſſe, quando in Cithæronis locis

SCHOL. INED. 1133. *Ἀντὶ τοῦ ὁρῶ ὅτι εἰσὶν οἱ οἰκέται οἱ ἐμαυτοῦ τῇ ἀκριβεῖ γνώσει.* 1135. *Προέχοις ἂν ἴσως που ἰδὼν τὸν βοτῆρα πρότερον.* 1137. *Ὡς νομεύς· τὸ ὡς ὁμοιωματικόν ἐστι· οὐ γὰρ λέγει ὅτι κυρίως νομεὺς ἦν, ἀλλ' ὡς νομεύς.* 1141. *Ἤγουν πρὸς ἐμὲ βλέπων φώνει μοι ἤγουν λέγε μοι.* 1145. *Κατὰ τὰ πλεῖστα μέρη τῆς ζωῆς μου ποίμναις εἱπόμην ἤγουν ἠκολούθουν.* 1147. *Πλησιόχωρος τοῦ Κιθαιρῶνι δηλονότι. ἆρα οἶδας συντυχών.* 1151. *Οὐκ οἶδα οὕτως ἔστι μνησθῆναι καὶ εἰπεῖν ταχέως.*



Digitized by Google

Ὁ μὲν, διπλοῖσι ποιμνίοις, ἐγὼ δ' ἑνὶ
Ἐπλησίαζον τῷδε τἀνδρὶ τρεῖς ὅλους ,
Ἐξ ἦρος εἰς ἀρκτοῦρον ἐμμήνους χρόνους.
Χειμῶνι δ' ἤδη, τἀμά τ' εἰς ἔπαυλ' ἐγὼ
Ἤλαυνον, οὗτός τ' εἰς τὰ Λαΐου σταθμά.
Λέγω τι τούτων ἢ οὐ λέγω πεπραγμένον;
Θε. Λέγεις ἀληθῆ, καίπερ ἐκ μακροῦ χρόνου.
Αγ. Φέρ' εἰπὲ νῦν· τότ' οἶσθα παῖδά μοί τινα
Δοὺς, ὡς ἐμαυτῷ θρέμμα θρεψαίμην ἐγώ;
Θε. Τί δ' ἔστι; πρὸς τί τοῦτο τοὔπος ἱστορεῖς;
Αγ. Ὅδ' ἐστὶν, ὦ τᾶν, κεῖνος ὃς τότ' ἦν νέος.
Θε. Οὐκ εἰς ὄλεθρον· οὐ σιωπήσας ἔσῃ;
Οἰ. Ἆ, μὴ κόλαζε πρέσβυ τόνδ'· ἐπεὶ τὰ σὰ
Δεῖται κολαστοῦ μᾶλλον ἢ τὰ τοῦδ' ἔπη.
Θε. Τί δ', ὦ φέριστε δεσποτῶν, ἁμαρτάνω;
Οἰ. Οὐκ ἐννέπων τὸν παῖδ' ὃν οὗτος ἱστορεῖ.
Θε. Λέγει γὰρ εἰδὼς οὐδὲν, ἀλλ' ἄλλως πονεῖ.
Οἰ. Σὺ πρὸς χάριν μὲν οὐκ ἐρεῖς, κλαίων δ' ἐρεῖς.
Θε. Μὴ δῆτα πρὸς θεῶν τὸν γέροντά μ' αἰκίσῃ.

1155. Ὁ μὲν διπλοῖσι ποιμνίοις] δύο ἀγέλαις. 1156. Ἐπλησία-
ζον τῷδε] συνήμην (φησὶ) τούτῳ. ἔαρ, θέρος, φθινόπωρον, ϗ οὗτοι ἂν
εἶεν οἱ τρεῖς χρόνοι. Ἐμμήνους δὲ, τοὺς ἐν μησὶν ὁριζομένους, οὐκ ἐνιαυτοῖς.
1157. Ἐξ ἦρος εἰς ἀρκτοῦρον] τὴν ἑῴαν ἐπιτολὴν ποιούμενον. ποιεῖ δὲ
ταύτην ἡλίου ὄντος ἐν τῇ παρθένῳ. 1161. Λέγεις ἀληθῆ] συγκατατίθε-
ται ὁ γέρων. ἔδει γὰρ ταῦτα πρῶτον ὁμολογῆσαι, εἶτα ἐπάγειν τὰ
συνεκτικώτατα, ἵνα μὴ ᾖ ἔξαρνος. 1164. Ἱστορεῖς] ἐρωτᾷς, ζητεῖς.
1166 Οὐκ εἰς ὄλεθρον] αἰσθηθεὶς ὁ γέρων τοῦ παιδὸς, ἀρνήσασθαι βούλε-
ται, οὐχ ὡς εἰδὼς ϗ ἀποκρυπτόμενος.

ΣΧΟΛ. ΤΡΙΚΛ. 1167. Ἆ, μὴ κόλαζε] τὸ ἆ ἐστιν ἐνταῦθι ἐπίρ-
ρημα σχετλιαστικὸν, σιωπὴν παρακελευόμενον.

¶ Σχῆμ. Τρικλ. 1160. Ἢ οὐ λέγω] συνίζησις.



Digitized by Google

(Ille duobus quidem cum gregibus, ego autem
Versabar cum hoc viro, tres totos, [uno)
A vere *usque* ad Arcturum, menses.
Hieme autem jam instante, mea in stabula ego
Agebam *pecora*, illeque in Laii septa.
Quæ dico, suntne ita facta, an non?
*Ser.* Vera dicis, etsi a longo temporis *intervallo*.
*Nu.* Age, dic jam: meministine te puerum mihi quendam
Dedisse, quem ut propriam sobolem ego educarem.
*Ser.* Quid est? quamobrem hanc rem interrogas?
*Nu.* Hic ille est, amice, qui tunc erat puer.
*Ser.* Non *ibis* in malam crucem? non tacebis?
*Oe.* Ah, ne corrige, senex, hunc: tua enim
Correctore egent magis, quam hujus dicta.
*Ser.* Quid verò, optime here, deliqui ego?
*Oe.* Quod de puero nihil indicas, quem ille quærit.
*Ser.* Nescit enim quod dicit, et frustra laborat.
*Oe.* Tu bonâ cum gratiâ non dices, sed malo accepto
*Ser.* Ne, per deos oro, senem me verberato. [dices.

SCHOL. INED. 1155. Σὺν ἑνὶ ποιμνίῳ δηλονότι. 1157. Ἐκ τοῦ τέλους τοῦ ἔαρος εἰς τὴν ἑώαν ἐπιτολὴν τοῦ ἀρκτούρου ἤτοι τὴν ὥραν τοῦ θέρους. Ὁ γὰρ ἀρκτοῦρος κατὰ τὴν ἀρχὴν ἐπιτέλλει τοῦ μετοπώρου. 1159. Σταθμὰ, ἔνθα ἑστήκασι τὰ ζῶα. 1161. Καὶ ταῦτα διὰ μακροῦ χρόνου ταὐτόν ἐστιν ἐκ μακροῦ χρόνου. καὶ διὰ μακροῦ χρόνου. ἡ μὲν γὰρ Ἐκ, δηλοῖ τὴν ἀπὸ τῆς ἀρχῆς κίνησιν τοῦ μακροῦ χρόνου, ἡ δὲ Διὰ τὴν ἐν τῷ μέσῳ κίνησιν τοῦ ἐπιπολὺ παρατεινομένου χρόνου. ἔστι δὲ ταὐτὸν μακρόθεν εἰπεῖν ἄρξασθαι καὶ ἀρξάμενον διάστημα πολὺ ἐλθεῖν. 1163. Ἵνα ἐγὼ ἀναθρεψαίμην αὐτὸν δηλονότι θρέμμα ἐμαυτῷ· ἤγουν δι' ἐμαυτὸν ὡς ἐσόμενον ἐμαυτοῦ· Πρὸς τί ἀφορῶν ἤγουν ἐπὶ ποίῳ σκοπῷ· ἐπιφώνημα ἐφεκτικὸν ἀφορῶν πρὸς εὐχαριστίαν· Μάτην ἔξω τοῦ προσήκοντος κοπιᾷ. 1173. Δέομαι πρὸς τῶν θεῶν ἵνα μή με αἰκίσῃς τὸν γέροντα.

1175. Ἀντὶ

Οἰ. Οὐχ ὡς τάχος τὶς τοῦδ' ἀποστρέψει χέρας;
Θε. Δύστηνος· ἀντὶ τοῦ; τί προσχρῄζων μαθεῖν;
Οἰ. Τὸν παῖδ' ἔδωκας τῷδ' ὃν οὗτος ἱστορεῖ;
Θε. Ἔδωκ'. ὀλέσθαι δ' ὤφελον τῇδ' ἡμέρᾳ.
Οἰ. Ἀλλ' εἰς τόδ' ἥξεις, μὴ λέγων γε τοὔνδικον.
Θε. Πολλῷ γε μᾶλλον ἢν φράσω διόλλυμαι.
Οἰ. Ἀνὴρ ὅδ', ὡς ἔοικεν, ἐς τριβὰς ἐλᾷ.
Θε. Οὐ δῆτ' ἔγωγ'· ἀλλ' εἶπον ὡς δοίην πάλαι.
Οἰ. Πόθεν λαβών; οἰκεῖον, ἢ 'ξ ἄλλου τινός;
Θε. Ἐμὸν μὲν οὐκ ἔγωγ', ἐδεξάμην δέ του.
Οἰ. Τίνος πολιτῶν τῶνδε, κἀκ ποίας στέγης;
Θε. Μὴ πρὸς θεῶν, μὴ δέσποθ', ἱστόρει πλέον.
Οἰ. Ὄλωλας, εἴ σε ταῦτ' ἐρήσομαι πάλιν.
Θε. Τῶν Λαΐου τοίνυν τὶς ἦν γεννημάτων;
Οἰ. Ἦ δοῦλος, ἢ κείνου τὶς ἐγγενὴς γεγώς;
Θε. Οἴμοι· πρὸς αὐτῷ γ' εἰμὶ τῷ δεινῷ λέγειν.
Οἰ. Κἄγωγ' ἀκούων. ἀλλ' ὅμως ἀκουστέον.
Θε. Κείνου γέ τοι δὴ παῖς ἐκλῄζεθ'· ἡ δ' ἔσω

1175. Ἀντὶ τοῦ] ἀντὶ τίνος. Ib. Τί προσχρῄζων μαθεῖν] λείπει ταῦτά με διατίθης. 1177. Ὀλέσθαι δ' ὤφελον] τοῦτο πάλιν, οὐχ ὡς εἰδὼς ὅτι αὐτὸς εἴη ὁ ἐκτεθειμένος, ἀλλ' ὅτι διὰ τὴν ἔκθεσιν τοῦτο πάσχει. 1178. Ἀλλ' εἰς τόδ' ἥξεις] εἰς τὸ ἀποθανεῖν, μὴ λέγων τὸ ἀληθές. 1180. Ἐς τριβὰς ἐλᾷ] ἤγουν, εἰς βραδυτῆτα, καὶ διατριβὰς καὶ ἀναβολάς. 1186. Ὄλωλας, εἴ σε ταῦτα] εἰ δευτέραν ἀναμείνῃς ἐξέτασιν.

ΣΧΟΛ. ΤΡΙΚΛ. 1175. Δύστηνος] ἢ πρὸς τὸ δύστηνος στικτέον, οὕτως, δύστηνός εἰμι· ἀντὶ τοῦ λέγεις τοῦτο; τί προσχρῄζων μαθεῖν; ἢ τὸ δύστηνος καὶ τὸ ἀντὶ τοῦ σύναπτε οὕτως, ἀντὶ τοῦ περιαχθήσομαι ὁ δύστηνος; τί προσχρῄζων μαθεῖν λέγεις τοῦτο; Ὡς δοίην πάλαι] τὸ πάλαι πρὸς τὸ εἶπον συναπτέον, καὶ οὐ πρὸς τὸ δοίην.

¶ Σχῆμ. Τρικλ. 1185. Πρὸς θεῶν] συνίζησις.

SCHOL. INED. 1175. Ἕνεκα τίνος προστάττεις εἰς τοὐπίσω στρέψαι τὰς χεῖρας μου τί ἐπὶ τούτοις θέλων μαθεῖν; πρέποι δὲ ἦν

μοι

Digitized by Google

*Oe.* Non aliquis ocyus hujus manus in tergum ligabit?

*Ser.* Infelix ego. ſed quare? quid noſſe vis?

*Oe.* Puerumne huic dediſti, de quo mentio facta?

*Ser.* Dedi. utinam verò periiſſem hâc ipſâ die.

*Oe.* At eò tibi res redibit, niſi dixeris quod jure debes.

*Ser.* Multo etiam magis, ſi dixero, peribo.

*Oe.* Vir hic, ut videtur, ad moras divortitur.

*Ser.* Non ego ſane: nam dixi me dediſſe olim.

*Oe.* Unde acceptum? tuumne, an alterius?

*Ser.* Non meus erat, ſed ab altero accepi.

*Oe.* A quo civium, et a quâ domo?

*Ser.* Ne per deos, ne, here, plura quære.

*Oe.* Periiſti, ſi te hæc iterum interrogo.

*Ser.* Erat igitur quidam ex genere Laii.

*Oe.* Num ſervus, an propria illius proles erat?

*Ser.* Hei mihi: redactus ſum eò, ut triſtia mihi dicenda [ſint.

*Oe.* Et mihi audienda: tamen ſunt audienda.

*Ser.* Illius ſane tum filius dicebatur: illa verò intùs

μοι ὀλέσθαι. ἔπρεπον δὲ ὀλέσθαι. 1178. Ὅπερ ἐςὶ δίκαιον λέγειν σε. Ὥσπερ τὸ μάλιςα ἐν τοῖς κατ' ἐρώτησιν λόγοις ἀπαιτᾷ παρὰ τοῖς Ἀττικοῖς ἀντὶ τȣ̃ Ναὶ, ὕτω κ̀ τὸ ἔγωγε κ̀ τὸ ὐκ ἔγωγε ἀντὶ τȣ̃ ὐδαμῶς, ὡς ἐνταῦθα. ἐμὸν μὲν ὐκ ἔγωγε ἀντὶ τȣ̃ ὐδαμῶς· ἤγυν ἐμὸν μὲν ὐδαμῶς ὄντα ἔδωκα· ἐδεξάμην δὲ τȣ̃ ἀντὶ τȣ̃ παρά τινος· Οἰκεῖον παῖδα ὄντα λαβὼν ἔδωκας. Ἐμὸν παῖδα ὄντα ὐδαμῶς λαβὼν ἔδωκα. 1186. Ὃ δῆθεν ἀπαραιτήτως ποιήσει, τȣ̃το δὴ ὡς ἤδη γεγονὸς ἐπάγει. Φυσικὸς δὲ ὁ λόγος ὗτος, τὸ, τὰ ἀπαραιτήτως γενησόμενα κ̀ ὡμολογημένην ἔχοντα τὴν ἀπόβασιν, λέγειν, ὡς ἤδη γεγονότα· Οἷον, τέθνηκα εἰ ποιήσω τόδε ἤγυν ὕτω νομίζω ἀπαραιτήτως τεθνήξεσθαι ὥςε κ̀ ὡς γεγονὸς τȣ̃το ἤδη ἀποφαίνομαι. 1190. Ἀκȣςέον ἐνεργητικὸν ἐπίῤῥημα. παθητικὸν κλίνεται. 1191. Ἡ δ' ἔσω ὖσα δηλονότι, ἡ σὴ γυνη; εἴποι ἂν τάδε κάλλιςα καθὰ διάκειται.

1196. Ως

Κάλλιϛ' ἂν εἴποι σὴ γυνὴ τάδ' ὡς ἔχει.
Οἰ. Ἦ γὰρ δίδωσιν ἥδε σοι;
Θε. Μάλιϛ' ἄναξ.
Οἰ. Ὡς πρὸς τί χρείας;
Θε. Ὡς ἀναλώσαιμί νιν.
Οἰ. Τεκοῦσα τλήμων;
Θε. Θεσφάτων ὄκνῳ κακῶν.
Οἰ. Ποίων;
Θε. Κτενεῖν νιν τοὺς τεκόντας ἦν λόγος.
Οἰ. Πῶς δῆτ' ἀφῆκας τῷ γέροντι τῷδε σύ;
Θε. Κατοικτίσας, ὦ δέσποτ', εἰς ἄλλην χθόνα
Δοκῶν ἀποίσειν, αὐτὸς ἔνθεν ἦν· ὁ δὲ
Κάκ' εἰς μέγιϛ' ἔσωσεν. εἰ γὰρ οὗτος εἶ
Ὅν φησιν οὗτος, ἴσθι δύσποτμος γεγώς.—
Οἰ. Ἰοὺ, ἰού· τὰ πάντ' ἂν ἐξίκοι σαφῆ.
Ὦ φῶς, τελευταῖόν σε προσβλέψαιμι νῦν·
Ὅϛις πέφασμαι φύς τ' ἀφ' ὧν οὐ χρῆν, ξὺν οἷς
Τ' οὐ χρῆν μ' ὁμιλῶν, οὕς τέ μ' οὐκ ἔδει κτανών. —

Χο. Ὦ γενεαὶ βροτῶν, ὡς ὑμᾶς ἴσα καὶ τὸ μηδὲν

1196. Ὡς ἀναλωσαιμί νιν] ἀντὶ τοῦ ἀπολέσαιμι. 1197. Τεκοῦσα τλήμων;] κατ' ἐρώτησιν. 1200 Κτενεῖν νιν τοὺς τεκόντας] τοῦτο κατὰ σύλληψιν. οὐ γὰρ φονεύει τὴν μητέρα. 1201. Πῶς δῆτ'] παρατηρητέον ὅτι τὸν γέροντα μετεπέμψατο ἐπὶ τῷ ἀνακρῖναι τὸν φόνον τοῦ Λαΐου, καὶ προσβληθέντος ἑτέρου τινὸς, ἐπὶ τὸ ἀναγκαιότερον τρέπεται. 1206. Ἐξίκοι σαφῆ] ἀντὶ τοῦ ἀποβαίη. 1207. Ὦ φῶς τελευταῖόν σε] εὖ πεπλαγίασται ὁ λόγος, οὐχ ὡς τὴν πήρωσιν αἰνιττομένου, ἀλλ' ἐπὶ τὸν θάνατον αὐτῷ ὁ λόγος. ἀπορήσας γὰρ ξίφους, ἑαυτὸν ἐτύφλωσεν. 1210. Ὡς ὑμᾶς ἴσα καὶ τὸ μηδὲν] οὕτως καὶ ἐν Αἴαντι, Ὁρῶ γὰρ ἡμᾶς οὐδὲν „ ὄντας ἄλλο πλὴν Εἴδωλ' ὅσοι περ ζῶμεν, ἢ κούφην σκιάν. καὶ Πίνδαρος, Τί „ δὲ



Digitized by Google

Optimè dixerit tua uxor, quonam modo se hæc
habent.

*Oe.* An illa tradidit tibi?

*Ser.* Maxime rex.

*Oe.* Cujus rei gratiâ?

*Ser.* Ut eum perderem.

*Oe.* Misera, illane quæ pepererat?

*Ser.* Mali metu oraculi.

*Oe.* Cujus?

*Ser.* Daturus neci suos parentes ferebatur

*Oe.* Cur igitur huic tu seni dimiseras?

*Ser.* Misericordiâ commotus, here: in aliam terram
Putans latum iri, unde natus hic erat. At hic
Mala ad maxima servavit: si enim is es,
Quem hic dicit, fato infelici te natum scito.

*Oe.* Heu, heu. Omnia jam eveniunt certa.
O lux, te jam extremùm aspicio: [cumq. quibus
Qui aperte natus sum ex iis, quibus non oportuit,
Non debui, versor, quosq. non debui, interfeci.

## MONOSTROPHICA.

*Ch.* Heu, heu, genus mortalium, quam vos, quamdiu

" δέ τις; τί δ' οὔτις; σκιᾶς ὄναρ ἄνθρωποι.

ΣΧΟΛ. ΤΡΙΚΛ. 1203. Δοκῶν ἀποίσειν] ἰστέον ὅτι τὰ ἀπαρέμφατα, εἰ μὴ προηγεῖται εὐθεῖα, οὐδέποτ' εἰς εὐθεῖαν συντάσσεται· ὥστε καὶ τὸ αὐτὸς ἐνταῦθα οὐ πρὸς τὸ ἀποίσειν ἐστὶν, ἀλλὰ πρὸς τὸ ἔνθεν ἦν, οὕτως, δοκῶν καὶ νομίζων εἰς ἄλλην χθόνα ἀποίσειν καὶ κομίσειν ἔνθεν ἦν αὐτός. 1210. Ὦ γενεαὶ βροτῶν] ἀπιδὼν ὁ χορὸς πρὸς τὴν πάλαι τοῦ Οἰδίποδος εὐδαιμονίαν, καὶ τὴν ἄρτι συμβᾶσαν αὐτῷ τύχην, ἀποκλαίεται τὸ ἀνθρώπινον λέγων, ὦ γενεαὶ ἀνθρώπων, ὄντως ἐναριθμῶ καὶ συντάττω ζώσας ἡμᾶς τὰς γενεὰς, καὶ τὸ μηδὲν, ἴσα καὶ ὁμοίως. τοῦτ' ἔστιν, ἅπαντας τοὺς ζῶντας ἀνθρώπους οὐκ ἄλλό τι ἥγημαι ἢ οὐδέν. τίς γὰρ ἀνὴρ φέρει τὰς εὐδαιμονίας ;



Digitized by Google

Ζώσας ἐναριθμῶ;
Τίς γὰρ, τίς ἀνὴρ πλέον
Τᾶς εὐδαιμονίας φέρει,
Ἢ τοσοῦτον ὅσον δοκεῖν,
Καὶ δόξαντ', ἀποκλῖναι;
Τὸ σόν τοι παράδειγμ' ἔχων,
Τὸν σὸν δαίμονα, τὸν σὸν, ὦ τλᾶμον
Οἰδιπόδα, βροτῶν οὐδένα μακαρίζω·
Ὅστις καθ' ὑπερβολὰν τοξεύσας,
Ἐκράτησας τοῦ πάντ' εὐδαίμονος ὄλβου.
Φεῦ κατὰ μὲν φθίσας τὰν γαμψώνυχα
Παρθένον χρησμῳδόν·
Θανάτων δ' ἐμᾷ χώρᾳ πύργος ἀνέστας,
Ἐξ οὗ καὶ βασιλεὺς καλῇ ἐμός·
Καὶ τὰ μέγιστ' ἐτιμάθης,

καὶ τὰς εὐτυχίας πλέον ἢ τοσοῦτον ὅσον δοκεῖν καὶ φαίνεσθαι ὅτι ἐστί τις, καὶ δόξαντα ἀποκλῖναι καὶ ἀποπεσεῖν τῆς εὐδαιμονίας; τοῦτ' ἔστιν, οἱ εὐτυχοῦντες οὐδὲν πλέον ἀποφέρονται τῆς τύχης ἢ ὅσον δόξαν παρέχειν τοῖς ἀνθρώποις ὅτι εἰσί τινες, εἶτα ἀθρόον εἰς τὸ μηδὲν χωροῦσι. νόει δὲ καὶ τὸ εὐδαιμονίας γενικὴν, οὕτω, τίς ἀνὴρ φέρει τῆς εὐδαιμονίας πλέον, ἢ τοσοῦτον ὅσον; καὶ τὰ ἑξῆς.

SCHOL. INED. 1198. Ἡ ἀθλία ἔδωκέ σοι ἀπολέσαι αὐτὸν δηλονότι ὑπὸ θεοῦ προῤῥηθέντων· Ναὶ δι' ὄκνον ἤγουν φόβον κακῶν θεσφάτων ἤγουν ὑπὸ θεοῦ ποῤῥηθέντων. 1200. Σύλληψις ὁ τρόπος· οὐ γὰρ καὶ τὴν μητέρα ἐφόνευσεν· 1202. Οἰκτισάμενος ἤγουν ἐλεήσας. 1204. Ἤγουν εἰς μεγίστας δυστυχίας γεγονὼς, ὑπάρχων. 1206. Ὑποδεδειγμένα ἂν εἴη σαφῶς. Προσβλέψαιμι ἀντὶ τοῦ θεάσομαι, εὐκτικὸν ἀντὶ ὁριστικοῦ· Ὅστις δέδειγμαι καὶ γεννηθεὶς ἀφ' ὧν οὐκ ἦν πρέπον γεννηθῆναί με, καὶ ὁμιλῶν ἤγουν συνευναζόμενος σὺν οἷς οὐ πρέπον ἦν με ὁμιλεῖν ἤγουν τῇ μητρὶ, καὶ κτανὼν ὃς οὐκ ἔδει κτανεῖν με. Οὐ πρέπον ἦν γεννηθῆναί με δηλονότι· Οὐ πρέπον ἦν ὁμιλεῖν με. 1210. Ὡς ἐπίσης τὸ ως ἐπὶ βεβαιώσεως· ὡς ἐπίσης ὑμᾶς ζώσας τάττωται τὸ μηδέν.

1211. Ἐναριθμῶ] ἐναριθμοῦμαι. ἴν' ᾖ ῥῆμα πρώτου προσώπου, καὶ οὐ

δολικὴ

Vivitis, eodem in loco, quo nihil, numero !
Quis enim, quis homo plus
Felicitatis obtinet,
Quàm quantum opinione concipit ?
Eamque cum concepit, tamèn corruit.
Tuum igitur exemplum habens,
Tuam fortunam, tuam, inquam, O infelix
Oedipe, mortalium neminem beatum prædico;
Qui nimis feliciter arcu intento
Affecutus es omnigenam beatitudinem,
(O Jupiter) qui perdidisti curvis armatam ungui-[bus
Puellam *(Sphinga)* carmina canentem ;
Atque morte terræ meæ propugnaculum sic exti-[tisti,
Ex quo et rex nunc vocaris meus :
Et maximos honores adeptus es

δοτικὴ ἀρσενικοῦ. 1214. Ὅσον δοκεῖν] ὅσον δόξαι εὐδαίμων εἶναι· κατὰ ἀλήθειαν δὲ τοῦτο ἀνθρώπῳ οὐκ ἔστι. τὸ τῆς τύχης γὰρ ῥεῦμα μεταπίπτει ταχύ. 1215. Ἀποκλῖναι] πεσεῖν, ἢ ἀποβαλεῖν. 1216. Τὸ σόν τοι παράδειγμ᾽ ἔχων] τὸν σὸν βίον παράδειγμα ἔχων, οὐδένα μακαρίζω καὶ εὐδαιμονίζω. 1219. Τοξεύσας] ἐπιτυχών. εὐτυχήσας. 1221. Γαμψώνυχα παρθένον] τὴν Σφίγγα. 1223. Θανάτων δ᾽ ἐμᾷ χώρᾳ] θανάτων τῶν ὑπὸ τῆς Σφιγγὸς γιγνομένων. 1223. Πύργος δὲ] ἀντὶ τοῦ, ἀσφάλεια καὶ ἀπαλέξησις γέγονε.

ΣΧΟΛ. ΤΡΙΚΛ. 1221. Ταν γαμψώνυχα] ἤγουν τὴν Σφίγγα. ἰστέον δ᾽ ὅτι ἡ Σφὶγξ εἶχε πρόσωπον καὶ κεφαλὴν κόρης, σῶμα κυνὸς, πτερὰ ὄρνιθος, φωνὴν ἀνθρώπου, ὄνυχας λέοντος.

SCHOL. INED. 1218. Ἐπαινεῖταί τις ἐφ᾽ οἷς ποιεῖ καλοῖς, καὶ ψέγεται ἐφ᾽ οἷς ποιεῖ κακοῖς. μακαρίζεται δέ τις ἐπὶ ἰσχύϊ καὶ πλούτῳ καὶ δυνάμει, ἃ οὐκ αὐτὸς ἐνεργήσας ἐκτήσατο, ἀλλ᾽ ἢ κληρονομήσας ἢ ἀπὸ φύσεως λαχών· τῆς μακαριότητος τῆς κατὰ πάντα εὐτυχοῦς, ἤγουν ἐγένου μακαριστός· Τὴν ἔχουσαν ἀγκύλους τοὺς ὄνυχας, τὴν ἐμμέτρως ᾄδουσαν τὰς μαντείας. 1223. Ἕνεκα τῶν θανάτων τῶν ἀπὸ τῆς Σφιγγὸς δηλονότι.



Digitized by Google

Ταῖς μεγάλαισιν ἐν Θήβαις ἀνάσσων·
Τανῦν δ' ἀκούειν, τίς ἀθλιώτερος;
Τίς ἐν πόνοις, τίς ἄταις ἀγρίαις
Ξυνοικος ἀλλαγᾷ βίου;
Ὦ κλεινὸν Οἰδίπου κάρα,
Ὦ, μέγας λιμὴν αὐτὸς ἤρκεσε
Παιδὶ καὶ πατρὶ θαλαμηπόλῳ πεσεῖν.
Πῶς ποτε, πῶς ποθ' αἱ πατρῷαί
Σ' ἄλοκες φέρειν τάλας
Σῖγ' ἐδυνάσθησαν ἐς τοσόνδε;
Ἐφεῦρέ σ' ἄκονθ' ὁ πάνθ' ὁρῶν χρόνος.
Δικάζει τὸν ἄγαμον γάμον πάλαι,
Τεκνοῦντα καὶ τεκνούμενον.
Ὦ Λαΐειον τέκνον,
Εἴθε σ' εἴθε μήποτ' ἰδόμαν.
Ὀδύρομαι γὰρ ὡς περίαλλα
Ἰαχέων ἐκ στομάτων.
Τὸ δ' ὀρθὸν εἰπεῖν,
Ἀνέπνευσά τ' ἐκ σέθεν, καὶ

1227. Τὰ νῦν δ' ἀκούειν] εἰς τὸ ἀκούειν. 1229. Ξύνοικος ἀλλαγᾷ βίου] ξυνοικῶν τῇ τοῦ βίου μεταβολῇ. 1231. Ὦ μέγας λιμὴν] ᾧ ὑποδοχὴ εἰς τὸ ἄμφω δέξασθαι, σὲ καὶ τὸν πατέρα. ἢ ὅτι μήτηρ ἦν καὶ γυνὴ ἡ Ἰοκάστη, ἣν λέγει λιμένα. 1232. Θαλαμηπόλῳ] νυμφίῳ. 1234. Ἄλοκες ἀντὶ τοῦ αὔλακες. αἱ κοῖται, αἱ σποραί, οἱ γάμοι. 1235. Σῖγ' ἐδυνάσθησαν] πῶς (φησὶ) φωνὴν οὐκ ἔρρηξαν; 1241. Ὡς περίαλλα] περιάλλως ὑπερβολικῶς· 1244. Ἀνέπνευσά τ' ἐκ σέθεν] ἤγουν διὰ σὲ καὶ νῦν κατέμυσα τὸ ὄμμα. ἐξ οὗ δηλοῖ, καὶ νῦν ἐπηρθημεν περισωθέντες.

ΣΧΟΛ. ΤΡΙΚΛ. 1131. Ὦ μέγας λιμὴν] ᾧ τινι Οἰδίποδι μέγας λιμὴν αὐτὸς καὶ εἷς, ἤγουν Ἰοκάστη, ἤρκεσε καὶ ἀρκετὸς ἐφάνη παιδὶ καὶ θαλαμηπόλῳ καὶ νυμφίῳ πατρί, ὥστε πεσεῖν τοῦτον τὸν Οἰδίποδα ἐν αὐτῷ τῷ λιμένι. τοῦτ' ἔστιν, Ἰοκάστη καὶ παῖδα τὸν Οἰδίποδα ἔσχε καὶ πατέρα τῶν αὐτῶν παίδων. 1237. Δικάζει τὸν ἄγαμον] δικάζει καὶ κρίνει καὶ ἐκφαίνει ὁ χρόνος τὸν πάλαι κακόγαμον γάμον, τεκοῦντα καὶ γεννῶντα, καὶ τεκνούμε-

νον

Magnis in Thebis imperium obtinens.
Nunc autem, ut audio, quis *te* miſerior?
Quis in ærumnis, quis in immanioribus malis
Magis cohabitat vitæ viciſſitudine?
O inclytum Oedipi caput!
Cui magnus portus ſolus ſuffecit
Filio et patri ſponſo, ut laberentur.
Quomodo unquam, quomodo paterni
Te, miſer, ſulci ferre
Silentio potuere tam diu?
Deprehendit *tandem* te invitum tempus omnia [cernens.
Damnatque inauſpicatas pridem nuptias
*Teque* genitorem, et genitum *ſimul.*
O Laii nate,
Utinam, utinam te nunquam viderem:
Deploro enim ſupra modum *te*
Luctuoſis vocibus.
Ut vera *tamen* dicam,
Recepique ſpiritum per te, et

νον κ̀ γεννώμενον. τȣτ' ἔςι, τὸν ἀνόμως ὑπάρξαντα γάμον τȣ̃ Λαΐȣ δείκνυσιν ὁ χορὸς, κ̀ τεκνȣ̃ντα κ̀ τεκνοποιȣ̃ντα, διὰ τὴν Οἰδίποδος πρὸς Ἰοκάςην μίξειν. κ̀ τεκνȣ́μενον κ̀ γεννώμενον, διὰ τὸ ἐξ αὐτῆς τȣ̃τον γεννηθῆναι. ἢ τὸ ἄγαμον γάμον διὰ τὸν Οἰδίποδα νοητέον, ȣ̃τω, δικάζει ὁ χρόνος τὸν ἄγαμον κ̀ κακόγαμον γάμον τȣ̃ Οἰδίποδος πρὸς Ἰοκάςην, τεκνȣ̃ντα κ̀ τεκνοποιȣ̃ντα ἐξ αὐτῆς, κ̀ τεκνȣ́μενον κ̀ γεννώμενον αὐτὸν ἐξ αὐτῆς.

SCHOL. INED. 1228. Ἀκατασχέτοις, ἀκαταπαύτοις. 1229. Περιφραςικῶς, ὦ ἔνδοξε Οἰδίπȣς, κατὰ τὴν τȣ̃ α βίȣ μεταβολήν. Ἀναπαύσασθαι ἡμᾶς ἐν ἐκείνῳ. 1234. Αὔλακες ἤγȣν ἡ γυνὴ ἔνθα σπείρει ὁ πατὴρ σέ. 1238. Σὲ δηλονότι τεκνȣ̃ντα ὅθεν ἐτεκνώθης. 1243. Τὸ δὲ σύντομον κ̀ ȣ̉ σκολιὸν εἰς τὸ εἰπεῖν. 1244. Ἀναψυχὴν ἔλαβον ὑπὸ σȣ̃. Ἀναπνέω τὸν ἀέρα κ̀ ἀπὸ τȣ́τȣ, ἀνέπνευσα ἀμεταβάτως, ὅτε ἐν βίᾳ τινὶ ἦν, εἶτα ἀπηλλάγην αὐτῆς.

1264. Ὦ

Digitized by Google

Κατεκοίμησα τȣ̓μὸν ὄμμα. —

Εξ. Ὦ γῆς μέγιςα τῆσδ' ἀεὶ τιμώμενοι,
Οἷ' ἔργ' ἀκȣ́σεσθ', οἷα δ' εἰσόψεσθ' ὅσον
Δ' ἀρεῖσθε πένθος, εἴπερ ἐγγενῶς ἔτι
Τῶν Λαβδακείων ἐντρέπεσθε δωμάτων.
Οἶμαι γὰρ ȣ̓τ' ἂν Ἴςρον ȣ̓́τε Φᾶσιν ἂν
Νίψαι καθαρμῷ τήνδε τὴν ςέγην, ὅσα
Κεύθει. τὰ δ' αὐτίκα εἰς τὸ φῶς φανεῖ κακὰ
Ἑκόντα, κȣ̓κ ἄκοντα. τῶν δὲ πημονῶν
Μάλιςα λυπȣ̃σ' αἳ 'ν φανῶσ' αὐθαίρετοι. —
Χο. Λείπει μὲν ȣ̓δ' ἃ πρόσθεν ᾔδειμεν τὸ μὴ ȣ̓
Βαρύςον' εἶναι· πρὸς δ' ἐκείνοισιν, τί φής;
ΑΓ. Ὁ μὲν τάχιςος τῶν λόγων εἰπεῖν τε καὶ
Μαθεῖν, τέθνηκε θεῖον Ἰοκάςης κάρα.
Χο. Ὦ δυςάλαινα· πρὸς τίνος ποτ' αἰτίας;
ΑΓ. Αὐτὴ πρὸς αὐτῆς. τῶν δὲ πραχθέντων τὰ μὲν

1246. Ὦ γῆς μέγιςα] ἐξάγγελος ἔρχεται ἀπαγέλλων ὅτι αἴσχιςα ἐτελεύτησεν ἡ Ἰοκάςη, καὶ ὁ Οἰδίπȣς ἑαυτὸν ἐτύφλωσεν. 1248. Ἀρεῖσθε πένθος] ἀντὶ τȣ̃ λήψεσθε. Ib. Εγγενῶς] γνησίως. 1254. Ἃ 'ν φανῶσ' αὐθαίρετοι] ἑκȣσίως γὰρ ἑαυτὸν καὶ ὁ Οἰδίπȣς ἐτύφλωσε, καὶ ἡ Ἰοκάςη ἀπηγξατο, μάλιςα (φησὶ) τῶν κακῶν λυπεῖ τὰ μὴ ἐκ τύχης συμβάντα, ἀλλ' ὥσπερ ἐπίσπαςα καὶ αὐτάγρετα γιγνόμενα.

ΣΧΟΛ. ΤΡΙΚΛ. 1251. Ὅσα κεύθει] τȣ̃το ȣ̓́τω λέγε, Νίψαι καὶ καθᾶραι ἐν καθαρμῷ τήνδε τὴν ςέγην ἐκείνων ὅσα κεύθει καὶ κρύπτει. ὅμοιον δὲ τῷ, Οἷοι νῦν βροτοί εἰσιν. ὀφείλων γὰρ εἰπεῖν, Νίψαι τὴν ςέγην τῶν κακῶν ὅσα κρύπτει, ἃ αὐτίκα εἰς τὸ φῶς δείξει· ὁ δὲ λέγει, Νίψαι τὴν ςέγην ὅσα κακὰ κρύπτει, ἀποδιδȣ̀ς τὸν λόγον πρὸς τὸ ἀνταποδοτικόν. τὸ δὲ, τὰ δ' αὐτίκα, τὰ τȣ̃ Οἰδίποδος λέγει. ἔμελλε γὰρ αὐτὸς μετ' ὀλίγον ἐξιέναι τυφλός. 1253. Ἑκόντα] ἑκὼν Οἰδίπȣς τετύφλωται, διὰ τὸ αὐτὸς ἑαυτὸν τυφλῶσαι· ἄκων δ', ὡς ὑπὸ τῶν κακῶν εἰς τȣ̃το συνελαθεὶς, καὶ ȣ̓ προαιρέσει οἰκείᾳ. 1258. Θεῖον Ἰοκάςης κάρα] ἰςέον

ὅτι

Digitized by Google

*Per te* sopivi meos oculos.

IAMBI.

[obtinetis,
*Nu.* O qui maximum in hâc terrâ semper honorem
Qualia opera audietis? qualia et videbitis? quan-
Capietis luctûs, siquidem seriò adhuc [tumq.
Labdacidarum reveremini domum?
Credo enim neque Istrum neque Phasin
Abluere posse et expiare hanc domum a malis,
Celat, quæque mox in lucem proferet [quæ
Spontanea, et neutiquàm coacta. Malorum verò
*Ea* maximè dolent, quæ ultrò accersuntur.
*Ch.* Deest quidem nihil, neq. priùs quæ novimus *malis*, cur non
Sint acerbissima; ad illa verò quid ultra nuncias?
*Nu.* Expeditissimum omnium dictuque et
Intellectu *audi*. Mortuum est Jocastæ caput.
*Ch.* O miserrima! Quid illi causæ erat?
*Nu.* Ipsa sibi causa *mortis* erat. E factis autem quod

ὅτι ὁ μὲν Εὐριπίδης φησὶ τὴν Ἰοκάστην τεθνάναι πλησίον τῶν παίδων, ὅτε μονομαχήσαντες ὑπ' ἀλλήλων ἀπώλοντο· Σοφοκλῆς δὲ νῦν ταύτην φησὶν ἀγχόνῃ χρήσασθαι.

Σχήμ. Τρικλ. 1246. Ὦ γῆς μέγιστα] ἄφιξις ἀγγέλου τὸν θάνατον Ἰοκάστης ἀγγέλλοντος. 1255. Τὸ μὴ οὐ] συνίζησις.

SCHOL. INED. 1246. Ὦ οἰκήτορες τῆσδε τῆς γῆς δηλονότι, τὰς μεγίστας τιμὰς ἀεὶ τιμώμενοι. 1249. Ἀντὶ τοῦ ἐπιστρέφεσθε, ἐπιστροφὴν ἔχετε. 1250. Ποταμὸς ὁ νῦν Δανούβιος. Ποταμὸς καὶ οὗτος κατὰ τὴν Κολχίδα· Ὅμοιον τῷ τῶν οἳ νῦν βροτοί εἰσιν. ὤφειλον γὰρ εἰπεῖν νίψαι τὴν στέγην τῶν κακῶν ὅσα κρύπτει, ἃ αὐτίκα εἰς τὸ φῶς δείξει, ὁ δὲ λέγει νίψαι τὴν στέγην ὅσα κακὰ κρύπτει. ἀποδιδοὺς τὸν λόγον, πρὸς τὸ ἀνταποδοτικόν. 1253. Τί ἑκόντες, ὁ μὲν Οἰδίπους ἐτύφλωσεν ἑαυτὸν, ἡ δ' Ἰοκάστη ἀπήγξατο· Ἀθόρμητοι, ἑκούσιοι· Ib. Τῶν δὲ πημονῶν ἤγουν ἀπὸ τῶν βλαβῶν, ἐκεῖναι δηλονότι μάλιστα λυποῦσιν. αἳ ἂν φανῶσιν ἑκούσιοι. 1256. Τί ἕτερον λέγεις· Περιφραστικῶς, ἡ θεία Ἰοκάστη.

1267.

Digitized by Google

Ἄλγιστ' ἄπεστιν· ἡ γὰρ ὄψις οὐ πάρα·
Ὅμως δ' ὅσον γε κἀν ἐμοὶ μνήμης ἔνι,
Πεύσῃ τὰ κείνης ἀθλίας παθήματα.
Ὅπως γὰρ ὀργῇ χρωμένη παρῆλθ' ἔσω
Θυρῶνος, ἵκετ' εὐθὺ πρὸς τὰ νυμφικὰ
Λέχη, κόμην σπῶσ' ἀμφιδεξίοις ἀκμαῖς.
Πύλας δ' ὅπως εἰσῆλθ', ἐπιρρήξασ' ἔσω,
Καλεῖ τὸν ἤδη Λάϊον πάλαι νεκρόν,
Μνήμην παλαιῶν σπερμάτων ἔχουσ', ὑφ' ὧν
Θάνοι μὲν αὐτός, τὴν δὲ τίκτουσαν λίποι
Τοῖς οἷσιν αὐτοῦ δύστεκνον παιδουργίαν.
Γοᾶτο δ' εὐνάς, ἔνθα δύστηνος διπλοῦς
Ἐξ ἀνδρὸς ἄνδρας, καὶ τέκν' ἐκ τέκνων τέκοι.
Χὤπως μὲν ἐκ τῶνδ' οὐκέτ' οἶδ' ἀπόλλυται.
Βοῶν γὰρ εἰσέπαισεν Οἰδίπους, ὑφ' οὗ
Οὐκ ἦν τὸ κείνης ἐκθεάσασθαι κακόν.
Ἀλλ' εἰς ἐκεῖνον περιπολοῦντ' ἐλεύσσομεν.
Φοιτᾷ γὰρ ἡμᾶς ἔγχος ἐξαιτῶν πορεῖν·

1267. Πύλας δ' ὅπως εἰσῆλθ'] τὸ ἑξῆς, ὅπως εἰσῆλθεν ἔσω, ἐπιρρήξασα τὰς πύλας, τουτέστι κλείσασα· Ὅμηρος, " τὸν τρεῖς μὲν ἐπιρρήσσεσκον Ἀχαιοί, Τρεῖς δ' ἀναοίγεσκον. καλῶς δὲ τοῖς λέκτροις ἐπεμπίπτει. δι' αὐτὰ γὰρ ἀπόλλυται. 1270. Τὴν δὲ τίκτουσαν λίποι] τὴν δὲ γυναῖκα λίποι τὴν ἑαυτοῦ. τουτέστι, τῷ υἱῷ γυναῖκα παιδοποιόν. 1277. Περιπολοῦντα] περιερχόμενον, ὥσπερ ἐμμανῆ.

ΣΧΟΛ. ΤΡΙΚΛ. 1266. Ἀμφιδεξίοις ἀκμαῖς] ἀμφιδέξιον τὸ ἐξ ἀμφοτέρων τῶν χειρῶν δεχόμενον καὶ λαμβανόμενον. ἔστι δὲ καὶ ἀμφιδέξιον, εἶδος ὑποδήματος, ὃ καλοῦσι κόθορνον. ἀμφιδέξιον δὲ νῦν τὸ περιεκτικόν. 1269. Ἔχουσ', ὑφ' ὧν] εὕρηται καὶ ὑφ' ἧς, πρὸς τὸ μνήμην, οὕτως· ἔχουσα κατὰ νοῦν καὶ λέγουσα τὴν μνήμην καὶ τὴν φροντίδα τῶν παλαιῶν σπερμάτων, ἣν εἶχεν ὁ Λάϊος τεκνοποιῆσαι, ὑφ' ἧς φροντίδος θάνοι μὲν αὐτός, λίποι δὲ παιδουργίαν δύστεκνον καὶ ἄνομον τὴν τίκτουσαν. τίσι δὲ λίποι; τοῖς οἷσιν καὶ τοῖς ἰδίοις αὐτῶν γεννήμασιν. ἤτοι τῷ Οἰδίποδι.

1278.

Digitized by Google

Maximè doleret abest. non enim rem datur cer-
Tamen, quantum ego memoriâ valeo; [nere:
Audies illius miseræ casus *acerbos*.
Ubi enim irâ ardens ingressa est
Ostium; accessit illico ad connubialem
Torum, comas lacerans utrâque manu.
Ubi verò venit intro, conclusis foribus,
Vocat Laium jampridèm mortuum,
Mentionem vetusti faciens seminis, a quo [quisset
Et ille peremtus esset, et se, quæ pepererat, reli-
Filio suo ad inauspicatam liberorum procreatio-
Plorabat autem lectum, ubi misera binos [nem.
Ex viro viros, et liberos ex liberis peperisset.
Quînam verò ex hoc perierit, non ampliùs novi.
Clamans enim irruit Oedipus, præ quo
Non licebat illius cernere malum. [dimus.
In eum autem huc illuc cursitantem oculos inten-
Ibat enim hastam a nobis postulans dari,

1278. Φοιτᾷ γὰρ ἡμᾶς] τὸ φοιτᾷ πρὸς τὸ ὅπου κίχοι, κατὰ κοινοῦ λάμβανε, οὕτω, φοιτᾷ δὲ ὅπου κίχοι καὶ καταλαμβάνοι τὴν γυναῖκα Ἰοκάστην τὴν οὐ γυναῖκα, (μήτηρ γὰρ αὐτοῦ ἦν) τὴν μητρῴαν διπλῆν ἄρουραν, οὗ τε, ἤγουν αὐτοῦ, καὶ τῶν αὐτοῦ τέκνων.

SCHOL. INED. 1261. Τὰ πάνυ ἀλγεινὰ ἤγουν ἡ πρᾶξις τοῦ θανάτου. 1264. Ὡς γὰρ παρῆλθεν ἤγουν παρεγένετο ἔσω τοῦ θυρῶνος. ὀργῇ ἀντὶ τοῦ λύπῃ χρωμένη· Θυρὼν ὁ περιέχων τόπος τὰς θύρας. 1266. Πρὸς τὴν κοίτην, ἔνθα μετὰ τοῦ ἀνδρὸς ἔκειτο· Ἀμφοῖν χεροῖν. 1267. Ὡς δὲ εἰσῆλθεν ἔσω ἐπιῤῥήξασα τὰς πύλας, ὅ ἐστι κλείσασα. 1268. Ἐκάλει τὸν Λάϊον τὸν προμακροῦ ἤδη νεκρόν. Τέκνων τουτέστι τοῦ Οἰδίποδος. 1270. Τίκτουσαν δύστεκνον παιδουργίαν ἀντὶ τοῦ παῖδας δύσπαιδας. 1272. Ἐκώκυε ποία λέξις. 1273. Ἐτεοκλέα Πολυνείκην ἀντὶ τοῦ ἔτεκε δεύτερον. ἄνδρα ἤγουν τὸν Οἰδίποδα. 1278. Ἤγουν ἐφοίτα ἤγουν ἐμμανῶς περιεστρέφετο ἔγχος ἐξαιτῶν πορεῖν ἡμᾶς, ἤγουν παρασχεῖν· μητρῴαν δὲ γυναῖκα μητρικήν.



Digitized by Google

Γυναῖκά τ' οὐ γυναῖκα, μητρῴαν δ' ὅπου
Κίχοι διπλῆν ἄρουραν, οὗ τε καὶ τέκνων.
Λυσσῶντι δ' αὐτῷ δαιμόνων δείκνυσί τις·
Οὐδεὶς γὰρ ἀνδρῶν οἳ παρῆμεν ἐγγύθεν.
Δεινὸν δ' ἀΰσας ὡς ὑφ' ἡγητοῦ τινὸς,
Πύλαις διπλαῖς ἐνήλατ'· ἐκ δὲ πυθμένων
Ἔκλινε κοῖλα κλεῖθρα, κἀμπίπτει στέγῃ,
Οὗ δὴ κρεμαστὴν τὴν γυναῖκ' εἰσείδομεν,
Πλεκταῖς ἑώραις ἐμπεπλεγμένην. ὁ δὲ
Ὅπως ὁρᾷ νιν, δεινὰ βρυχηθεὶς τάλας,
Χαλᾷ κρεμαστὴν ἀρτάνην. ἐπεὶ δὲ γῇ
Ἔκειτο τλήμων, δεινὰ δ' ἦν τἀνθένδ' ὁρᾷν.
Ἀποσπάσας γὰρ εἱμάτων χρυσηλάτους
Περόνας ἀπ' αὐτῆς, αἷσιν ἐξεστέλλετο, :
Ἄρας ἔπαισεν ἄρθρα τῶν αὐτοῦ κύκλων,
Αὐδῶν τοιαῦθ'. ὅθ' οὕνεκ' οὐκ ὄψοιτό νιν,
Οὔθ' οἷ' ἔπασχεν, οὔθ' ὁποῖ' ἔδρα κακά·
Ἀλλ' ἐν σκότῳ τολοιπὸν, οὓς μὲν οὐκ ἔδει
Ὀψοίαθ'· οὓς δ' ἔχρηζεν, οὐ γνωσοίατο.

1284. Ἐκ δὲ πυθμένων] ἀνέτρεψε τὰς πύλας καὶ κατέβαλεν ἐκ τῶν πυθμένων. 1287. Πλεκταῖς ἑώραις] ἑώρα λέγεται κρέμασις, ὕψωσις, μέταρσις. 1289. Ἀρτάνην] τὴν ἀναρτηλικήν. κυρίως δὲ ἀρτάνη λέγεται ἡ ἐκ τῶν καλωδίων ἀγχόνη. 1296. Ἀλλ' ἐν σκότῳ τὸ λοιπὸν, οὓς μὲν οὐκ ἔδει ὀψοίαθ', οὓς δ' ἔχρηζεν οὐ γνωσοίατο] τὸ συμβαῖνον πᾶσι τοῖς τυφλοῖς εἶπεν. οὐχ ὁρῶντες γὰρ, πολλάκις συμπίπτουσιν οἷς οὐκ ἂν ἐβούλοντο, οὐχ ὁρῶσι δὲ ὧν δέονται. ἐν σκότῳ οὖν ἔσται καὶ ἀγνωσίᾳ.

ΣΧΟΛ. ΤΡΙΚΛ. 1296. Ἀλλ' ἐν σκότῳ] οἱ γὰρ τυφλοὶ, περιφερόμενοι οὐ δύνανται ὑπὸ τῆς τυφλώσεως καταμαθεῖν οὓς ἂν θέλωσιν, ἀλλ' ἄλλοις ἀντὶ ἄλλων προσέρχονται.

SCHOL. INED. 1280. Διπλῆν ἄρουραν, διὰ τὸ ἐξ ἐκείνης ἐσπάρη καὶ εἰς ἐκείνην ἔσπειρεν. 1281. Ἀντὶ τοῦ ἔδειξεν ὅπου ἦν ἡ γυνὴ δηλονότι· 1284. Ἀνέτρεψε τὰς πύλας καὶ ἀπέβαλεν ἐκ τῶν πυθμένων. 1285.



Digitized by Google

Et ubi conjugem non-conjugem, maternumque
Inveniret duplex arvum, ſuique et liberorum.
Furenti autem illi deorum neſcio-quis indicat,
Nullus enim noſtrûm fecit, qui aderamus propè.
Graviterque exclamans, ut a quopiam incitatus,
In geminas fores inſiluit, calcibus, et funditùs
Evulſit cava clauſtra, et irruit cubiculum.
Ibi tum penſilem illius conjugem vidimus,
Tortilibus ſuſpendiis implicitam; ille verò
Ubi videt eam, horrendùm infremens miſer,
Laxat pendentem reſtim: poſtquam autem humi
Jacebat miſera, atrocia ſanè ex eo cernere licebat.
Cum enim avulſiſſet ab illius veſtibus aureas
Fibulas, quibus erat culta,
Raptis iis verberavit nervos orbium ſuorum
Talia dicens, ſe non viſurum eam ultrà
Neque qualia paſſus eſſet, nec quæ patraſſet mala:
Sed lumine caſſum poſthac quos non fas eſſet
Viſurum, quoſque deſiderabat non agniturum.

Μετὰ σφοδρᾶς ὁρμῆς εἰσῆλθεν εἰς τὴν ςέγην. 1287. Εὗρα διὰ τῦ ὑψιλῦ ὅθεν κὴ μετέωρον. Κρεμάθρα δι' ἧ κρεμᾷ τίς τί. 1288. Ἀντὶ τῦ βρυχησάμενος λέγεται ἐπὶ τῆς φωνῆς τῶν λεόντων, ἀντὶ τῦ ὁ ἄθλιος ἀνοίμωξεν. 1289. Ἐχάλασε, κατεβίβασε τὴν μετέωρον κρεμάθραν· Κατασπάσας ἀντὶ τῦ καθελκύσας. ἀνασπάσας ἀντὶ τῦ ἀνελκύσας; διασπάσας ἀντὶ τῦ διαμερίσας· Τὺς τόπυς τῶν ὀφθαλμῶν, ἔνθα ἁρμόζεται τὰ βλέφαρα τυτέςι τὰς κόρας ἀνακαλύψας, ἀνοίξας. 1295. Ἀντὶ τῦ ὅτι ἐκ παραλλήλυ ἐρῶ σε οἷα πάσχεις. 1296. Οἱ γὰρ τυφλοὶ πρὸς ἃ μὲν ἀπελθεῖν βύλονται, ὐ κατορθῦνται, πρὸς ἃ δ' ὐ βύλονται ἀγνοῦντες πορεύονται. Οὐκ ὄψονται αὐτὸν ὔτε οἷα ἔπασχεν ὔτε ὁποῖα ἔδρα· Ὅμοιον τῷ, Ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων; 1297. Οὐ γνώσοιντο ἀντὶ τῦ ὐ γνώσονται· Τὰ δὲ κακὰ ἔῤῥωγε κὴ ἐῤῥώγησαν ἐκ δυοῖν, ὐ μόνυ, ἤγυν τῦ Οἰδίποδος.

Τοιαῦτ' ἐφυμνῶν πολλάκις τε κοὐχ ἅπαξ,
Ἤρασσ', ἐπαίρων βλέφαρα. φοίνιαι δ' ὁμοῦ
Γλῆναι γένει' ἔτεγγον. οὐδ' ἀνίεσαν
Φόνου μυδώσας σταγόνας· ἀλλ' ὁμοῦ μέλας
Ὄμβρος χαλάζης αἵματος ἐτέγγετο.
Τάδ' ἐκ δυεῖν ἔῤῥωγεν οὐ μόνου κακά.
Ἀλλ' ἀνδρὶ καὶ γυναικὶ συμμιγῆ κακά.
Ὁ πρὶν παλαιὸς δ' ὄλβος, ἦν πάροιθε μὲν
Ὄλβος δικαίως, νῦν δὲ τῇδε θ' ἡμέρᾳ
Στεναγμὸς, ἄτη, θάνατος, αἰσχύνη· κακῶν.
Ὅσ' ἐστὶ πάντων ὀνόματ', οὐδέν ἐστ' ἀπόν.—
Χο. Νῦν δ' ἔσθ' ὁ τλήμων ἐν τίνι σχολῇ κακοῦ;
Αγ. Βοᾷ διοίγειν κλεῖθρα, καὶ δηλοῦν τινὰ
Τοῖς πᾶσι Καδμείοισι τὸν πατροκτόνον,
Τὸν μητρός· αὐδῶν ἀνόσι', οὐδὲ ῥητά μοι·
Ὡς ἐκ χθονὸς ῥίψων ἑαυτὸν, οὐδ' ἔτι
Μενῶν δόμοις ἀραῖος ὡς ἠράσατο.
Ῥώμης γε μέντοι καὶ προηγητοῦ τινὸς
Δεῖται· τὸ γὰρ νόσημα μεῖζον ἢ φέρειν.
Δείξει δὲ καὶ σοί. κλεῖθρα γὰρ πυλῶν τάδε

1298. Ἐφυμνῶν] ἀνοιμώζων. 1299. Ἤρασσ' ἐπαίρων βλέφαρα] ἀναπετάσας τοὺς ὀφθαλμοὺς ἔπαιεν. 1309. Ἐν τίνι σχολῇ] ἤγουν, ἐν ποίᾳ διατριβῇ; 1310. Βοᾷ διοίγειν κλεῖθρα] πιθανὴ ἡ αἰτία τοῦ ἐξιέναι αὐτὸν, ἵνα (φησὶ) δείξῃ τοῖς πολίταις ὅτι ἀξίως ἑαυτὸν ἐτιμωρήσατο, ἐπὶ ἀκουσίοις παθήμασι, καὶ ὡς μέλλων ἑκοντὶ ἐξιέναι τῆς πόλεως διὰ τὰς ἀρὰς ἃς ἔφθασεν ἐπαρασάμενος.

ΣΧΟΛ. ΤΡΙΧΛ. 1302. Ὄμβρος χαλάζης] ἐπειδὴ τὸ μὲν αἷμα μέλαν, λευκὸν δὲ τὸ δάκρυον, μίγμα δ' ἦν ἀμφοτέρων τούτων τὸ ἐξ ὀφθαλμῶν τοῦ Οἰδίποδος στάζον, πρὸς μὲν τὸ αἷμα, μέλας ὄμβρος εἶπε· πρὸς δὲ, τὸ δάκρυον, ὄμβρος χαλάζης.

SCHOL.

Digitized by Google

Talia accinens sæpe, nec tantùm semel
Laniabat *oculos* elevatis palpebris: cruentæq. simul
Pupulæ genas madefaciebant, neque remittebant
Sanguinis humentes guttas, sed simul ater
Imber cruoris, grandinis *instar*, fluebat.
Et ista ab utroque manabant non uno solo mala,
Sed viri et uxoris mista simul mala.
Vetusta autem felicitas, quæ priùs quidem
Felicitas jure vocata est, ea nunc hâc ipsâ die
Gemitus, noxa, mors, dedecus *facta est:* malorumq.
Quotquot sunt omnium nomina, nullum *hîc* abest.
*Ch.* Nunc autem miser ille quo in malo versatur?
*Nu.* Clamat ut fores aperiantur, et ut ostendat aliquis
Omnibus Cadmi civibus patris peremtorem
Matrisque, loquens impia, nec a me referenda,
Ex terrâ hâc ejecturum se *nempe*, nec ampliùs
Mansurum domi propriæ, sic obnoxium execrati-
Robore sane et ductore aliquo [oni.
Eget, infirmitas enim major quàm quæ ferri
queat. [claustra
Ostendet autem et tibi; harum enim forium

SCHOL. INED. 1305. Ὁ πολυχρόνιος δὲ ὄλβος ὁ πρότερον. Κατὰ ταύτην τὴν ἡμέραν ἐστὶ δηλονότι. 1308. Ὅσα ἐστὶν ὀνόματα πάντων τῶν κακῶν, οὐδέν ἐστιν ἀπὸν, ἤγουν οὐδὲν ἄπεστιν, ἀλλὰ πάντα πάρεστι δηλονότι· Νῦν δὲ ἐν τίνι σχολῇ ἤγουν διατριβῇ κακοῦ ἐστιν ὁ τλήμων· 1310. Τὸν κατέχοντα καὶ ἀσφαλίζοντα τὰς πύλας. ἀπὸ τούτων δὲ δηλοῖ τὰς πύλας· Ἔμελλε λέγειν τὸν μητρὸς μιάστορα· σιγᾷ δὲ τοῦτο διὰ τὸ αἰσχρὸν, καὶ φῆναι ἀνόσιον, ἄῤῥητον εἶναι. Οὐ πρέποντα λέγεσθαι ὑπ' ἐμοῦ. 1316. Βαρὺ, πλέον ἢ ὥστε δύνασθαι φέρειν τινά. 1317. Δειχθήσεται καὶ σοὶ ὁποῖόν ἐστι·

Διοίγεται· θέαμα δ' εἰσόψει τάχα
Τοιοῦτον οἷον καὶ στυγοῦντ' ἐποικτίσαι.

Χο. Ὦ δεινὸν ἰδεῖν πάθος ἀνθρώποις,
Ὦ δεινότατον πάντων ὅσ' ἐγὼ
Προσέκυρσ' ἤδη· τίς σ' ὦ τλῆμον
Προσέβη μανία; τίς ὁ πηδήσας
Δαίμων μείζονα τῶν μηκίστων
Πρὸς τῇ σῇ δυσδαίμονι μοίρᾳ;
Φεῦ, φεῦ, δύσταν'. ἀλλ' οὐδ' ἐσιδεῖν
Δύναμαί σε. θέλων πόλλ' ἀνερέσθαι,
Πολλὰ πυθέσθαι, πολλὰ δ' ἀθρῆσαι·
Τοίαν φρίκην παρέχεις μοι.—
Οἰ. Αἶ αἶ αἶ αἶ.
Φεῦ, φεῦ, δύστανος ἐγώ. ποῖ γᾶς
Φέρομαι τλάμων; πᾷ μοι φθογγὰ
Διαπέταται φοράδην;
Ὦ δαῖμον, ἵν' ἐξήλου.
Χο. Ἐς δεινὸν, οὐδ' ἀκουστὸν, οὐδ' ἐπόψιμον.—

Οἰ. Ἰὼ σκότου νέφος ἐμὸν

1320. Ὦ δεινὸν ἰδεῖν πάθος ἀνθρώποις,] ἴσως οἱ κατὰ τὸν χορὸν ἰδόντες ἀπεστράφησαν, μὴ δυνάμενοι θεάσασθαι τὸ πάθος. 1331. Ποῖ γᾶς φέρομαι] ποῦ εἰμι; ἐν ποίῳ χωρίῳ ἡ φθογγή μου φέρεται; τίνος ἀκούω; ποῦ ἐστιν ἡ φθογγὴ, ἥτις σφόδρα μοι διαπέταται, ἧς φερομένης ἀκούω. ἢ οὕτως, ἀντὶ τοῦ ἀπέπτη ἡ φωνή. 1334. Ἵν' ἐξήλου.] ἡ μεταφορὰ ἀπὸ τῶν ἀγωνιζομένων.

ΣΧΟΛ. ΤΡΙΚΛ. 1323. Τίς ὁ πηδήσας] ὁ ἐπιδραμών. τὸ δὲ πᾶν οὕτως, τίς ἀπὸ τῶν δαιμόνων καθώρμησε μείζονα τῶν μηκίστων, ἐπὶ τῇ

Digitized by Google

Panduntur: Spectaculum autem videbis mox
Ejusmodi, quod hosti misericordiam moveat.

ANAPÆSTI.

O atrox aspectu clades!
O atrocissima omnium, quas mihi
Videre unquam contigit. Quæ te, O miser,
Invasit insania? quis Genius, qui
Majora maximis *malis*
Tuæ infelici sorti adjecit?
Heu, heu infelix. Verùm neque intueri
Te possum, multa licèt cupiam interrogare,
Multa audire, multáque videre:
Talem mihi horrorem incutis.
Hei, hei, hei, hei,
Heu, heu miser ego! ubi terrarum
Feror infelix? unde mihi vox
Advolavit cum impetu?
O Fortuna, quonam exiluisti?

*Ch.* In horrendum *malum*, nec auditu nec visu facile.

PERICOMMATA. STROPHE I.

*Oe.* Io tenebrarum caligo mearum

τῇ σῇ δυστυχεῖ μοίρᾳ; 1332. Πᾶ μοι φθογγὰ] ἤγουν, ἐν ποίῳ μέρει τῆς γῆς ἡ ἐμὴ φωνὴ διακέχυται; οὐκ οἶδα γὰρ ὅπου τυγχάνων βοῶ.

¶ Σχόλ. Τρικλ. 1320. Ὦ δεινὸν] δεινοπαθεῖ ὁ χορὸς ἐπὶ τοῖς συμβᾶσι.

SCHOL. INED. 1324. Τίς ἀπὸ τῶν δαιμόνων ὁ καλορθώσας μείζονα τῶν μηκίστων ἐπὶ τῇ σῇ δυστυχεῖ μοίρᾳ. 1335. Προσιτὸν εἰς ἀκοὴν, θεατὸν, ἐπόψιμον, προσιτὸν εἰς θέαν. 1336. Νέφος τοῦ ἐμοῦ σκότου, ἤγουν τῆς τυφλώσεως τῆς ἐμῆς.

1337. Ἀπό-

Digitized by Google

Ἀπότροπον ἐπιπλόμενον,
Ἄφατον ἀδάμαστόν τε
Καὶ δυσούριστον. οἴμοι,
Οἴμοι μάλ' αὖθις· οἷον εἰσέδυ μ' ἅμα
Κέντρων τε τῶνδ' οἴστρημα, καὶ μνήμη κακῶν. —

Χο. Καὶ θαῦμά γ' οὐδὲν ἐν τοσούτοις πήμασι,
Διπλᾶ σε πενθεῖν, καὶ διπλᾶ φέρειν κακά.

Οἰ. Ἰὼ φίλος, σὺ μὲν ἐμὸς
Ἐπίπολος ἔτι μόνιμος.
Σὺ γὰρ ὑπομένεις τόν γε
Τυφλὸν κηδεύων. φεῦ φεῦ.
Οὐ γάρ με λήθεις, ἀλλὰ γινώσκω σαφῶς,
Καίπερ σκοτεινὸς, τήν γε σὴν αὐδὴν ὅμως. —

Χο. Ὦ δεινὰ δράσας, πῶς ἔτλης τοιαῦτα σὰς
Ὄψεις μαρᾶναι; τίς σ' ἐπῆρε δαιμόνων; —

1337. Ἀπότροπον] ὃ ἄν τις ἀποτρέψαιτο. 1338. Ἄφατον] ἀφάτως ἐπιληλυθός. Ib. Ἀδάμαστον] ἀνίατον, ὃ οὐδεὶς δαμάσαι δυνήσεται. ἢ σκληρὸν καὶ τραχὺ, ἀπὸ τοῦ ἀδάμαντος. 1339. Δυσούριστον] οὖρον μὴ ἔχον, ἀλλ' αἰεὶ παραμένον. δυσπεριόδευτον. 1340. Οἷον εἰσέδυ μ' ἅμα] οἷον ὁμοῦ με εἰσέδυ ἥ τε ἀπὸ τῆς πηρώσεως ἀλγηδὼν, καὶ ἡ τῶν κακῶν ὑπόμνησις. 1341. Κέντρων τε τῶνδ'] εἰλήφει γὰρ αὐτὸν ὀδύνη ἐπεὶ νεωστὶ τοῖς κέντροις ἐπεπήρωτο. 1345. Ἐπίπολος] περιπολῶν ἐμὲ καὶ περιμένων ἔτι. νῦν δὲ τοὺς ἀπὸ τοῦ χοροῦ γνωρίζει, ἴσως; διὰ τὸ τεταράχθαι ἐπὶ τῷ τοσούτῳ προσφάτῳ κακῷ. 1351. Τίς σ' ἐπ-

ῆρε

Deteſtabilis, ingruens;
Infanda, indomabiliſque;
Et nullum inventura finem! Hei mihi;
Hei mihi iterum! quàm ſævus invaſit me ſimul
Furoriſque ſtimulus, et *improba* malorum me-
[moria.

SYSTEMA I.

*Ch.* Et ſane nihil miri eſt, tot in malis
Duplicem te luctum et duplicia ferre mala.

ANTISTROPHE II.

*Oe.* Io! Amice, tu enim meus
Curator adhuc *es* ſtabilis.
Tu enim ades præſtò, hujus
Cæci licèt curam gerens. Heu, heu.
Non enim me lates: ſed pulchrè agnoſco,
Quamvis tenebris involutus, tuam vocem tamen.

ANTISYSTEMA I.

*Ch* O crudelia executus! quomodo ſuſtinuiſti ſic
Oculos corrumpere? quis te impulit deorum?

ἐπῆρε δαιμόνων;] ἤγουν ἔπεισε. καὶ Εὐριπίδης, " Ὅστις μ' ἐπάρας ἔργον ἀνοσιώτατον.

ΣΧΟΛ. ΤΡΙΚΛ. 1341. Κέντρων τε τῶνδε] ἤγουν τῶν ἀλγηδόνων τῆς πηρώσεως, τὸ δὲ ποῦ ἄτης, οἷα περιωδυνία τῶν ἀλγηδόνων τῶνδε εἰσῆλθέ μ' ἅμα, καὶ οἷα δηλονότι μνήμη κακῶν τῶν προτέρων.

¶ Σχόλ. Τρικλ. 1320. Ὦ δεινὸν] δεινοπαθεῖ ὁ χορὸς ἐπὶ τοῖς συμβᾶσι.

SCHOL. INED. 1340. Οἷα περιωδυνία τῶν ἀλγηδόνων τῶνδε εἰσῆλθέ με ἅμα, καὶ οἷα δηλονότι μνήμη κακῶν τῶν πρότερον εἰσῆλθέ με. 1343. Καὶ διπλῆν ὑπομένειν ἀλγηδόνα. 1351. Ἀμαυρῶσαι τοὺς σοὺς ὀφθαλμούς.



Digitized by Google

Οἰ. Ἀπόλλων τάδ᾽ ἦν, Ἀπόλλων, φίλοι,
Ὁ κακὰ τελῶν τάδ᾽ ἐμὰ πάθεα.
Ἔπαισε δ᾽ αὐτόχειρ νιν ἔτις, ἀλλ᾽ ἐγὼ
Τλάμων· τί γὰρ ἔδει μ᾽ ὁρᾶν,
Ὅτῳ γ᾽ ὁρῶντι, μηδὲν ἦν ἰδεῖν γλυκύ;

Χο. Ἦν ταῦθ᾽, ὅπως περ καὶ σὺ φῄς.

Οἰ. Τί δή ποτ᾽ ἐμοὶ βλεπτὸν ἢ
Στερκτὸν ἢ προσήγορον
Ἔτ᾽ ἔς᾽ ἀκούειν ἡδονᾷ, φίλοι;
Ἀπάγετ᾽, ἐκτόπιον ὅτι τάχιστά με,
Ἀπάγετ᾽, ὦ φίλοι, τὸν ὄλεθρον μέγαν,
Τὸν καταρατότατον, ἔτι δέ γε καὶ
Θεοῖς ἐχθρότατον βροτῶν.—

Χο. Δείλαιε τοῦ νοῦ, τῆς τε συμφορᾶς ἴσον,
Ὥς σ᾽ ἠθέλησα μηδ᾽ ἀναγνῶναί ποτ᾽ ἄν.

1365. Δείλαιε τοῦ νοῦ,] δείλαιε τῆς συνέσεως ἕνεκεν, καὶ τῆς συμφορᾶς χάριν. χαλεπὸν γὰρ συνετῷ ἀνθρώπῳ τὰ τοιαῦτα συνεπεχθῆναι.

ΣΧΟΛ. ΤΡΙΚΛ. 1358. Τί δή ποτ᾽] κατ᾽ αἰτιατικὴν λέγεται τὸ τί. προσυπακούεται δὲ ἐν τούτοις τὸ οἰκεῖον, κατ᾽ ἀναλογίαν τοῦ προερηθέντος. οἷον, τί δῆτ᾽ ἐμοὶ προσήγορον. ἤγουν προσαγορευτικὸν, ἀπὸ τοῦ νῦν ἐστιν ἐμοὶ ἀκούειν σὺν ἡδονῇ; ἢ τί βλεπτὸν, ἢ ὁρατόν ἐστιν. ἐμοὶ ὁρᾷν σὺν ἡδονῇ; ἢ τί στερκτὸν, ἤγουν ἀγαπητὸν, ἐστὶν ἐμοὶ ἀγαπᾷν σὺν ἡδονῇ;

¶ Σχέμ.

Digitized by Google

### STROPHE II.

*Oe.* Apollo, amici, Apollo erat *is*
Qui graves hasce meas confecit miserias.
Verberavit autem suâ illum manu nemo, sed ego
Ipse infelix: quid enim attinebat me videre,
Cui quidem videnti nihil erat *reliquum* visu suave?

### SYSTEMA II.

*Ch.* Ita est, quemadmodum tu dicis.

### STROPHE III.

*Oe.* Quid mihi jam quod possim videre, aut
Amare, aut alloqui,
Adhuc restat, *aut* audire cum voluptate, amici?
Ejicite me ex his locis quàm celerrimè,
Ejicite, O amici, *me* noxium admodum,
Devotissimum, atque etiam
Diis invisissimum *omnium* mortalium.

### SYSTEMA II.

*Ch.* O miser ob intelligentiam tuam, calamitatemq.
Quàm vellem me nunquam cognovisse te! [simul,

¶ Σχήμ. Τρικλ. 1353. Ἐμὰ πάθεα.] συνίζησις.

SCHOL. INED. 1352. Ἀπόλλων ἦν ὁ τὰ ἐμὰ κακὰ πάθη τάδε τελῶν ἀντὶ τοῦ τελέσας. 1354. Νιν δεικτικῶς, αὐτός. Καλὰ τὶ ἤγουν καλὸν ποῖον σκόποι πρέποι ἦν. 1356. Ὁ παραλληλικὸς ἀντὶ ἐνεστῶτος. 1365. Ἄθλιε καλίσον ἕνεκα τοῦ νοῦ ἤγουν τοῦ σκοποῦ τῆς ἐπινοίας καὶ ἕνεκα τῆς συμφορᾶς· ἤγουν ἕνεκα ὧν σοι συνέβη καὶ ἕνεκα ὧν ἐποιήσω.



Digitized by Google

Οἰ. Ὄλοιθ᾽ ὅστις ἦν ὃς ἀγρίας πέδας
Ἐπιποδίας μ᾽ ἀπό τε φόνου
Ἔρρυτο κἀνέσωσεν, οὐδὲν εἰς χάριν
Πράσσων· τότε γὰρ ἂν θανὼν
Οὐκ ἦν φίλοισιν οὐδ᾽ ἐμοὶ τοσόνδ᾽ ἄχος.

Χο. Θέλοντι κἀμοὶ τοῦτ᾽ ἂν ἦν.

Οἰ. Οὔκουν πατρός γ᾽ ἂν φονεὺς
Ἦλθον, οὐδὲ νυμφίος
Βροτοῖς ἐκλήθην ὧν ἔφυν ἄπο.
Νῦν δ᾽ ἄθλιος μὲν εἰμ᾽, ἀνοσίων δὲ παῖς,
Ὁμογενὴς δ᾽ ἀφ᾽ ὧν αὐτὸς γ᾽ ἔφυν τάλας.
Εἰ δέ τι πρεσβύτερον ἔφυ κακοῦ
Κακὸν, ἔλαχ᾽ Οἰδίπους.

Χο. Οὐκ οἶδ᾽ ὅπως σε φῶ βεβουλεῦσθαι καλῶς.
Κρείσσων γὰρ ἦσθα μηκέτ᾽ ὢν, ἢ ζῶν τυφλός.

1367. Ὄλοιθ᾽ ὅστις ἦν] ἀπόλοιτο (φησὶν) ὅστις ἀπὸ τῆς ἀγρίας πέδης τῆς διαπειρομένης τοὺς πόδας μου ἔλαβε καὶ διέσωσέ με. 1368. Νομάδος ἐπιποδίας] ἐν τῇ δημοσίᾳ ὁδῷ τῇ ὑπὸ τῶν νομέων πατουμένῃ. 1369. Οὐδὲν εἰς χάριν] εἰς οὐδενὸς χάριν τὴν ἐμὴν σωτηρίαν ἐργαζόμενος. ἀντὶ τοῦ, μηδὲν χρηστὸν ἐργασάμενος, ἐν τῷ διασῶσαί με. 1370. Τότε γὰρ ἂν θανὼν] ἀντὶ τοῦ θανόντος. ἢ τὸ ἦν, ἀντὶ τοῦ ἤμην. 1377. Ἀφ᾽ ὧν αὐτὸς ἔφυν τάλας.] ἐξ ὧν ἐτέχθην, ἐξ αὐτῶν καὶ τέτοκα. 1378. Εἰ δέ τι πρεσβύτερον] εἴτι κακοῦ κάκιον, τοῦτ᾽ ἔλαχεν.

Digitized by Google

### ANTISTROPHE II.

*Oe.* Pereat, quicunque fuit, qui ſævo a vinculo
Pedibus alligato atque cæde me
Liberavit et ſervavit, haud *meo* gratificans
*Animo*: ſi enim tunc mortuus fuiſſem,
Non eſſet amicis nec mihi tantus dolor.

### ANTISYSTEMA II.

*Ch.* Id factum et ego vellem.

### ANTISTROPHE III.

*Oe.* Tunc neque patris peremtor
Extitiſſem, neque ſponſus a mortalibus
*Illius* vocatus eſſem, ex quâ natus eram.
Nunc autem miſer ſum, et impiorum filius,
Generanſque ſimul, ex quibus eram genitus mi- [ſer.
Et ſiquid *uſquam* pejus eſt malo
Malum, *id* ſortitus eſt Oedipus.

### ANTISYSTEMA III.

*Ch.* Neſcio quomodo tua laudem conſilia:
Præſtantius enim foret tibi non omnino eſſe, quàm [cæcum vivere.

χεν Οἰδίπους.

ΣΧΟΛ. ΤΡΙΚΛ. 1375. Βροτοῖς ἐκλήθην] εἰ μὲν τὸ βροτοῖς πρὸς τὸ ἐκλήθην συνάψεις, ἀντὶ τοῦ πᾶσι τοῖς βροτοῖς νοήσεις. εἰ δὲ πρὸς τὸ νυμφίος, ἀντὶ τοῦ τῇ μητρί. τὸ δ' ἀνοσίων παῖς, ἀντὶ τοῦ ἀνάγνων καὶ ἀκαθάρτων, καὶ μὴ κατὰ γνώμην θεῶν σπειράντων.

SCHOL. INED. 1369. Οὐδὲν ποιῶν, ἀφορῶν εἰς εὐχαριστίαν. 1375. Ὑπὸ τῶν βροτῶν ὀνομάσθην ἐκείνων ἀφ' ὧν ἐγεννήθην. 1381. Προτιμότερον ἂν ἦν τὸ μηδαμῶς εἶναί σε, ἢ ζῆν σε τυφλὸν ὄντα.

1382. Ὡς

Digitized by Google

Οι. Ὡς μὲν τάδ' οὐχ ὧδ' ἔστ' ἄριστ' εἰργασμένα,
Μή μ' ἐκδίδασκε, μηδὲ συμβούλευ' ἔτι.
Ἐγὼ γὰρ οὐκ οἶδ' ὄμμασιν ποίοις βλέπων
Πατέρα ποτ' ἂν προσεῖδον εἰς ᾅδου μολὼν,
Οὐδ' αὖ τάλαιναν μητέρ', οἷν ἐμοὶ δυοῖν
Ἔργ' ἐστὶ κρείσσον' ἀγχόνης εἰργασμένα.
Ἀλλ' ἡ τέκνων δῆτ' ὄψις ἦν ἐφίμερος,
Βλαστοῦσ' ὅπως ἔβλαστε προσλεύσσειν ἐμοί.
Οὐ δῆτα, τοῖς γ' ἐμοῖσιν ὀφθαλμοῖς ποτε,
Οὐδ' ἄστυ γ', οὐδὲ πύργος, οὐδὲ δαιμόνων
Ἀγάλμαθ' ἱερὰ, τῶν ὁ παντλήμων ἐγὼ
Κάλλιστ' ἀνὴρ εἷς ἔν γε ταῖς Θήβαις τραφεὶς,
Ἀπεστέρησ' ἐμαυτὸν, αὐτὸς ἐννέπων
Ὠθεῖν ἅπαντας, τὸν ἀσεβῆ, τὸν ἐκ θεῶν
Φανέντ' ἄναγνον, καὶ γένους τοῦ Λαΐου.
Τοιάνδ' ἐγὼ κηλῖδα μηνύσας ἐμὴν,
Ὀρθοῖς ἔμελλον ὄμμασιν τούτους ὁρᾶν;

1382. Ὡς μὲν τάδ.] τὰ τῆς τυφλώσεως. 1384. Ἐγὼ γὰρ οὐκ οἶδ' ὄμμασιν] φησὶ πρὸ τοῦ θανάτου ταῦτα διαθεῖναι, ὅπως ἂν τοῖς γονεῦσι καθ' ᾅδου μὴ συντυγχάνῃ ὁρῶν. ἦν γὰρ αὐτῷ τοῦτο αἰσχρόν. 1386. Οἷον ἐμοὶ δυοῖν ἔργ' ἐστὶ κρείσσον' ἀγχόνης εἰργασμένα] ἀγχόνης ἐπικρατέστερα· ἅπερ οὐκ ἦν ἰᾶσθαι οὐδὲ ἐν θανάτῳ. διὰ τοῦτο οὖν ἀπολογεῖται ὅτι μεῖζον κακὸν διεπράξατο εἰς ἑαυτὸν, ἢ εἴπερ ἦν τελευτήσας. 1388. Ἀλλ' ἡ τέκνων δῆτ' ὄψις] ἐν ἐρωτήσει.

ΣΧΟΛ. ΤΡΙΚΛ. 1385. Εἰς ᾅδου μολὼν] φαίνεται ἐντεῦθεν ὅτι οἱ Ἕλληνες τοιαύτην εἶχον δόξαν, ὡς εἴτε τυφλός τις, εἴτε βλέπων ἐτελεύτα, τοιοῦτος καὶ ἐν ᾅδου ἦν. 1388. Ἀλλ' ἡ τέκνων] ἤγουν ἡ τῶν τέκνων θεωρία εἰς φῶς φανεῖσα, ὡς ἐφάνη, ἦν ἐμοὶ ἀξία ἐπιθυμεῖσθαι, εἰς τὸ βλέπειν αὐτὴν ἐμέ. οὐδ' ἄστυ, οὐδὲ πύργος, οὐδὲ τὰ ἱερὰ ἀγάλματα τῶν θεῶν ἦσαν ἐμοὶ δηλονότι, ἄξια ἐπιθυμεῖσθαι εἰς τὸ βλέπειν

αὐτὰ

Digitized by Google

## IAMBI.

*Oe.* Quod hæc quidem ſic non optimè confecta ſint,
Ne me doce, neque conſule ampliùs.
Ego enim neſcio luminibus oculatus quibus
Patrem unquàm aſpicerem ad inferos profectus?
Neque adeò miſeram matrem, quibus duobus a me
Opera ſunt potiora ſuſpendio peracta.
At liberorum ſanè facies erat deſiderabilis
Aſpectu mihi, germinans ut hactenùs germinavit.
Non omnino, meis ſaltem oculis unquam,
Neque hæc urbs, neque turris, neque deorum
Simulacra ſancta, quibus miſerrimus ego
Honeſtiſſimè vir in Thebis enutritus,
Privavi meipſum, ipſe jubens
Ut omnes pellerent impium illum, a diis ipſis
Qui judicatus eſſet pollutus, at que genere Laii.
Hanc ego maculam cum meam indicaverim,
Rectiſne oculis hoſce intueri poteram?

αὐτὰ ἐμέ. 1392. Ὁ παίλήμων ἐγὼ] τὸ ὃ ὐ πρὸς τὸ παντλήμων, ἀλλὰ πρὸς τὸ τραφεὶς συναπλέον. τὸ δὲ κάλλιςα πρὸς τὸ ἀπεςέρησα.

Σχήμ. Τρικλ. 1382. Ὡς μὲν τάδ'] ἐπίκρισις Οἰδίποδος, ὡς καλῶς ταῦτα ἔπραξε κ̀ ἀξίως τῆς αὐτȣ̃ ἁμαρτίας.

SCHOL. INED. 1387. Πρὸς ȣ̃ς ἀμφοτέρȣς ἔργα ἐςὶν ὑπ' ἐμȣ̃ πεποιημένα κρείσσωνα ἀγχόνης, ἀντὶ τȣ̃ μείζονος κακȣ̃ ἄξια ἢ ἀγχόνης ἢ πνιγμονῆς. 1388. Ἀλλ' ἡ τέκνων ὄψις εἰς φῶς φανεῖσα ὡς ἐφάνη ἦν ἐμοὶ ἀξία ἐπιθυμεῖσθαι εἰς τὸ βλέπειν αὐτὴν ἐμέ. 1390. Οὐδαμῶς ἦν ἱμέρος ἐμοὶ εἰς τὸ βλέπειν αὐτὴν ἐμέ ποτε διὰ τῶν ἐμῶν ὀφθαλμῶν. 1392. Ἦσαν ἐμοὶ ἄξια ἐπιθυμεῖσθαι εἰς τὸ λεύσσειν ἐμὲ αὐτά. τραφεὶς, διαλρίψας. 1395. Τὸν ἐκ θεῶν, ἐκ τῆς μερίδος τῶν θεῶν. 1396. Ἀπὸ τῆς μερίδος τȣ̃ γένȣς τȣ̃ Λαΐȣ. 1397. Οὕτως ἐγὼ τὸν ἐμὸν μολυσμὸν προμηνύσας ἤγων προκηρύξας.

1409. Κα-

Ἥκιστά γ'· ἀλλ' εἰ τῆς ἀκουούσης ἔτ' ἦν
Πηγῆς δι' ὤτων φραγμὸς, οὐκ ἠνεσχόμην
Τὸ μὴ 'ποκλεῖσαι τοὐμὸν ἄθλιον δέμας,
Ἵν' ἦν τυφλός τε καὶ κλύων μηδέν· τὸ γὰρ
Τὴν φροντίδ' ἔξω τῶν κακῶν οἰκεῖν, γλυκύ.
Ἰὼ Κιθαιρὼν, τί μ' ἐδέχου; τί μ' οὐ λαβὼν
Ἔκτεινας εὐθὺς; ὡς ἔδειξα μή ποτε
Ἐμαυτὸν ἀνθρώποισιν ἔνθεν ἦν γεγώς:
Ὦ Πόλυβε, καὶ Κόρινθε, καὶ τὰ πάτρια
Λόγῳ παλαιὰ δώμαθ', οἷόν ἆρά με
Κάλλος κακῶν ὕπουλον ἐξεθρέψατε.
Νῦν γὰρ κακός τ' ὢν κἀκ κακῶν εὑρίσκομαι.
Ὦ τρεῖς κέλευθοι, καὶ κεκρυμμένη νάπη,
Δρυμός τε καὶ στενωπὸς ἐν τριπλαῖς ὁδοῖς,
Αἳ τοὐμὸν αἷμα τῶν ἐμῶν χειρῶν ἄπο
Ἐπίετε πατρὸς, ἆρά μου μέμνησθ' ἔτι,
Οἷ' ἔργα δράσας ὑμῖν, εἶτα δεῦρ' ἰὼν
Ὁποῖ' ἔπρασσον αὖθις; ὦ γάμοι, γάμοι,
Ἐφύσαθ' ἡμᾶς, καὶ φυτεύσαντες, πάλιν
Ἀνεῖτε ταὐτὸν σπέρμα, κἀπεδείξατε

1409. Κακῶν ὕπουλον] ὕποπτον, κρυπτόν. ὡς εἰ ἔλεγε, τὸ κράτιστον τῶν κακῶν.

ΣΧΟΛ. ΤΡΙΚΛ. 1403. Τὴν φροντίδ' ἔξω] ἤγουν, τὸ μὴ τῶν κακῶν φροντίδα καὶ μνήμην ποιεῖσθαι, ὃ γένοιτο ἂν ὀφθαλμῶν καὶ ὤτων οὐκ ὄντων. ὁρῶν γάρ τις καὶ ἀκούων ἀναπεμπάζει ἃ εἶδε καὶ ἤκουσε. 1410. Νῦν γὰρ κακός τ' ὢν] μὴ λάβῃς τὸ τε ἀργόν, ὥς τινές φασιν, ἀλλ' οὕτω λέγε, νῦν γὰρ εὑρίσκομαι καὶ ὢν κακὸς καὶ ἐκ κακῶν. 1411. Καὶ κεκρυμμένη νάπη] τὸ κεκρυμμένη διπλῶς νοητέον· ἢ διότι πᾶσαι αἱ λόχμαι οὐκ ἔμπροσθέν εἰσι τῆς ὁδοῦ, ἀλλ' ἰδίᾳ ἐν φάραγξιν, ἢ ὄρεσιν· ἢ ὅτι ἐν αὐταῖς κρυπτόμενοί τινες ληστείαν ἐργάζονται· ἢ τὸ κεκρυμμένη, ἀντὶ τοῦ ἀκατανόητε. οὐ γὰρ ἐγίνωσκέ τις τί ἔμελλεν ἐν αὐτῇ γενήσεσθαι.

Digitized by Google

Minimè ſane: ſed et, ſi quo inſuper [peráſſem
Audiendi fons per aures obſtrui poſſet, non tem-
*Ab eâ parte* obſtruere meum infelix corpus,
Ut eſſem cæcuſque et ſurdus *ſimul*.
Nam malorum ſenſu carere, dulce *eſt*. [ceptum
Io Cithæron! quare me accepiſti? quare non ac-
Statim interfeciſti? ut nunquam palam feciſſem
Hominibus, unde natus eſſem?
O Polybe et Corinthe, et patria
(Ut dicta eſt) vetuſta domus, quale tandem me
Decus, omnibus tectum malis, enutriiſtis?
Nunc enim et ipſe malus, et ex malis natus de-
O vos tres viæ, et umbroſæ valles [prehendor.
Sylvæque et arctus in trivio locus,
Quæ meum ſanguinem meis ipſius a manibus
Bibiſtis, num mei meminiſtis adhuc,
Qualia opera apud vos patrârim? quæque dein huc
Commiſerim? O Nuptiæ, Nuptiæ, [profectus
Genuiſtis nos, et poſtquam genuiſtis, iterum
Remiſiſtis idem ſemen, et in lucem tuliſtis

θαι. 1418. Ἀνεῖτε ταὐτὸν σπέρμα] ἀνεδώκατε, ἤγουν, ὦ μῆτερ ἡ γεννήσασά με, καὶ πάλιν ἑαυτὴν εἰς σπορὰν ἐμοὶ δοῦσα· τὸ δὲ, πατέρας, ἀδελφοὺς, διότι ἐκ μητρὸς ἐπαιδοποίησα, καὶ διότι οὓς ἔσπειρα, ἐκ τῆς αὐτῆς μητρὸς ἐγεννήθησαν.

¶ Σχήμ. Τρικλ. 1402. Τὸ γὰρ τὴν φ.] γνωμικόν.

SCHOL. INED. 1399. Ἀλλ' εἰ ἔτι, ἤγουν εἰ ἐπὶ τούτοις ἦν φραγμὸς διὰ τῶν ὤτων τῆς ἀκουούσης πηγῆς, ἤγουν τῆς ἀκουστικῆς δυνάμεως. 1408. Ἔξεχον τῶν κακῶν, ἤγουν περιφανὲς κακόν. 1409. Ἀκάθαρτος, μεμολυσμένος. 1411. Λόχμη, δάσος, σύνδενδρος τόπος. 1413. Ἤγουν αἱ ὁδοὶ, ἐπίετε ἀπὸ τῶν ἐμῶν χειρῶν, τὸ αἷμα τοῦ ἐμοῦ πατρός. 1418. Οἱ αὐτοὶ γὰρ ἦσαν αὐτῷ, οἱ ἀπὸ τῆς μητρὸς αὐτῷ γεγονότες παῖδες.

Πατέρας, ἀδελφοὺς, παῖδας, αἷμ' ἐμφύλιον,
Νύμφας, γυναῖκας, μητέρας τε, χὠπόσα
Αἴσχιστ' ἐν ἀνθρώποισιν ἔργα γίνεται.
Ἀλλ' οὐ γὰρ αὐδᾶν ἔσθ' ἃ μηδὲ δρᾶν καλόν.
Ὅπως τάχιστα πρὸς θεῶν ἔξω μέ που
Καλύψατ', ἢ φονεύσατ', ἢ θαλάσσιον
Ἐκρίψατ' ἔνθα μήποτ' εἰσόψεσθ' ἔτι.
Ἴτ', ἀξιώσατ' ἀνδρὸς ἀθλίου θιγεῖν.
Πείθεσθε, μὴ δείσητε· τἀμὰ γὰρ κακὰ
Οὐδεὶς οἷός τε πλὴν ἐμοῦ φέρειν βροτῶν. —
Χο. Ἀλλ' ὧν ἐπαιτεῖς ἐς δέον πάρεσθ' ὅδε
Κρέων, τὸ πράσσειν καὶ τὸ βουλεύειν· ἐπεὶ
Χώρας λέλειπται μοῦνος ἀντὶ σοῦ φύλαξ. —
Οἰ. Οἴμοι· τί δῆτα λέξομεν πρὸς τόνδ' ἔπος;
Τίς μοι φανεῖται πίστις ἔνδικος; τὰ γὰρ
Πάρος πρὸς αὐτὸν πάντ' ἐφεύρημαι κακός. —
Κρ. Οὐχ ὡς γελαστὴς Οἰδίπους, ἐλήλυθα,
Οὔθ' ὡς ὀνειδιῶν τι τῶν πάρος κακῶν.
Ἀλλ' εἰ τὰ θνητῶν μὴ καταισχύνεσθ' ἔτι
Γένεθλα, τὴν γοῦν πάντα βόσκουσαν φλόγα

1429. Ἀλλ' ὧν ἐπαιτεῖ] ὧν χρείαν ἔχεις εἰς βοήθειαν.

ΣΧΟΛ. ΤΡΙΚΛ. 1425. Μήποτ' εἰσόψεσθ' ἔτι] ἀντὶ τοῦ, μηκέτι ποτὲ, ἤγουν μηδαμῶς εἰς τὸ ἑξῆς ποτ' ὄψεσθε. 1430. Τὸ πράσσειν] μὴ λάβῃς τὸ τὸ ἀργὸν, ὥς τινές φασιν, ἀλλ' οὕτω λέγε, ἀλλὰ πάρεστιν ὅδε ὁ Κρέων εἰς δέον ἐκείνων ὧν ἐπαιτεῖς· εἶτα μεθερμηνευτικὸν τοῦ εἰς δέον ἐπάγει τὸ πράσσειν καὶ τὸ βουλεύειν. καὶ ἐπειδὴ τὸ δέον ἐστὶν αἰτιατικὴ διὰ τὴν εἰς πρόθεσιν, διὰ τοῦτο καὶ τὸ αἰτιατικὸν ἄρθρον τὸ τὸ τέθειται.

¶ Σχήμ. Τρικλ. 1435. Οὐχ ὡς γ] ἄφιξις Κρέοντος καταλεύοντος Οἰδίποδα.

SCHOL.

Patres, fratres, liberos, ſanguinem cognatum,
Sponſas, uxores, matreſque, et quotquot
Turpiſſima inter homines opera cenſentur. [turpe)
Sed (non enim loqui honeſtum eſt ea, quæ facere
Quàm celerrimè per deos foris me alicubi
Abſcondite, vel occidite, vel in mare
Abjicite, ubi non amplius aſpiciatis.
Ite et dignemini miſerum virum tangere.
Parete, ne vereamini: mea enim mala
Nullus valet, præter me, ferre mortalium.
*Ch.* At commodùm adeſt Creon, qui *ea*, quæ petis,
Faciet, et conſulet ritè: nam
*Ille* ſolus relictus eſt tui lòco hujus terræ cuſtos.
*Oe.* Hei mihi! quid ergò ad eum loquemur?
Quæ apud eum mihi fides jure poteſt eſſe? nam
In eum priùs omnino repertus ſum malus.
*Cr.* Non ut deriſor, Oedipu, veni,
Nec priora exprobraturus mala:
Sed ſi mortalium non reveremini
Genus, omnia ſaltem alentem flammam

SCHOL. INED. 1421. Γένος ἀναπεφυρμένον γένει, ὐ μόνον γὰρ πατὴρ ὁ πατὴρ ἐνταῦθα, ἀλλὰ καὶ ἀδελφός· καὶ ὐ μόνον οἱ παῖδες παῖδες, ἀλλὰ καὶ ἀδελφοί. Ib. Ἡ αὐτὴ γὰρ καὶ μητὴρ ἦν καὶ ἐνυμφεύθη τῷ υἱῷ καὶ ἐπαιδοποίει αὐτῷ. 1422. Ἀλλ' ὐ καλὸν ἀριθμεῖν τάδε, καὶ γὰρ α. 1425. Μηκέτι ποτὲ, ἤγυν μηδαμῶς εἰς τὸ ἑξῆς πολέ. 1428. Οὐδένα ἀπὸ τῶν βροτῶν ἐςι δυνατὸν φέρειν τὰ ἐμὰ ἁμαρτήματα, πλὴν ἐμῦ. 1429. Εἰς τὸ ἁρμόζον τῦ χρόνυ· τυτέςιν εἰς καιρὸν, ἤγυν εὐκαίρως. 1433. Εὐπρόσωπος, δικαία. 1436. Τῆς προτέρας φιλονεικίας. 1437. Ἀλλ' εἰ μηκέτι αἰσχύνεσθε τὰ θνητῶν γένεθλα, ἤγυν τὰ τῶν ἀνθρώπων τέκνα, τυτέςι τὺς ἀνθρώπυς.



Digitized by Google

Αἰδεῖσθ᾽ ἄνακτος ἡλίου, τοιόνδ᾽ ἄγος
Ἀκάλυπτον οὕτω δεικνύναι, τὸ μήτε γῆ,
Μήτ᾽ ὄμβρος ἱερὸς, μήτε φῶς προσδέξεται.
Ἀλλ᾽ ὡς τάχιστ᾽ ἐς οἶκον ἐσκομίζετε.
Τοῖς ἐν γένει γὰρ τἀγγενῆ μάλισθ᾽ ὁρᾷν
Μόνοις τ᾽ ἀκούειν εὐσεβῶς ἔχει κακά.—

Οἰ. Πρὸς θεῶν, ἐπείπερ ἐλπίδος μ᾽ ἀπέσπασας
Ἄριστος ἐλθὼν πρὸς κάκιστον ἄνδρ᾽ ἐμὲ,
Πιθοῦ τί μοι· πρὸς σοῦ γὰρ, οὐδ᾽ ἐμοῦ, φράσω.

Κρ. Καὶ τοῦ με χρείας ὧδε λιπαρεῖς τυχεῖν;

Οἰ. Ῥίψον με γῆς ἐκ τῆσδ᾽ ὅσον τάχισθ᾽ ὅπου
Θνητῶν φανοῦμαι μηδενὸς προσήγορος.

Κρ. Ἔδρασ᾽ ἂν (εὖ τοῦτ᾽ ἴσθ᾽ ἂν) εἰ μὴ τοῦ θεοῦ
Πρώτιστ᾽ ἔχρηζον ἐκμαθεῖν τί πρακτέον.

Οἰ. Ἀλλ᾽ ἥγ᾽ ἐκείνου πᾶσ᾽ ἐδηλώθη φάτις,
Τὸν πατροφόντην τ᾽ ἀσεβῆ μ᾽ ἀπολλύναι.

Κρ. Οὕτως ἐλέχθη ταῦθ᾽, ὅμως δ᾽ ἵν᾽ ἕσταμεν

1447. Πρὸς σοῦ γὰρ] ὑπὲρ σοῦ καὶ οὐχ ὑπὲρ ἐμαυτοῦ λέξω. 1455. Οὕτως ἐλέχθη ταῦθ᾽· ὅμως δ᾽ ἵν᾽ ἕσταμεν] ὁ μὲν τῷ προειρημένῳ χρησμῷ ἀξιοῖ ἀκολουθεῖν, ὅτι δεῖ ῥίπτειν αὐτὸν ἀπὸ τῆς χώρας· ὁ δὲ Κρέων ἐπανερέσθαι φησὶ δεῖν, ὅτι καὶ Λαΐου παῖς καὶ βασιλεὺς τυγχάνει. Ib. Ὅμως δ᾽ ἵν᾽ ἕσταμεν χρείας,] ἡ χρεία ἡ κατέχουσα ἡμᾶς (φησὶ) ταῦτα ἀπαιτεῖ.

ΣΧΟΛ. ΤΡΙΚΛ. 1445. Πρὸς θεῶν,] ἐπειδὴ κακὸν Οἰδίπους τὸν Κρέοντα προλαβὼν ἐνόμισε. διὸ καὶ ἐξορίαν αὐτοῦ κατεψηφίσατο, ἤλπιζεν αὐτὸς μᾶλλον ἀποδειχθεὶς κακὸς καὶ παράνομος, ὡς οὐκ ἂν ἐθελήσῃ, εἴ τινος αὐτοῦ δεηθείη, τοῦτο πληρῶσαι· διὰ τοῦτο ἄνδρα κάκιστον ἑαυτὸν λέγει, καὶ ἀποσπάσαι αὐτὸν τῆς ἐλπίδος ἣν εἰς αὐτὸν εἶχεν. 1447. Πρὸς σοῦ γὰρ] μὴ λάβῃς τὸ πρὸς ἀντὶ τοῦ ὑπὲρ, ὥς τινές φασιν, ἀλλὰ λαμβάνων τὸ πρὸς ἀργὸν, οὕτω λέγε, ὃ γὰρ μέλλω εἰπεῖν, φράσω καὶ εἴπω τοῦτό σοι, ἤγουν εἰς σὲ συντελοῦν.

Σχῆμ. Τρικλ. 1443. Τοῖς ἐν γένει] γνωμικόν. 1445. Πρὸς θεῶν,] συνίζησις.

SCHOL.

Supremi ſolis vereamini, ne tale piaculum
Intectum ſic exhibeatis, quod neque terra
Nec imber cœleſtis, neque lux ipſa perferet.
Sed quàm celerrimè in domum auferte,
Cognatos enim cognatorum maximè videre
Soloſque audire pium eſt mala.
*Oe.* Per deos, quoniam meam opinionem fefelliſti,
Qui vir optimus veneris ad me virum peſſimum,
Obtempera mihi; tui enim, non mei causâ loquar.
*Cr.* Quid eſt quod ita me enixè petis?
*Oe.* Ejice me ex hâc terrâ quàm celerrimè, ubi
Mortalium neminem coràm alloqui poſſim.
*Cr.* Feciſſem id (hoc certo ſcias) niſi a Deo
Priùs vellem cognoſcere quid faciendum eſſet.
*Oe.* At illius omnis patet ſententia dudùm,
Parricidam me impium quod perdere oporteat.
*Cr.* Sic illa dicta ſunt quidèm, tamen, ut præſens poſ-
tulat

SCHOL. INED. 1441. Ἤγουν ἀνέξεται προσδέξεσθαι. 1443. Τοῖς προσήκουσι γὰρ κατὰ γένος μόνοις διάκειται τὸ πρᾶγμα· εὐσεβῶς μάλιστα ὁρᾶν καὶ ἀκούειν τὰ τῶν προσηκόντων κατὰ γένος κακά. 1445. Ἀπίστησας, ἀπήγαγες. 1447. Τὸ ὂν γὰρ πρὸς σοῦ ἐρῶ, οὐ τὸ ὂν πρὸς ἐμοῦ· ἤγουν σὸν γὰρ ἐρῶ πρᾶγμα, τουτέστι τῆς δυνάμεως τῆς σῆς, οὐκ ἐμόν· ἤγουν οὐ τῆς δυνάμεως τῆς ἐμῆς. 1450. Ἐκεῖσε δηλονότι. Ὥσπερ βολὴ λέγεται μὲν καὶ ἡ ἄφεσις τοῦ βέλους· λέγεται δὲ καὶ τὸ τραῦμα τὸ ἀπὸ τοῦ βέλους. οὕτω καὶ προσήγορος λέγεται μὲν καὶ ὁ προσαγορευόμενος καθὸ λέγεται ἐνταῦθα. λέγεται δὲ καὶ προσήγορος λόγος, ὃν προσαγορεύων λέγει τις πρὸς ἕτερον. ἤγουν ἡ πρόσρησις καὶ προσαγόρευσις καθ' ὃ λέγεται τί δῆτ' ἐμοὶ βλεπτὸν ἢ στερκτὸν, ἢ προσήγορον ἔτ' ἔστ' ἀκούειν ἡδονῇ, φίλοι. 1452. Τί ἐστιν ἄξιον πρᾶξαι. ἡ γνώμη ὁ σκοπὸς πᾶς τῶν χρησμῶν ἐκείνου ἐδηλώθη. Λέγω ἀπολλύναι, ἤγουν φθείρειν ἐμὲ τὸν ἀσεβῆ τοῦ πατρὸς φονέα. 1455. Ἐνταῦθα ὅπου τῆς χρείας ἐσμέν· ἤγουν ἐν ταύτῃ τῇ χρείᾳ ἐν ᾗ ἐσμέν.

1458. Καὶ

Digitized by Google

Χρείας, ἄμεινον ἐκμαθεῖν τί δραστέον.
Οἰ. Οὕτως ἄρ' ἀνδρὸς ἀθλίου πεύσεσθ' ὕπερ;
Κρ. Καὶ γὰρ σὺ νῦν τ' ἂν τῷ θεῷ πίστιν φέροις.
Οἰ. Καὶ σοί γ' ἐπισκήπτω τε, καὶ προστρέψομαι,
Τῆς μὲν κατ' οἴκους αὐτὸς ὃν θέλεις τάφον
Θοῦ (καὶ γὰρ ὀρθῶς τῶνγε σῶν τελεῖς ὕπερ)
Ἐμοῦ δὲ μή ποτ' ἀξιωθήτω τόδε
Πατρῷον ἄστυ ζῶντος οἰκητοῦ τυχεῖν·
Ἀλλ' ἔα με ναίειν ὄρεσιν ἔνθα κλήζεται
Ὁ ὑμὸς Κιθαιρὼν οὗτος, ὃν μήτηρ τέ μοι
Πατήρ τ' ἐθέσθην ζῶντε κύριον τάφον.
Ἵν' ἐξ ἐκείνων οἵ μ' ἀπωλλύτην θάνω.
Καίτοι τοσοῦτόν γ' οἶδα, μ' ἂν νόσον,
Μήτ' ἄλλο πέρσαι μηδέν· οὐ γὰρ ἄν ποτε
Θνήσκων ἐσώθην, μὴ 'πί τῳ δεινῷ κακῷ.
Ἀλλ' ἡ μὲν ἡμῶν μοῖρ', ὅπηπερ εἶσ' ἴτω.
Παίδων δὲ τῶν μὲν ἀρρένων μή μοι Κρέων
Πρόσθῃ μέριμναν· ἄνδρες εἰσὶν, ὥστε μὴ
Σπάνιν ποτὲ σχεῖν ἔνθ' ἂν ὦσι, τοῦ βίου.

1458. Καὶ γὰρ σὺ νῦν τ' ἂν τῷ θεῷ πίστιν φέροις.] ἵνα καὶ μετὰ γνώμης θεοῦ ἀπέλθῃς. 1466 Κύριον τάφον] ἴδιον, ἢ ὀφειλόμενον καὶ κεκυρωμένον. 1467. Ἵν' ἐξ ἐκείνων οἵ μ' ἀπωλλύτην θάνω] ἵνα δόξω νῦν ἀναιρεῖσθαι ἐν τῷ Κιθαιρῶνι, καθὼς τοῖς γονεῦσιν ἐδόκει. καὶ νῦν τῷ βουλήματι αὐτῶν ἀπόλλυμαι.

ΣΧΟΛ. ΤΡΙΚΛ. 1457. Οὕτως ἄρ' ἀνδρὸς ἀθλίου] τὸ οὕτως πρὸς τὸ ἀθλίου, καὶ οὐ πρὸς τὸ πεύσεσθε συναπτέον. 1458. Πίστιν φέροις.] βεβαίωσιν. ἤγουν ἤκουσα τί ποτε περί σου ὁ θεὸς ἐθέσπισεν. οὐκοῦν ἐμμένοις ἂν τῷ θεσπίσματι. 1467. Ἵν' ἐξ ἐκείνων] ἤγουν, ἵνα πληρωθῇ τὸ βούλημ' αὐτῶν. ὅσον γὰρ τὸ κατ' ἐκείνους, ἐπ' ἀπωλείᾳ με ἔρριψαν ἐκεῖ. ἐπεὶ δ' ἀπωλλύτην εἶπεν, ἐπάγει, ἐπεὶ καὶ ἐπ' ἀπωλείᾳ ἐκεῖσε ἐρρίφην. ἀλλ' ἐπειδὴ εἱμαρμένον ἐκ τῶν θεῶν ἦν τά καὶ τὰ ποιήσειν με, οὔτε

νόσος

Necessitas, melius est discere quid faciendum
*Oe.* Itane ergò pro viro miserrimo Deum consuletis ?
*Cr.* Etenim tu nunc facis, ut Deo habeatur fides.
*Oe.* At hoc tibi mandoque et adhortor,
Ut ei, quæ domi jacet sepulchrum, quale vis ipse,
Pares (etenim *sic* pro tuis rectè facis.)
Me verò non in posterum postulet hæc
Paterna civitas viventem inquilinum habere:
Sed sine me habitare in montibus, ubi meus
Vocatur hic Cithæron, quem materque mihi
Paterque statuere viventes proprium sepulchrum,
Ut ab iis qui me perdere voluerunt, moriar.
Namque hoc novi, me neque morbum
Nec aliud quidpiam perdere potuisse: neque enim unquam [quod atrox malum.
Morti destinatus conservatus essem, nisi ad ali-
At fata nostra, quocunque eunt, eunto. [Creon
Liberorum autem, qui quidem mares sunt, ne mihi
Suscipe curam ; viri sunt, ut nulla [fuerint
Unquam pecunia victûs *eos* opprimat, ubicunque

νόσος ἔμελλεν ἀφανίσειν με, ὔτε θηρίον, ὔτε ληστής. ἔστι δὲ τὸ ὐ γὰρ καὶ τὸ μὴ, ἐκ παραλλήλου.

¶ Σχήμ. Τρικλ. 1459. Καὶ σοί γ᾽ ἐπ.] αἴτησις Οἰδίποδος πρὸς τὸν Κρέοντα περὶ αὐτοῦ τῶν παίδων. 1464. Ἀλλ᾽ ἴα μοι] συνίζησις.

SCHOL. INED. 1457. Ὑπὲρ ἀνδρὸς δὲ οὕτως ἀθλίου πεύσεσθε, ἤγουν ἐρωτήσετε. 1462. Ἐμοῦ δὲ ζῶντος μήποτε ἄξιον κριθήτω τόδε τὸ πατρῷον ἄστυ οἰκήτορος τυχεῖν. 1467. Ἐκ συνεργίας ἐκείνων θάνω, ἤγουν τοῦ πατρὸς καὶ τῆς μητρός. 1468. Καίτοι κατὰ τοῦτο οἶδα μήτε νόσον ἂν ἐμὲ μήτ᾽ ἄλλο μηδὲν πέρσαι· ἤγουν καταστρέψαι πρότερον δηλονότι· θνήσκων γὰρ, ἤγουν εἰ ἔθνησκον γὰρ, οὐ μήποτε ἂν ἐφυλάχθην ἐπὶ τινὶ τοιούτῳ δεινῷ κακῷ.

1485.

Ταῖν δ' ἀθλίαιν οἰκτραῖν τε παρθένοιν ἐμαῖν,
Αἷν οὔποθ' ἡ 'μὴ χωρὶς ἐστάθη βορᾶς
Τράπεζ' ἄνευ τοῦδ' ἀνδρός· ἀλλ' ὅσων ἐγὼ
Ψαύοιμι, πάντων τῶνδ' ἀεὶ μετειχέτην.
Αἷν μοι μέλεσθαι, καὶ μάλιστα μὲν χεροῖν
Ψαῦσαί μ' ἔασον, κἀποκλαύσασθαι κακά.
Ἴθ' ὦ 'ναξ.
Ἴθ' ὦ γονῇ γενναῖε. χερσὶ δ' ἂν θιγὼν,
Δοκοῖμ' ἔχειν σφᾶς, ὥσπερ ἡνίκ' ἔβλεπον.
Τί φημι;
Οὐ δὴ κλύω που πρὸς θεῶν τοῖν μοι φίλοιν
Δακρυῤῥοούντοιν; καί μ' ἐποικτείρας Κρέων,
Ἔπεμψέ μοι τὰ φίλτατ' ἐγγόνοιν ἐμοῖν;
Λέγω τί;—

Κρ. Λέγεις· ἐγὼ γάρ εἰμ' ὁ πορσυνὰς τάδε,
Γνοὺς τὴν παροῦσαν τέρψιν, ἥς εἶχες πάλαι.

Οἰ. Ἀλλ' εὐτυχοίης, καί σε τῆσδε τῆς ὁδοῦ
Δαίμων ἄμεινον ἢ 'μὲ φρουρήσας τύχοι.
Ὦ τέκνα, ποῦ ποτ' ἐστέ; δεῦρ' ἴτ', ἔλθετε
Ὡς τὰς ἀδελφὰς τάσδε τὰς ἐμὰς χέρας,

1485. Οὐ δὴ κλύω που πρὸς θεῶν] αἱ θάλπαι τῶν θυγατέρων παρουσῶν. Ibid. Τοῖν μοι φίλοιν δακρυῤῥοούντοιν;] ἀντὶ τοῦ τῶν ἐμῶν θυγατέρων. δέον δὲ εἰπεῖν δακρυῤῥοούσαιν, ἀρσενικῶς ἐξήνεγκεν. ἔστι δὲ ἀττικώτερον, ὡς τὸ μὰ τὼ θεώ. καὶ, τὼ χεῖρε.

ΣΧΟΛ. ΤΡΙΚΛ. 1477. Τράπεζ' ἄν.] τὸ ἄνευ καὶ τὸ χωρὶς ἐκ παραλλήλου, οὕτως, ὧν χωρὶς οὔποθ' ἡ ἐμὴ τοῦδε τοῦ ἀνδρὸς βορᾶς τράπεζα ἐστάθη. δέον δ' εἰπεῖν, ἡ τράπεζα ἐμοῦ τοῦδε τοῦ ἀνδρὸς, ἡ ἐμὴ πρὸς τὸ τράπεζα εἶπε· καὶ ἔστιν ὅμοιον τῷ, Κρηναῖα λιμνῶν τέκνα. συνάπτει δὲ καὶ τὸ, μάλιστα μὲν χεροῖν ψαῦσαί μ' ἔασον, πρὸς τὸ, ταῖν δ' ἀθλίαιν οἰκτραῖν τε. τὸ δὲ αἷν μοι μέλεσθαι, διὰ μέσου λέγει. ἔχει δὲ τὸ μὲν τὴν ἀπόδοσιν, πρὸς τὸ, χερσὶ δ' ἂν θιγών. εἰ καὶ τὸ, ἴθ' ὦ 'ναξ,

διὰ

Miferas verò et miferabiles virgines meas,
Quibus nunquam mea pofita eft cibi
Menfa abfq. hoc viro; fed quæcunq. ego [erant.
Tangebam, illorum omnium *illæ* femper participes
Eas te mihi curare *volo*, et maximè me manibus
Tangere finito, et fimul mala lugere.
Vade, O Rex,
Vade, O generofa ftirps: manibus fi attigero,
Putabo me tenere eas, ut cum cernerem.
Quid dico?
Nunquid audio per Deos alicubi charas mihi filias
Lachrymis madentes? et mei mifertus Creon
Mifit mihi chariffima pignora ex liberis meis?
Quid, *inquam*, dico?
*Cr*. *Vera* dicis. Ego enim fum ille, qui hæc tibi præbeo,
Sciens iftam oblectationem, quam pridèm habebas.
*Oe*. At felix fis admodùm: et te viam ob hanc
Deus cuftodiat meliùs, quàm me.
O filiæ meæ, ubi eftis? huc adefte, venite
Ad hafce meas fraternas manus.

διὰ μέσου εἴρηται. 1485. Ποῦ πρὸς θεῶν] τοῦτο διὰ μέσου λάμβανε, καὶ ἔστι τοῦτο ὥσπερ δεῖγμα τῆς τούτου πρὸς αὐτὰς προθυμίας. 1491. Τῆσδε τῆς ὁδοῦ] τῆς τῆς ἀρχῆς ἐπικρατήσεως, μέχρις οὗ οἱ ἐμοὶ παῖδες ἄξιοι γένωνται ἢ οὔτω, καὶ σὲ ὁ δαίμων φρουρήσειεν ἐν τῷ βίῳ κρεῖττον ἢ ἐμὲ, ἕνεκα τῆσδε ὁδοῦ, ἤγουν τῆς τῶν θυγατέρων πρὸς ἐμὲ πέμψεως.

SCHOL. INED. 1476. Τὸ δὲ πᾶν τοιοῦτον, ὧν χωρὶς, οὔποτε ἐστάθη ἡ ἐμὴ τοῦδε τοῦ ἀνδρὸς, ἤγουν ἡ ἐμοῦ τοῦδε τοῦ ἀνδρὸς βορᾶς ἤγουν τροφῆς τράπεζα. 1478. Μέλεσθαι ἀντὶ τοῦ μέλειν. τοῦτο δὲ ἀντὶ τοῦ θέλησον μέλειν σοι, θέλησον φροντίδα εἶναι σοι. 1490. Πάλαι ἐκμακροῦ. ἃς ἔπεμψας τὰς κόρας δηλονότι.

Αἳ τοῦ φυτουργοῦ πατρὸς ὑμῖν ὧδ' ὁρᾶν
Τὰ πρόσθε λαμπρὰ προὐξένησαν ὄμματα.
Ὃς ὑμῖν, ὦ τέκν', οὔθ' ὁρῶν, οὔθ' ἱστορῶν,
Πατὴρ ἐφάνθην ἔνθεν αὐτὸς ἠρόθην·
Καὶ σφὼ δακρύω. προσβλέπειν γὰρ οὐ σθένω,
Νοούμενος τὰ λοιπὰ τοῦ πικροῦ βίου,
Οἷον βιῶναι σφὼ πρὸς ἀνθρώπων χρεών.
Ποίας γὰρ ἀστῶν ἥξετ' εἰς ὁμιλίας;
Ποίας δ' ἑορτάς, ἔνθεν οὐ κεκλαυμέναι
Πρὸς οἶκον ἵξεσθ' ἀντὶ τῆς θεωρίας;
Ἀλλ' ἡνίκ' ἂν δὴ πρὸς γάμων ἥκητ' ἀκμάς,
Τίς οὗτος ἔσται; τίς παραρρίψει τέκνα,
Τοιαῦτ' ὀνείδη λαμβάνων, ἃ τοῖς ἐμοῖς
Γονεῦσιν ἔσται σφῷν δ' ὁμοῦ δηλήματα;
Τί γὰρ κακῶν ἄπεστι; τὸν πατέρα πατὴρ
Ὑμῶν ἔπεφνε· τὴν τεκοῦσαν ἤροσεν
Ὅθεν περ αὐτὸς ἐσπάρη, κἀκ τῶν ἴσων
Ἐκτήσαθ' ὑμᾶς, ὧνπερ αὐτὸς ἐξέφυ.
Τοιαῦτ' ὀνειδιεῖσθε· κᾆτα τίς γαμεῖ;
Οὐκ ἔστιν οὐδείς, ὦ τέκν'· ἀλλὰ δηλαδὴ

1495. Αἳ φυτουργοῦ πατρὸς] αἵ τινες χεῖρες τὰ πρόσθεν λαμπρὰ ὄμματα τοῦ ἡμετέρου πατρὸς ὧδε ὁρᾶν προὐξένησαν. 1501. Οἷον βιῶναι] πῶς ὑμῖν βιῶναι ἐκ τῶν ἀνθρώπων ἀνάγκη. ἢ ἡ πρὸς ἀντὶ τῆς μετά· ἀντὶ τοῦ, μετὰ ἀνδρῶν. 1513. Τοιαῦτ' ὀνειδιεῖσθε] ὑβρισθήσεσθε.

ΣΧΟΛ. ΤΡΙΚΛ. 1507. Τοιαῦτ' ὀνείδη] ἀκούσεται γὰρ ὅτι ὁ Λάϊος ὁ προπάτερος αὐτοῦ, οὗ γυνὴ Ἰοκάστη ἐμίγη τῷ ἰδίῳ παιδὶ, ἃ νῦν ἀπαριθμήσεται.

¶ Σχήμ. Τρικλ. 1514. Ὦ τέκνα] Οἰδίποδος αὖθις ἐλεεινολογία περί τε ἑαυτοῦ καὶ τῶν θυγατέρων.

SCHOL. INED. 1495. Αἳ χεῖρες τοῦ πατρὸς ὑμῶν τοῦ φύσαντος

Quæ genitoris vestri vobis priùs nitentes
Oculos sic cernere procurârunt.
Qui vobis, O filiæ, neque videns neque audiens
Pater extiti, unde ipse natus eram.
Et vos defleo, (intueri enim non possum)
Considerans quod restat acerbæ vitæ,
Quam vos vivere inter homines oportebit.
Quos enim civium adibitis cœtus?
Quæ festa, unde non cum fletu
Domum reversuræ sitis pro spectandi voluptate?
Ast ubi jam ad nubilem veneritis ætatem
Quis ille erit, qui *ità* abjiciet liberos,
Ea dedecora suscipiens, quæ meis
Parentibus tuisque simùl adhærent nocumenta?
Quid enim malorum abest? Patrem pater
Vester peremit, matrem subegit
Unde ipse satus erat, et ex iisdem
Suscepit vos, unde ipse natus est.
Hæc audietis probra. Et quis deinde ducet?
Ne unus quidèm est, O filiæ. Sed prorsùs

φύσαντος ὕτως ὁρᾷν ἤγυν τυφλώτλειν πρυξένησαν τὰ πρότερον λαμπρὰ ὄμματα· ὃς ὑμῶν πατὴρ ἐφάνην, ὦ τέκνα, ὅθεν αὐτὸς ἐσπάρην, ὕτε ὁρῶν ὕτε ἱςορῶν. 1501. Χρέος ἐςὶν ἀνάγκη ἐςίν. 1502. Εἰς ποίας γὰρ ὁμιλίας ἀςῶν ἥξετε, εἰς ποίας δὲ ἑορτὰς ὅθεν ὐκ ἐπανήξετε πρὸς τὸν οἶκον κεκλαυμέναι ἀντὶ τῆς ἀπὸ τῆς θεωρίας τέρψεως. ἀντὶ τῆς τέρψεως τῆς ἀπὸ τῆς θεωρίας. θεωρία ἡ ὄψις, θεωρία τὸ θέατρον καὶ ἡ πανήγυρις, ἀφ' ὗ καὶ παρὰ τῷ Δημοσθένει θεωρικὰ χρήματα τὰ ἐν τῷ θεάτρῳ διδόμενα. Τίς λαμβάνων, ὦ τέκνα, παρόψεται τοιαῦτα ὀνείδη ἃ τοῖς γονεῦσιν ὑμῶν ἔςαι καὶ ὑμῶν ὁμῦ δηλήματα, ἤγυν βλάβαι ἀτιμίαι. 1510. Τῇ τεκύσῃ ἐμίγη, ἀφ' ἧς αὐτὸς ἐγεννήθη.



Digitized by Google

Χέρσους φθαρῆναι κἀγάμους ὑμᾶς χρεών.
Ὦ παῖ Μενοικέως, ἀλλ' ἐπεὶ μόνος πατὴρ
Ταύταιν λέλειψαι, (νῷ γὰρ, ὦ φυτεύσαμεν,
Ὀλώλαμεν δύ' ὄντε) μή σφε παρίδῃς
Πτωχὰς, ἀνάνδρους, ἐγγενεῖς ἀλωμένας,
Μηδ' ἐξισώσῃς τάσδε τοῖς ἐμοῖς κακοῖς·
Ἀλλ' οἴκτισον σφᾶς, ὧδε τηλικάσδ' ὁρῶν,
Πάντων ἐρήμους, πλὴν ὅσον τὸ σὸν μέρος.
Ξύννευσον, ὦ γενναῖε, σῇ ψαύσας χερί.
Σφῷιν δ', ὦ τέκν', εἰ μὲν εἰχέτην ἤδη φρένας,
Πόλλ' ἂν παρῄνουν· νῦν δὲ τοῦτ' εὔχεσθέ μοι,
Οὗ καιρὸς ἀεὶ ζῆν, βίου δὲ λῴονος
Ὑμᾶς κυρῆσαι τοῦ φυτεύσαντος πατρός. —

Κρ. Ἅλις ἵν' ἐξήκεις δακρύων. ἀλλ' ἴθι στέγης ἔσω.
Οἰ. Πειστέον, κεἰ μηδὲν ἡδύ.
Κρ. Πάντα γὰρ καιρῷ καλά.
Οἰ. Οἶσθ' ἐφ' οἷς οὖν εἶμι;
Κρ. Λέξεις, καὶ τότ' εἴσομαι κλύων.
Οἰ. Γῆς μ' ὅπως πέμψεις ἄποικον.
Κρ. Τοῦ θεοῦ μ' αἰτεῖς δόσιν.
Οἰ. Ἀλλὰ θεοῖς γ' ἔχθιστος ἥκω.

1521. Τηλικάς δ' ὁρῶν,] ἀντὶ τοῦ μικράς.

ΣΧΟΛ. ΤΡΙΚΛ. 1515. Χέρσους φθαρῆναι] εἰκότως φθαρῆναι εἶπε, καὶ οὐ τεθνάναι. φθορὰ γάρ ἐστιν ἀληθῶς τὸ μὴ γάμων καὶ τέκνων τυχεῖν, ἀλλ' εἰκῇ καὶ μάτην τὸν αἰῶνα διελθεῖν. 1528. Ἐξήκεις δακρύων] μετοχή ἐστιν ἐνταῦθα τὸ δακρύων. τὸ ὄνομα γὰρ ἀεὶ βραχὺ ἔχει τὸ υ· ἡ μετοχὴ δὲ δύναται καὶ μακρὸν αὐτὸ ἔχειν καὶ βραχύ· ἐνταῦθα δὲ τὸ μέτρον μακρὸν αὐτὸ ζητεῖ ἔχειν.

¶ Σχῆμ. Τρικλ. 1516. Μενοικέως] συνίζησις. 1524. Σφῷιν δ' ὦ] συνίζησις. 1528. Ἅλις ἵν'] ἐπίλογος. 1530. Πάντα γὰρ] γνωμικόν. 1535. Ἀλλὰ θεοῖς] συνίζησις.

SCHOL.

Steriles vos mori et innuptas necesse est.
O fili Menœcei, quoniàm solus pater
Hisce relictus es (nos enim duo, qui genuimus,
Periimus) ne has, *precor*, negligas
Pauperes, viris nudas, cognatas tuas, vagabundas,
Nec eas æquaveris meis malis.
At miserere earum, cum tam parvulas esse videas,
Omnibus derelictas, nisi tuas quod attinet ad partes.
Annue, O generose, manumque tuam porrige.
Vos autem, O filiæ, si per ætatem jam saperetis,
Multis monerem; nunc verò hoc precemini mihi,
Ubicunq. *vobis* est agenda vita, vitam ut meliorem
Vos nanciscamini, quàm qui vos genuit pater.

TROCHÆI.

*Cr.* Satis est tot effudisse lachrymas. sed i intra tectum.
*Oe.* Parendum est, etsi nihil suave.
*Cr.* Omnia tempestiva sunt pulchra.
*Oe.* Scis quid nunc velim?
*Cr.* Dices, et audiens tum sciam.
*Oe.* Ut me terræ hujus ab ædibus releges *volo*.
*Cr.* Hoc petis me, quod Dei donum est.
*Oe.* Sed ego Diis sum invisissimus.

SCHOL. INED. 1521. Συνορῶ τὸ μεθ᾽ ἑαυτῆς σκέπτομαι. τηλικὰς δὲ ὁρῶν οὕτω πάντων ἐρήμους. 1523. Ἀντὶ τοῦ καταινεύσας ψαῦσον αὐτῶν δηλονότι τῇ σῇ χειρί. 1525. Τὸ εὔχεσθε, παθητικῶς κεῖται ἤτοι εὐχῆς τυγχάνετε ὑπ᾽ ἐμοῦ. 1529. Ἀρκούντως ἔχει τὸ πρᾶγμα. τροχαϊκὰ τετράμετρα καταληκτικὰ μέχρι τέλους. Μετοχή ἐστιν ἐνταῦθα τὸ δακρύων. τὸ ὄνομα γὰρ ἀεὶ βραχὺ ἔχει τὸ υ. Ἡ μετοχὴ δύναται καὶ μακρὸν ἔχειν αὐτὸ καὶ βραχύ. ἐνταῦθα δὲ τὸ μέτρον μακρὸν αὐτὸ ζητεῖ ἔχειν. 1530. Καιρὸς κατὰ Ἀριστοτέλην, ὁ δέων χρόνος, τουτέστιν ἐπιτηδεία ὥρα τοῦ ποιῆσαί τι.

Κρ. Τοιγαροῦν τεύξῃ τάχα.

Οἰ. Φῂς τάδ' οὖν;

Κρ. Ἃ μὴ φρονῶ γὰρ, οὐ φιλῶ λέγειν μάτην.

Οἰ. Ἄπαγέ νύν μ' ἐντεῦθεν ἤδη.

Κρ. Στεῖχέ νυν τέκνων δ' ἀφοῦ.

Οἰ. Μηδαμῶς ταύτας γ' ἕλῃ μου.

Κρ. Πάντα μὴ βούλου κρατεῖν.

Καὶ γὰρ ἃ 'κράτησας, οὔ σοι τῷ βίῳ ξυνέσπετο. —

Χο. Ὦ πάτρας Θήβης ἔνοικοι λεύσσετ', Οἰδίπους ὅδε,
Ὃς τὰ κλείν' αἰνίγματ' ᾔδει, καὶ κράτιστος ἦν ἀνήρ,
Ὅστις οὐ ζήλῳ πολιτῶν καὶ τύχαις ἐπιβλέπων,
Εἰς ὅσον κλύδωνα δεινῆς συμφορᾶς ἐλήλυθεν.
Ὥστε, θνητὸν ὄντ', ἐκείνην τὴν τελευταίαν ἰδεῖν
Ἡμέραν ἐπισκοποῦντα, μηδέν' ὀλβίζειν, πρὶν ἂν
Τέρμα τοῦ βίου περάσῃ, μηδὲν ἀλγεινὸν παθών.

1541. Τέκνων δ' ἀφοῦ] ἀφίστασο. τῇ προσῳδίᾳ ὡς ἀφαιροῦ. 1544. Καὶ γὰρ ἃ 'κράτησας,] ὅσα νενίκηκας, οὐ συνήνεγκέ σοι. καὶ αὐτάρκως ἔχει τὸ δρᾶμα. Τὰ γὰρ ἑξῆς, ἀνοίκεια γνωμολογοῦντος Οἰδίποδος.

ΣΧΟΛ. ΤΡΙΚΛ. 1539. Ἃ μὴ φρονῶ γὰρ] ἤγουν ἃ μὴ κατὰ νοῦν ἔχω, οὐδὲ διὰ γλώττης προφέρω. τὴν ἐν σοὶ ἔξοδον ἐπεὶ ζητεῖς, καὶ αὐτὸς ἐθέλω, οὐκοῦν τεύξῃ ταύτης. 1544. Καὶ γὰρ ἃ 'κράτησας,] λέγει δὲ τὸ τὸν Λάϊον καταβαλεῖν, ὅτε συνῆψας αὐτῷ μάχην, καὶ τὸ τὰ Σφιγγὸς εὑρεῖν αἰνίγματα. 1549. Ὥστε θνητὸν ὄντα,] ὥστε μηδένα ὄντα θνητὸν ὀλβίζειν καὶ εὐδαιμονίζειν τινὰ, ἐπισκοποῦντα ἰδεῖν τὴν τελευταίαν τῆς ζωῆς αὐτοῦ ἡμέραν, πρὶν ἂν περάσῃ καὶ διέλθῃ τέρμα καὶ τέλος τοῦ βίου, μηδὲν ἀλγεινὸν καὶ λυπηρὸν παθὼν, ἀλλ' ἀκέραιον τὴν εὐδαιμονίαν διασωσάμενος. ἔστι δὲ τὸ τελευταίαν ἡμέραν, καὶ τὸ τέρμα τοῦ βίου, ταὐτόν.

Digitized by Google

*Cr.* Ergò consequêris id statim.

*Oe.* Verumne dicis?

*Cr.* *Verum.* Quæ enim non sentio, non soleo frustrà [loqui.

*Oe.* Abduc me jam nunc hinc.

*Cr.* Vade igitur liberósque mitte.

*Oe.* Neutiquam omnes mihi auferas, *rogo.*

*Cr.* Ne obtinere cuncta postules;
Etenim quæ priùs obtinuisti, non tibi per omnem vitam adhæserunt. [Oedipus,

*Ch.* O patriæ Thebes *meæ* inquilini, aspicite; hic
Qui inclyta Sphingis noverat ænigmata, optimusque vir fuit,
Qui non favorem civium nec fortunas respexit,
In quantam *modo* procellam acerbæ calamitatis [incidit;
Proinde tu mortalis extremam illam
Diem respiciens, neminem beatum dicere *memento* priùs
Quàm vitæ terminum transierit, nihil mali passus.

ταὐλόν. παραφράζει δὲ τὴν τῦ Σόλωνος ῥῆσιν, ἣν ἔφη πρὸς Κροῖσον, ὅτι αὐτῷ τὺς θησαυρὺς ἐδείκνυ· ὁ δὲ ἦν, ὡς ὐ χρὴ πρὸ τελευῆς ἄνδρα μακαρίζειν. Ἄλλως. ὥςε χρὴ πάνλα ἄνθρωπον ἐπισκοπῦνλα τὴν τελευλαίαν ἐκείνην ἰδεῖν ἡμέραν τῦ θανάτυ, κὶ μηδένα μακαρίζειν θνητὸν ὄνλα, πρὶν ἂν ὁ τοιῦτος τὸ τέρμα τῦ βίυ διέλθῃ, μηδὲν δεινὸν πεπονθώς.

SCHOL. INED. 1544. Συνήνεγκε, συμφέρονλα ἦν. 1545. Ὦ ἔνοικοι τῆς παλρίδος τῆς ἐμῆς. 1545. Ὅςις κράτιςος ἦν δηλονότι ὐκ εὐδαιμονίᾳ πολιτῶν κὶ εὐτυχίαις θαῤῥῶν, ἀλλ' ἐπὶ τῇ ἑαυτῦ δηλονότι ἀρετῇ. Ὥςε χρὴ πάνλα ἄνθρωπον ἐπισκοπῦνλα τὴν τελευλαίαν ἐκείνην ἰδεῖν ἡμέραν τῦ θανάτυ. μηδένα μακαρίζειν θνητὸν ὄνλα, πρὶν ἂν ὁ τοιῦτος το τέρμα τῦ βίυ διέλθῃ μηδὲν δεινὸν πεπονθώς.



Digitized by Google

Κρ. Τοιγαροῦν τεύξῃ τάχα·

Οἰ. Φὴς τάδ' οὖν;

Κρ. Ἃ μὴ φρονῶ γὰρ, οὐ φιλῶ λέγειν μάτην.

Οἰ. Ἄπαγε νῦν μ' ἐντεῦθεν ἤδη.

Κρ. Στεῖχε νῦν τέκνων δ' ἀφοῦ.

Οἰ. Μηδαμῶς ταύτας γ' ἕλῃ μου.

Κρ. Πάντα μὴ βούλου κρατεῖν.

Καὶ γὰρ ἃ 'κράτησας, οὔ σοι τῷ βίῳ ξυνέσπετο. —

Χο. Ω πάτρας Θήβης ἔνοικοι λεύσσετ', Οἰδίπους ὅδε,
Ὃς τὰ κλείν' αἰνίγματ' ᾔδει, καὶ κράτιστος ἦν ἀνήρ,
Ὅστις οὐ ζήλῳ πολιτῶν καὶ τύχαις ἐπιβλέπων,
Εἰς ὅσον κλύδωνα δεινῆς συμφορᾶς ἐλήλυθεν,
Ὥστε, θνητὸν ὄντ', ἐκείνην τὴν τελευταίαν ἰδεῖν
Ἡμέραν ἐπισκοποῦντα, μηδέν' ὀλβίζειν, πρὶν ἂν
Τέρμα τοῦ βίου περάσῃ, μηδὲν ἀλγεινὸν παθών.

1541. Τέκνων δ' ἀφοῦ] ἀφίστασο. τῇ προσῳδίᾳ ὡς ἀφαιροῦ. 1544. Καὶ γὰρ ἃ 'κράτησας,] ὅσα νενίκηκας, οὐ συνήνεγκέ σοι. καὶ αὐτάρκως ἔχει τὸ δρᾶμα. Τὰ γὰρ ἑξῆς, ἀνοίκεια γνωμολογοῦντος Οἰδίποδος.

ΣΧΟΛ. ΤΡΙΧΛ. 1539. Ἃ μὴ φρονῶ γὰρ] ἤγουν ἃ μὴ καλὰ νοῦν ἔχω, οὐδὲ διὰ γλώττης προφέρω. τὴν ἐν σὴν ἔξοδον ἐπεὶ ζητεῖς, καὶ αὐτὸς ἐθέλω, οὐκοῦν τεύξῃ ταύτης. 1544. Καὶ γὰρ ἃ 'κράτησας,] λέγω δὴ τὸ τὸν Λάϊον καταβαλεῖν, ὅτε συνῆψας αὐτῷ μάχην, καὶ τὸ τὰ Σφιγγὸς εὑρεῖν αἰνίγματα. 1549. Ὥστε θνητὸν ὄντα,] ὥστε μηδένα ὄντα θνητὸν ὀλβίζειν καὶ εὐδαιμονίζειν τινὰ, ἐπισκοποῦντα ἰδεῖν τὴν τελευταίαν τῆς ζωῆς αὐτοῦ ἡμέραν, πρὶν ἂν περάσῃ καὶ διέλθῃ τέρμα καὶ τέλος τοῦ βίου, μηδὲν ἀλγεινὸν καὶ λυπηρὸν παθὼν, ἀλλ' ἀκέραιον τὴν εὐδαιμονίαν διασωσάμενος. ἔστι δὲ τὸ τελευταίαν ἡμέραν, καὶ τὸ τέρμα τοῦ βίου, ταὐτόν.

Digitized by Google

*Cr.* Ergò consequêris id statim.

*Oe.* Verumne dicis? [loqui.

*Cr.* *Verum.* Quæ enim non sentio, non soleo frustrà

*Oe.* Abduc me jam nunc hinc.

*Cr.* Vade igitur liberósque mitte.

*Oe.* Neutiquam omnes mihi auferas, *rogo.*

*Cr.* Ne obtinere cuncta postules;

Etenim quæ priùs obtinuisti, non tibi per omnem vitam adhæserunt. [Oedipus,

*Ch.* O patriæ Thebes *meæ* inquilini, aspicite; hic

Qui inclyta Sphingis noverat ænigmata, optimusque vir fuit,

Qui non favorem civium nec fortunas respexit,

In quantam *modo* procellam acerbæ calamitatis

Proinde tu mortalis extremam illam [incidit;

Diem respiciens, neminem beatum dicere *memento* priùs

Quàm vitæ terminum transierit, nihil mali passus.

ταὐτόν. παραφράζει δὲ τὴν τοῦ Σόλωνος ῥῆσιν, ἣν ἔφη πρὸς Κροῖσον, ὅτι αὐτῷ τοὺς θησαυροὺς ἐδείκνυ· ὁ δὲ ἦν, ὡς οὐ χρὴ πρὸ τελευτῆς ἄνδρα μακαρίζειν. Ἄλλως. ὥστε χρὴ πάντα ἄνθρωπον ἐπισκοποῦντα τὴν τελευταίαν ἐκείνην ἰδεῖν ἡμέραν τοῦ θανάτου, καὶ μηδένα μακαρίζειν θνητὸν ὄντα, πρὶν ἂν ὁ τοιοῦτος τὸ τέρμα τοῦ βίου διέλθῃ, μηδὲν δεινὸν πεπονθώς.

SCHOL. INED. 1544. Συνήνεγκε, συμφέροντα ἦν. 1545. Ὦ ἔνοικοι τῆς πατρίδος τῆς ἐμῆς. 1545. Ὅστις κράτιστος ἦν δηλονότι οὐκ εὐδαιμονίᾳ πολιτῶν καὶ εὐτυχίαις θαῤῥῶν, ἀλλ' ἐπὶ τῇ ἑαυτοῦ δηλονότι ἀρετῇ. Ὥστε χρὴ πάντα ἄνθρωπον ἐπισκοποῦντα τὴν τελευταίαν ἐκείνην ἰδεῖν ἡμέραν τοῦ θανάτου. μηδένα μακαρίζειν θνητὸν ὄντα, πρὶν ἂν ὁ τοιοῦτος το τέρμα τοῦ βίου διέλθῃ μηδὲν δεινὸν πεπονθώς.



Digitized by Google

Digitized by Google

# NOTÆ

## IN

## OEDIPUM TYRANNUM.

EX ſeptem Sophoclis Tragoediis quatuor edidit Thomas Johnſonus, Ajacem, Electram, Antigonen, & Trachinias, eiſque notas ſubjunxit. Cæteræ nunc tibi ſe ſiſtunt, cum verſione, uti aiunt, Johnſoni, & Scholiaſte in Oedipum Tyrannum non ante vulgato. Hujus autem tertii voluminis cum major pars typis eſſet excuſa, rogavit me Bibliopola ut aliquid commentarii Oedipo Tyranno, Philoctetæ, & Oedipo Coloneo ſubnecterem. Nolui ei operam meam qualemcumque denegare, quamvis et prorſum imparatus, & aliis negotiis curiſque implicitus. Obſervationes itaque virorum doctorum, quas ſubitò potui, collegi, & pauca adjeci, quæ mihi, dum paginas percurro, ſponte ſuâ ſe obtulerunt. Ex ſcholiis verò nunc primùm editis ego, ſi mihi fuiſſet integrum, ea ſuſtuliſſem, quæ in altero ſcholiaſte totidem verbis reperiuntur.

Priuſquam Oedipum Tyrannum perlegas, corrige, ſodes, hæc errata, quæ omnia non ſunt Typographo imputanda.

OEDIP. Vers. 24. ὅια τι, φ. lege ὅια τι φοινίυ σάλυ. v. 78. σύτ'. l. σύ τ'. v. 80. ἐνλύχῃ. l. ἐν τύχῃ, & in Schol. v. 92. ςίχειν. l. ςείχειν. v. 117. ἰχρήσαἰ'. dele iota ſubſcriptum. v. 124. ἀργύρῳ. dele plenam diſtinctionem. v. 132. ἄνἰ'. l. ἄυἰ'. v. 136. τιμορῦνἰα. l. τιμωρῦνἰα. v. 204. Ἐμφιἰρίτας. l. Ἀμφιτρίτας. v. 281. Ἡμῖν. l. Ὑμῖν. v. 292. ὁρῶν τ' l. ὁρῶνἰ'—v. 331. ἥσ'——l. ἥ σ'——v. 335. προσκυνῦμεν. l. προσκυνῦμεν. v. 338. dele diſtinctionem poſt ἐννοεῖς· v. 414. ὑτοιύτων. l. ὑ τοιύτων. v. 438. πόλιν. l. πάλιν. v. 474. φοινίαισιν. l. φοινίαισι. v. 519. ὑπο—l. ὕπο.——v. 523. Πάρειμι ἀυλήλων. l. Πάρειμ' ἀτλήλων. Et in Schol. v. 563. ἦμ'. l. ἢ μ'——v. 584. ἀλλώσομαι. l. ἀλώσομαι. v. 633. ὐδ' ἐπιςεύσων. l. ὐδὲ πιςεύσων. v. 648. κικῦνἰες. l. κινῦνἰες. v. 712. ἐμᾶν. l. ἐμὰν. v. 736. dele comma poſt βλάςας. v. 759. δ'. l. δὲ. v. 810. ῇ. l. ῇ, v. 905. ἴδη. l. ἴδη. v. 1158. Χειμῶνιδ' l. Χειμῶνι δ'.——

 v. 1188.

v. 1186. γεννημάτων; l. γεννημάτων. v. 1194. Μάλις' l. Μάλις'. v. 1307. dele distinctionem post κακῶν. v. 1464. l. ὄρεσιν. v. 1465. l. Ὄυμος. v. 1468. post οἶδα, insere μητί. v. 1486. l. Δακρυρρέοντοιν. v. 1519. Πτωχαὶ. l. Πτωχάς. v. 1526. αἰεὶ. l. ἀιεὶ.

Pag. 1. l. 18. Διοσαῖσαι. L. Διοσσαῖσι. p. 2. l. 5. τοῖς L. τὰς. p. 3. l. 11. ἐπιγόμενον. L. ἐπειγόμενον. p. 27. l. 7. *Perire*. L. *Periere*. Ib. l. 8. *qui*. L. *quæ*. p. 33. l. 5. *Medico*. L. *Medice*. ——Ib. l. 10. *aurea*. L. *aureæ*. p. 43. l. 6. *facie*. L. *face*. p. 45. l. 3. post *vestrûm* adde *novit*. p. 49. l. 2. *nos*. L. *vos*. p. 61. l. 14. *intellexi*. L. *intellexti*. p. 81. l. 3. *invenit*. L. *venit*. p. 119. l. 4. *collimans*. L. *collineans*. p. 137. l. 15. *montem*. L. *mortem*. p. 163. *Atque*. L. *Aque*. i. e. *Et a*. p. 191. l. ult. *pecunia*. L. *penuria*.

Omnium consensu huic fabulæ, & alteri Oedipo Coloneo, primæ datæ sunt. Camerarius.

Oedipum Tyr. et Electram Gallicè vertit Dacerius, cujus Præfationem vide.

Ver. 3. Schol. ἀντὶ τῷ ταῖς ἱκτηρίοις..forf.—— τοῖς ἱκετηρίοις.

P. 7. v. 3. Schol. καλέσχοῖλες. L. καλασχοῖλες. Et l. penult. [ἢ] γυν. L. ἤγουν.

Pag. 7. *Sophoclis Tragœdia Oedipi Tyranni*. Verte, *Sophoclis Oedipus Tyrannus*.

V. 11. στέξαντες. Quædam exempl. habent στέρξαντες, quinetiam apud Triclinium, itidemque apud alterum Scholiastem extat hæc lectio: verùm ego neutrum eorum ita scripsisse, ac suppositiam esse hanc lectionem persuasum habeo, quum exponant παθόντες & ὑπομείναντες. Sic certè Hesychio στέγει non solum κρύπτει & συνέχει, sed & βαστάζει & ὑπομένει. Retineo igitur στέξαντες, ut sit, δείσαντες στέγειν, ἢ στέξαντες, perinde ac si diceretur δείσαντες πάσχειν, (vel μὴ πάσχοντες) ἢ παθόντες. At p. 382. στέγειν pro κρύπτειν. H. Stephanus.

Pag. 9. l. 9. *Oedipus*. L. *Oedipe*.

Pag. 9. Schol. l. 12. [ον] forf. ὅλας. Ib. Schol. l. 20. Ἀντὶ τῷ —— τινί. Dele.

P. 10. Schol. l. 14. οἰκαίας. Scribe Ὀγκαίας ab Ὄγκαις, pago Bœotiæ prope Thebas. Videatur Scholiastes Pindari ad Olymp. Od. 2. v. 48. & ad Lycophron. v. 1225. Miscell. Observ. *Vol*. II. p. 289.

V. 18. Ἱερεῖς. Forf. βαρεῖς. Ἱερεὺς ἐγὼ —— Edit. Londin. 1722.

P. 11. v. 17. Schol. Ἰδὲ. forf. οἱ δὲ.

P. 11. Schol. l. penult. φοινικῷ. l. φοινίῳ.

V. 31.

V. 31. ἰσούμενόν. An legendum ἰσούμενοί? Homerus *Odyss.* Π. 187.

Οὔ τίς τοι θεός εἰμι, τί μ' ἀθανάτοισιν ἐΐσκεις;

Pag. 14. Schol. l. 12. προειρημένοις. Ib. Τυχῃ. Corrige, προειρημένοις, τύχῃ, συνέσει, ——

Pag. 17. Schol. l. 7. ἀνάστησιν. leg. ἀνάστησον. Ib. l. 19. ἐγνωσμένα ἔχει. lege ἐγνωσμένα. Ἔχει ——

V. 60. νοσοῦντες. Atticum est absolute dictum quasi pro νοσούντων. Homer. Ἄμφω δ' ἑζομένω. CAMERARIUS.

P. 19. l. 7. *nostis.* verte, *scitote.* —— Sed multa sunt corrigenda in interpretatione Johnsoni, quæ sciens prætereo.

V. 67. Pro πλάναις legitur & πλάνοις, quam lectionem agnoscunt Schol. Sed apud Scholiastem scriptum est perperam ἐλθεῖν pro ἐλθόντα. H. STEPHANUS.

P. 23. Schol. l. ult. καθαίροντας. lege καθαίροντες.

V. 85. ἐμὸν κήδευμα simile est huic ὦ φιλότης, o affinis, o amice. CAMERARIUS.

P. 25. Schol. l. 6. ἤγουν καταλαμβανόμενον. Sic Ed. Steph. lege ἤγουν ὁ κ.

Ib. Schol. l. 13. ὑπευθύνην. lege ὑπεύθυνον.

V. 151. Ω Διός. Jovis dulciloquam vocem, oraculum dicit. nam Apollo interpres creditur mentis paternæ. Sic Virgilius:

*Quæ Phœbo pater omnipotens, mihi Phœbus Apollo*
*Prædixit.*

CAMERARIUS.

V. 163. Πρῶτά σε κεκλόμενος. Legitur & κεκλομένῳ. At pro πρῶτά σε scribi etiam πρώταν σε admonet Scholiastes. H. STEPHANUS.

V. 175. Ἔλθετε νῦν. Triclin. Ἔλθετε καὶ νῦν.

P. 35. Schol. l. penult. Τόπος. Emenda 175. Πέπος παρά.

P. 36. Schol. l. 14. ὀξυτέρω. forf. ὀξύτερον.

P. 37. Schol. l. 22. ὠκυπτέρην. lege ὠκύπτερον.

V. 203. Scribitur & ἄπυρον. H. STEPHANUS.

P. 45. Schol. l. 11. λέγει L. λέγοι.

P. 47. l. 12. distingue, &, *ædibus si* &c. l. 14. pro *patiatur* verte *patiar.*——

P. 47. Schol. l. 4. καὶ εὐχῆς. L. κατευχή.

V. 263. Nam etsi dii non monerent neque cogerent, hanc rem vos ultro par erat exsequi. CAMERARIUS.

V. 289. Ἂν μὴ. Legendum potius crediderim ἂν μὴ —— quam Scripturam pro ἃ ἂν habuimus supra. H. STEPHANUS.

*Cc 2 V. 293.

v. 1186. γεννημάτων ; l. γεννημάτων. v. 1194. Μάλιϛ' l. Μάλιϛ'. v. 1307. dele diſtinctionem poſt κακῶν. v. 1464. l. ὄρεσιν. v. 1465. l. Ὅμως. v. 1468. poſt οἶδα, inſere μητί. v. 1486. l. δακρυῤῥοοῦντοιν. v. 1519. Πτωχαὶ. l. Πτωχάς. v. 1526. ἀεὶ. l. ἀεί.

Pag. 1. l. 18. Διασαῖσαι. L. Διασαῖσι. p. 2. l. 5. τοῖς L. τὰς. p. 3. l. 11. ἐπιγόμενον. L. ἐπειγόμενον. p. 27. l. 7. *Perire*. L. *Periere*. Ib. l. 8. *qui*. L. *quæ*. p. 33. l. 5. *Medico*. L. *Medice*. ——Ib. l. 10. *aurea*. L. *aureæ*. p. 43. l. 6. *facie*. L. *face*. p. 45. l. 3. poſt *veſtrûm* adde *novit*. p. 49. l. 2. *nos*. L. *vos*. p. 61. l. 14. *intellexi*. L. *intellexti*. p. 81. l. 3. *invenit*. L. *venit*. p. 119. l. 4. *collimans*. L. *collineans*. p. 137. l. 15. *mentem*. L. *mortem*. p. 163. *Atque*. L. *Aque*. i. e. *Et a*. p. 191. l. ult. *pecunia*. L. *penuria*.

Omnium conſenſu huic fabulæ, & alteri Oedipo Coloneo, primæ datæ ſunt. Camerarius.

Oedipum Tyr. et Electram Gallicè vertit Dacerius, cujus Præfationem vide.

Ver. 3. Schol. ἀντὶ τῷ ταῖς ἱκτηρίαις..forſ.—— τοῖς ἱκετηρίοις.

P. 7. v. 3. Schol. καλίσχριϛες. L. καλασχῶϛες. Et l. penult. [ἢ] γυν. L. ἤχου.

Pag. 7. *Sophoclis Tragœdia Oedipi Tyranni*. Verte, *Sophoclis Oedipus Tyrannus*.

V. 11. ςέξαντες. Quædam exempl. habent ςέρξαντες, quinetiam apud Triclinium, itidemque apud alterum Scholiaſtem extat hæc lectio: verùm ego neutrum eorum ita ſcripſiſſe, ac ſuppoſititiam eſſe hanc lectionem perſuaſum habeo, quum exponant παθόντες & ὑπομείναντες. Sic certè Heſychio ςέγει non ſolum κρύπτει & συνέχει, ſed & βαςάζει & ὑπομένει. Retineo igitur ςέξαντες, ut ſit, δείσαντες ςέγειν, ἢ ςέξαντες, perinde ac ſi diceretur δείσαντες πάσχειν, (vel μὴ πάσχοντες) ἢ παθόντες. At p. 382. ςέγειν pro κρύπτειν. H. Stephanus.

Pag. 9. l. 9. *Oedipus*. L. *Oedipe*.

Pag. 9. Schol. l. 12. [ον] forſ. ὄλας. Ib. Schol. l. 20. Ἀντὶ τῷ —— τινί. Dele.

P. 10. Schol. l. 14. οἰκαίας. Scribe Ὀγκαίας ab Ὄγκαις, pago Bœotiæ prope Thebas. Videatur Scholiaſtes Pindari ad Olymp. Od. 2. v. 48. & ad Lycophron. v. 1225. Miscell. Observ. *Vol*. II. p. 289.

V. 18. Ἱερεῖς. Forſ. βαρεῖς. Ἱερεὺς ἐγὼ —— Edit. Londin. 1722.

P. 11. v. 17. Schol. Ἰδὲ. forſ. οἱ δὲ.

P. 11. Schol. l. penult. φονικῷ. l. φονίῳ.

V. 31.

Digitized by Google

V. 31. ἰσούμενόν. An legendum ἰσούμενοί? Homerus *Odyss.* Π. 187.

Οὔ τίς τοι θεός εἰμι, τί μ' ἀθανάτοισιν ἐΐσκεις;

Pag. 14. Schol. l. 12. προειρημένοις. Ib. Τύχῃ. Corrige, προειρημένοις, τύχῃ, συνέσει, ——

Pag. 17. Schol. l. 7. ἀνάστησιν. leg. ἀνάστησον. Ib. l. 19. ἐγνωσμένα ἔχει. lege ἐγνωσμένα. Ἔχει ————

V. 60. νοσοῦντες. Atticum est absolute dictum quasi pro νοσούντων. Homer. Ἄμφω δ' ἑζομένω. CAMERARIVS.

P. 19. l. 7. *nostis.* verte, *scitote.* —— Sed multa sunt corrigenda in interpretatione Johnsoni, quæ sciens prætereo.

V. 67. Pro πλάναις legitur & πλάνοις, quam lectionem agnoscunt Schol. Sed apud Scholiastem scriptum est perperam ἐλθεῖν pro ἐλθόντα. H. STEPHANVS.

P. 23. Schol. l. ult. καθαίροντας. lege καθαίροντες.

V. 85. ἐμὸν κήδευμα simile est huic ὦ φιλότης, o affinis, o amice. CAMERARIVS.

P. 25. Schol. l. 6. ἤγουν καταλαμβανόμενον. Sic Ed. Steph. lege ἤγουν ὁ κ.

Ib. Schol. l. 13. ὑπευθύνην. lege ὑπεύθυνον.

V. 151. Ω Διός. Jovis dulciloquam vocem, oraculum dicit. nam Apollo interpres creditur mentis paternæ. Sic Virgilius:

*Quæ Phœbo pater omnipotens, mihi Phœbus Apollo*
*Prædixit.*

CAMERARIVS.

V. 163. Πρῶτά σε κεκλόμενος. Legitur & κεκλομένῳ. At pro πρῶτά σε scribi etiam πρῶταν σε admonet Scholiastes. H. STEPHANVS.

V. 175. Ἔλθετε νῦν. Triclin. Ἔλθετε καὶ νῦν.

P. 35. Schol. l. penult. Τόπος. Emenda 175. Πόπος παρά.

P. 36. Schol. l. 14. ὀξυτέρω. forf. ὀξύτερον.

P. 37. Schol. l. 22. ὠκυπλέξην. lege ὠκύπτερον.

V. 203. Scribitur & ἄπτερον. H. STEPHANVS.

P. 45. Schol. l. 11. λέγει L. λέγοι.

P. 47. l. 12. distingue, &, *ædibus si* &c. l. 14. pro *patiatur* verte *patiar.*——

P. 47. Schol. l. 4. καὶ εὐχῆς. L. κατευχή.

V. 263. Nam etsi dii non monerent neque cogerent, hanc rem vos ultro par erat exsequi. CAMERARIVS.

V. 289. Ἂν μή. Legendum potius crediderim ἂν μὴ —— quam Scripturam pro ἃ ἂν habuimus supra. H. STEPHANVS.



Digitized by Google

V. 293. Τειρεσίαν. Duæ posteriores syllabæ coalescunt, aut iota absorbetur, ut sit iambus in sede quartâ. Grammatici vocant συνίζησιν. Ita in Virgilio *Æn.* VI. 33. vox *omnia* est dissyllaba.

*Quin protenus omnia*
*Perlegerent oculis.*

Ita Sophocles *Philoct.* 1327.

Καὶ τῶν παρ' ἡμῖν ἐντυχὼν Ἀσκληπιαδῶν.

et sæpe.

V. 313. εἰ κὴ μὴ κλύεις. Si minus nuntii quos ad te misimus tibi exposuerunt. CAMERARIVS.

V. 325. Λύει. Schol. videtur legisse Λύῃ.

P. 55. Schol. l. 9. καθαρόν. Lege κάθηρον. Et l. 8. εὖ. l. ἦ:

V. 337. Vide Triclin.

P. 57. Schol. l. 7. σά. L. σύ. l. 10. βαστάζεις. L. βαστάσεις. L. 15. ἔχειν. L. ἔχει.

V. 355. ὅσον. Est ὅσον μὴ, tantùm vel modò non, quod & μονονουχὶ dicunt: sicut ὅτι μὴ præterquam, & ὅσον οὐδέπω atque ὅσον οὐκ ἤδη, parum abest. CAMERARIVS.

V. 358. Ἄληθες, retracto in primam accentu, ironicè. H. STEPHANVS.

V. 372. Εἴπω τί. Nodum hic in scirpo quærit Triclinius, suo more, quum optimè procedat hujus loci sententia, τὶ accipiendo ἀορίστως, non autem ἐρωτηματικῶς, quum sic quoque maneat interrogativa oratio permixta dubitationi: cui etiam solere adhiberi subjunctivum modum, satis notum est. Sed nec video quomodo verum esse possit quod ab illo dicitur, nimirum δῆτα poni διὰ μέσου, id est, per parenthesim, ut vulgo loquimur, & tamen verba ad hunc ordinem reduci, τί δῆτα εἴπω κὴ ἄλλο. H. STEPHANVS.

V. 373. Ὅσον γε. Hic quoque miror quid somniarit Triclinius, quum scripsit, ὅσον non posse jungi cum χρήζεις, alioqui enim dicendum fuisse ὅσων χρήζεις (hoc enim significant hæc ejus verba τὸ σὸν μέγα ἐγράφετ' ἄν) quasi vero non inveniatur χρήζω accusativo etiam junctum, pro *volo*, seu *peto*, aut *requiro*, & quasi non legamus apud Euripidem ὅσια χρήζω: item, Σὺ δ' ὡς τί χρήζων τήνδε ναυστολεῖς χθόνα; Fateor tamen alioqui commodè hic subaudiri infinitivum εἰπεῖν, cujus a Triclinio mentio fieri debuit. neque enim imperativus εἰπὲ, quem extrinsecus subaudit (ut certè subaudiri debet) impediet quominus χρήζεις accusativum



Digitized by Google

cusativum habeat : nisi et infinitivus præterea extrinsecus addatur : ut sit εἰπὲ ὅσον χρήζεις εἰπεῖν. Sic autem alibi τί δῆτα χρήζεις; ἤ με γῆς ἔξω βαλεῖν; Et Τί δῆτα χρήζεις; εἰς δόμους στείχειν ἐμούς; Utrobique enim commodè subauditur δρᾶν aut ποιεῖν. Ideo autem de hac Trichlinii annotatione dicendum aliquid putavi, ut cautionem in legendis ejus Scholiis adhibendam esse docerem. H. STEPHANVS.

376. ἢ κ. Scribitur & λέγειν : sed retinenda est nobis lectio nostra λέξειν. H. STEPHANVS

V. 378. Schol. διικλικὴν. Sic Ed. Steph. Lege δολικὴν.

383. βλέψαι. Rectius βλάψαι. Scholiastes uterque legit. CANTERVS.

V. 384. Οὐ γάρ με μοῖρα πρός γέ σοῦ πεσεῖν, ἐπεὶ —— Homerus Il. X. 13.

Οὐ γάρ με κτανέεις, ἐπεὶ οὔτοι μόρσιμός εἰμι.

V. 388. Ὦ πλοῦτε, κ. τύραννοι, ———

Stobæus habet τυραννίς. quod mihi magis placet. H. STEPHANVS. Quid habeat Stobæus, nescio. Sed legendum opinor τυραννί. Si retines τύραννοι, vel τυραννὶς, erit spondæus in sede quartâ.

V. 394. Schol. — ὑπὸ τὴν γῆν. Alter Scholiastes ὑπόλαγην.

P. 67. l. 10. *Oedipu*. Oedipus, in vocativo, *Oedipe*, nunquam *Oedipu*.

V. 425. ἀμφιπλὴξ, complexa ; ut tibi tanquam equo insideat, teque agitet. CAMERARIVS.

P. 71. Schol. l. ult. ἐστὶ.τὸ ἐξετάζει —— Lege 448. Εὑρίσκων ἐστὶ, τὸ ἐξετάσει, ———

V. 485. ὑπὲρ. forsan ὑπαὶ. EDIT. LONDIN.

V. 540. ἢ τοσόνδ' ἔχεις Τόλμης πρόσωπον. Pro τόλμης scribendum τολμῆς. Nam quemadmodum τιμῆς pro τιμήεις, sic τολμῆς pro τολμήεις contractum usurpatur. CANTERVS, *Nov. Lect.* VIII. 5.

V. 534. λέγει. Alii λέγοι. EDIT. LOND.

V. 551. Οἶσθ' ὡς ποιήσων; pro ποιήσεις, Atticè. Sic Ariftoph. CAMERARIVS. Canterus legendum putat ποίησον. *Nov. Lect.* VIII. 5. Ariſtoph. *Equit.* 1155. Οἶσθ' ὧν ὃ δρᾶσον. Ubi vide Casaubonum & Kusterum.

V. 583. Μαθεῖν δικαιῶ. Æquum duco viciſſim te interrogare exemplo tuo : ut fit κατὰ ταῦτα. CAMERARIVS.

V. 587. γῆς ἴσον νέμων, *paria poſſidens*.

V. 632. Vide Schol. Ined. ubi pro φρονεῖν forſ. φθονεῖν.

V. 649. Οὐκ εἶ σύ τ' εἰς οἴκους.

Alii Οὐκ

*Οὐκ εἶ σύ τ' οἶκυς, σύ τι Κρίων κατὰ ςίγας.*

Ed. Londin.

V. 652. δυοῖν. Synizesis.

V. 670. ἐναγῆ. Alii ἐυαγῆ. Ed. Londin.

V. 675. παντων θεῶν Θεὸν πρόμον ἄλιον. Interpretantur, *deorum summum*. Et sane Sol summus deorum aliquando dicitur. In hymno, qui Orpheo adscribitur, ad Solem, vocatur αὐτοφυὴς & ἀθάνατε Ζεῦ, in Senecæ *Thyest.* 789. dicitur *Terrarum Superumque parens*: in Fabrett. & Boissard. Δὴ Ἡλίῳ μεγάλῳ Σαράπιδι. *Sol*, inquit Spanhemius ad *Aristoph.* Nub. 573. *παμμεγας a Themistio dicitur, & solo θεῦ vel Δεσπότυ nomine a Gentilibus sæpe designabatur.*

In Virgilio *Æn.* XI. 785. Apollo audit, *summe Deûm*, & *Pater omnipotens*: In Statio *Theb.* IV. 583. Bacchus ——— *Omnipotens Nisæe Pater.* Ovidius *Fast.* IV. 95. ait de Venere,

*Illa deos omnes, longum enumerare, creavit,*

Sol autem aut summus deorum vocatur, nempe, inferiorum, aut non distinguitur a summo Deo qui erat πολυώνυμος, & vocabatur Jupiter, Pan, Genius, Amor, Venus, &c.

V. 709. Παραφρόνιμον, ἄπορον Ἐπὶ φρόνημα. ——— Bis idem dicit, ut recte observat Scholiastes.

P. 105. Schol. l. ult. γενῦ. l. γένυ.

V. 730. ὐκ ἐρῶ ——— *non dicam Apolline ab ipso, sed ab* &c.

V. 732. ἥξει. Malim ἵξει. Canterus.

P. 108. Schol. l. 1. 736. Παιδὸς δὲ βλάςας] καλῶς ——— Lege 735. ἐν τερπλαῖς] καλῶς τὸν τόπον. ———

V. 747. ὑπογραφεὺς. Legitur etiam ὑπὸ γραφεύς. quæ lectio magis mihi placet: ut sit ὑπὸ ποίας μερίμνης γραφεὺς τῦτο λέγεις. H. Stephanus.

P. 110. Schol. l. 9. εὖ τὰ πρὸ φωνῆς ταῦτα σημεῖα εἶπεν. Puto, εὖ τὰ προφανέςατα σημεῖα εἶπεν.

Ibid. l. 10. Ὅμηρος. Alio sensu Homerus, ὁπυίω.

P. 111. Schol. l. 4. ἔληξεν Ἥγεν. L. ἔληξεν. 751. Ἥγεν.

V. 779. Ἐξιμέτευσε. secundâ syllabâ longâ. an recte?

V. 782. ὧδ' ἀνήρ. Scribitur etiam γὰρ ὅδε γ' ἀνήρ. quæ scriptura in contextum recipienda videtur. H. Stephanus.

P. 112. Schol. l. ult. προτένοδος. An προοδηγός.

V. 790.

Digitized by Google

V. 790. Vide Triclin.

V. 797. Σπουδῆς. Schol. τῆς ἀρετῆς. Malè, ut & Dacier observavit.

P. 115. Schol. l. 10. ἐμῷ. l. ἐμῆς.

P. 117. Schol. l. penult. 821. Εἰπέ μοι —— Corrupta sunt hæc.

V. 828. Vide Schol.

V. 832. τῷ ξένῳ Τούτῳ. Si propinquus ille fuit, quem occidi, Laii: id est (ut arbitror) si ille Laius fuit. τοῦδέ γ' ἀνδρὸς, hoc homine: id est, me, demonstrativè. CAMERARIUS. Vide Schol. Johnson *peregrino mihi*. Male.

V. 843. μήτι. Pro μήτι affertur & μὴ 'στι ex quibusdam exemplaribus: quod idem cum μὴ ἐστι esse constat. Potest tamen ferri & μήτι, ut infinitivi ἰδεῖν & ἐμβαλεῖν cum χρὴ repetito jungantur. H. STEPHANUS.

V. 849. σέβας. Forte σέλας, ut de sole loquatur. ED. LOND.

V. 859. ταῦτ'. alii τ' αὐτ'. i. e. τὰ αὐτά.

P. 121. l. 4. dele *si*.

Ib. Schol. l. 9. ἀντιστρόφου l. ἀντιστρόφως.

V. 862. καθαρείναιεν. Legitur & καθαρείνειαν, & quidem elegantius. H. STEPHANUS.

V. 866. εἰς ἡμᾶς ῥέπον. Legitur & εἰς ἐμέ. quod tamen improbat Triclinius, sed immerito, quis enim ignorat in ἐμὲ posteriorem syllabam ob sequentem literam ρ posse produci? Utitur autem verbo ῥέπειν eodem ferè modo quo Aristoph. initio *Pluti*:

> Οὐκ ἔσθ' ὅπως ὁ χρησμὸς εἰς τουτὶ ῥέπει,
> Ἀλλ' εἰς ἕτερόν τι μεῖζον. H. STEPHANUS.

ἡμᾶς elegantius quam ἐμέ.

V. 876. Ὥς ' οὐχὶ —— Proinde ego vaticinorum caussâ neque huc neque illuc aspexero. Negat se, quasi proverbiali figurâ, vaticiniorum metu, vel quod levissimum sit, facturam. Non, inquit, manum verterim. Sicut & in Ajace, τοῦδέ σου ψόφου οὐκ ἂν στραφείην. Alii interpretati sunt, neque huc neque illuc respexero, neque his neque illis credidero. Mihi tamen illud placuit. CAMERARIUS.

V. 892. Ὕβρις φυτεύει τύραννον. Forsi. τυραννίδ'.

P. 127. Schol. l. ult. ὠφιλείμω. l. ὠφελίμω.

V. 933. ἄγαν. Legitur & ἄναξ quæ etiam lectio, locum habere hic potest. Videtur tamen Schol. legisse potius ἄγαν. H. STEPHANUS.

V. 940.

V. 940. πόροις. Rectius πόρης, ut habent quædam exemplaria. H. STEPHANUS.

V. 968. Πρὸ τῆς. Repone πρὸς, ut in aliis codicibus legitur. πρὸς τῆς τύχης, pro ὑπὸ τῆς τύχης. At πρὸ non videtur ferri posse, licet in Turn. Editione habeatur. Paulo post autem v. 974. pro ἀγγελῶν scribitur & ἀγγελῶν. Convenit autem loco utrumque tempus. H. STEPHANUS.

V. 983. τί δῆτ' ἂν —— σκοποῖτό τις —— τοὺς ἄνω κλάζοντας ὄρνις; —— Ex Homero, ut opinor, Il. M. 237.

> Τύνη δ' οἰωνοῖσι τανυπτερύγεσσι κελεύεις
> Πείθεσθαι· τῶν ὅτι μεταρέπομ', ὐδ' ἀλεγίζω,
> Εἴτ' ἐπὶ δέξι' ἴωσι πρὸς ἠῶ τ' ἠέλιόν τε,
> Εἴτ' ἐπ' ἀριστερὰ τοίγε, ποτὶ ζόφον ἠερόεντα. ——
> Εἷς οἰωνὸς ἄριστος, ἀμύνεσθαι περὶ πάτρης.

V. 1104. Εἰ μὴ κύρει. Lego Εἰ μὴ 'κύρει. ut in nonnullis Edit.

V. 1106. μέγας ὀφθαλμὸς. Forſ. μέγας γ' ὀφθαλμὸς. displicet ὀφθαλμὸς μέγας. Sed vide *Trachin.* 206.

V. 1012. ἢ ὐ θεμιτὸν. Est συνίζησις, inquit Triclinius. Et tamen si συνίζησιν admittis, ruit versus. Sed forsan Triclinius legebat θεμιστὸν, non θεμιτόν.

V. 1017. εὐτυχῶς. Nam feliciter cecidit quod illinc abfui: adeptus enim Thebanum regnum fortunato exilio sum usus. CAMERARIUS.

V. 1125. Σῦ πρὸς. *Ut, te domum reverso, ipse aliquid lucrarer.* Vide *Trachin.* 193.

V. 1056. Schol. l. 8. Οἰδίπυ. puto Οἰδίπυς.

V. 1038. μηδενί, scribitur & μή τινι. CAMERARIUS.

V. 1065. ὐ 'πιχώριοι. Scribitur etiam οἱ 'πιχώριοι, & quidem rectius, ut opinor. H. STEPHANUS.

P. 146. Schol. l. 1. Ὑμεῖς γὰρ. corrige γὲ, & l. 8. pro ἐγὼ, L. ἔχω.

V. 1093. Legitur 'Αίξασα. Sed recte 'Αιξασα. H. STEPHANUS.

V. 1104. ὥστι μὴ 'κμαθεῖν. Affertur & alia lectio, ὥς τί μ' ἐκμαθεῖν. Sed nostra potior videtur. Expungenda est autem quæ ante ὅτι habetur interpunctio. H. STEPHANUS.

P. 151. l. 13. post Οἰδίποδι, insere 1117.

V. 1111. Τῆς γὰρ πέφυκα &c. Eleganter.

P. 149. l. 10. *Oedipu.* Scribe *Oedipe.*

V. 1128. Αἶσι πλεῖστα συμπαίζει.

Frag-

Digitized by Google

Fragmentum Anacreontis:

> Ὦναξ, ᾧ δαμάλης Ἔρως,
> Ὦι Νύμφαι κυανώπιδες
> Πορφυρέη τ' Ἀφροδίτη
> Συμπαίζουσιν ———

V. 1130. Πρέσβεις. Legitur & Πρέσβυν. quam lectionem sequendo (ut certe Scholiastes eam secutus esse videtur) non fuerit ponenda hypodiastole ante σταθμᾶσθαι H. STEPHANVS.

V. 1135. Πρεῦχοις. Crediderim interpungendum potius esse post τάχ' ἂν που, quàm post πρεῦχοις. H. STEPHANVS.

V. 1156. τρεῖς. Menses tres. Video & sic exponi, tria tempora, ver, æstatem, autumnum. CAMERARIVS. Vide etiam Dacerium.

V. 1184. τῶνδε. Scribitur & τόνδε, ac fortasse melius. H. STEPHANVS.

V. 1178. Interrogationis notam post τοὔνδικον retinere nolui. H. STEPHANVS.

V. 1186. εἰρήσομαι. Malo ἐρήσομαι. ut sit Iambus in pede quarto.

V. 1189. Οἴμοι. —— Pro λέγειν quidam Codd. λέγων, quod certè conveniet cùm sequente ἀκούων. Hei mihi, inter exponendum tibi hanc rem, ad eam tandem partem prope accedo quæ periculosa est. Ad quæ Oedipus, Ego itidem te audiens, sum propinquus periculo. Sed quid si λέγειν retineamus, itidemque ἀκούειν scribamus? ut sit δεινῷ λέγειν, eo quod grave dictu sit, itidemque δεινῷ ἀκούειν, quod grave sit auditu: hoc sensu, si tibi jam eo deveniendum est ut dicas quod est δεινὸν λέγειν, & ego vicissim eo devenire cogor ut audiam quod est δεινὸν ἀκούειν. Vel, si tibi instat tempus dicendi, & mihi audiendi. H. STEPHANVS.

V. 1210. ὑμᾶς. Edit. Steph. ἡμᾶς, quod & agnoscere videntur Schol. *Scribitur & ὑμᾶς*, inquit Stephanus. atque ita Schol. Ined.

V. 1216. Ὦ γενεαὶ. Alii, Ἰὼ Ἰὼ γενεαί. EDIT. LOND.

P. 162. Schol. l. 15. ὃς L. ὧς. l. 20. τέτλωται. L. τέτλωκε.

V. 1221. φεῦ. Alii Ὦ Ζεῦ. EDIT. LOND.

V. 1237. Δικάζει. Alii ὃς δικάζει. EDIT. LOND.

V. 1252. τάδ' αὐτίκα εἰς ——Forsan αὐτίκ' εἰς ——

V. 1253. Ἐκόντα κοὐκ ἄκοντα. Puto Triclinium legisse κοὐχ ἑκόντα. quem non sequor.

V. 1254. αἳ ἂν. Legitur & αἳ φανῶσ' sine ἄν. quæ particula huic loco aptissima esset, sed ejus prior litera durè hic ecthlipsin pati videtur. H. STEPHANVS.

P. 167. Schol. l. 8. Δαυύβιος. Πόταμος. Lege Δανύβιος. Φᾶσις· Ποταμός. ——— l. 12. Ἵ ἱκόντες. Forf. ὅτι.

V. 1262. κἂν. Si legatur κἀν fine accentu, jungetur cum dativo ἐμοὶ, ut fit pro καὶ ἐν ἐμοί. H. STEPHANUS.

V. 1278. φοιτᾷ. An φοιτᾶ?

V. 1287. ἰώραις. Ed. Turn. ἀώραις, & in eadem annotatur altera lectio αἰώραις. At ego ἀώραις quidem per errorem irrepfiffe puto, at αἰώραις verfum ingredi non poffe manifeftum eft. Retinendum igitur dico ἰώραις, quam lectionem confirmat non fcholiaftes folùm, fed Euftathius quoque. H. STEPH.

Cum dicit, αἰώραις verfum non poffe ingredi, nempe primam fyllabam non poffe corripi, fequente vocali, fallitur, ut opinor.

V. 1294. ἔψοιτο forf. ὄψοιτο.

V. 1297. Ὀψοίαθ᾽. forf. Ἀψοίαθ᾽ ——

P. 171. Schol. l. 10. αὐτὴν. forf. αὐτήν. & l. 9. πορεύοντα. l. πορεύονται.———

V. 1302. —— ἄιμαλος ἐπέγετο.

Forfan, αἵμαλός τ᾽. —— EDIT. LOND.

V. 1332. πᾶ μοι φθογγὰ διαπέταται. *Quò difpergitur?*

V. 1342. τοσούτοις. Alii τόσοισδε. ED. LOND.

P. 184. Schol. l. ult. ἀκαταγώνητε. f. ἀκαταγώνητος.

V. 1437. Ἀλλ᾽ εἰ τὰ —— Adftantes alloquitur.

V. 1439 Αἰδεῖσθ᾽ ἄνακτος Ἡλίου —— Dacier, *Reveremini lucem folis, qui oftendit*, &c. Malè.

V. 1441. Μήτ᾽ ὄμβρος ἱερός. Dacerius ὄμβρον ἱερὸν interpretatur *luftrales aquas*. Acutè: fed, ut ait Seneca, nihil acutius eft ariftâ. Innumera funt quæ Græci ἱερὰ vocant. Omnes fontes funt ἱεροὶ, & plerique montes. Homerus areas, farinam, cuftodes, diem, & tenebras *facros* vocavit, Il. E. 499. ἱερὰς κατ᾽ ἀλωάς. Λ. 630. ἀλφίτου ἱεροῦ ἀκτήν. K. 56. & Ω. 681. φυλάκων ἱερὸν τέλος. Θ. 66. ἱερὸν ἦμαρ. Λ. 194. κνέφας ἱερόν.

V. 1486. Vide Schol. & Clarke ad Homer. Il. E. 770.

P. 194. Schol. l. 2. ἡμετέρου. L. ὑμετέρου.

V. 1501. Οἷον. Legitur & οἴω. Sed dicitur βιῶναι βιῶν, non βιῶ, quod fciam. At Schol. Οἷον pro πῶς accipit, quod non probo. H. STEPHANUS.

V. 1508. σφῷν δ᾽. Alii σφῷνθ᾽. ED. LOND.

V. 1518. μή σφι παρίδης. Puto πιερίδης. Et fic emendaffe video R. Dawes, *Mifc. Crit.* p. 268.

V. 1528. Ἄλις—. Ἄλις᾽ ἐν ἐξήκεις δακρύων; *Satis eft. Nam quo te luctus abripit?* EDIT. LOND.

V. 1531. ὧν. Potius νῶν. ED. LOND.

V. 1545. καὶ τύχαις. Videtur fcribendum ταῖς τύχαις. Nam quid ζήλῳ velit, etiam fum incertus. CANTERUS.

*Ex*

## *Ex notis Dacerii.*

V. 65. Ὡς' ἐκ. Sophocle explique ici adroitement le tems où commence sa piece. C'est après le lever du Soleil.

V. 771. Πέντ' ἦσαν. Seneque trompé par les mœurs de son tems, & méprisant la simplicité des tems heroïques, a crû qu'une si petite escorte ne convenoit pas à un roy : c'est pourquoi il a mieux aimé faire une impertinence que de suivre cette simplicité ; car il dit que Laius étoit parti avec une nombreuse suite, mais que presque tous les gardes s'étans égarés, il ne s'en trouvá près de lui qu'un très-petit nombre.

*Plures fefellit error ancipitis viæ,*
*Paucos fidelis curribus junxit labor.*

Voila une belle invention! de faire égarer les gardes dans un voyage de Thebes à Delphes, c'est à dire, dans un chemin aussi connu que celui de Paris à Versailles ; & presque aussi frequenté.

V. 1081. Θάῤῥει. Oedipe doute encore de sa naissance, & il a quelque raison d'en douter: car il pouvoit fort bien avoir été exposé sans être le fils de Laius, n'y aiant alors rien de plus ordinaire que ces avantures d'enfans exposez.

V. 1090. ἰὼ, ἰὼ. Jocaste voyant que tout ce qu'on peut dire à Oedipe ne fait qu'irriter sa curiosité, va se donner la mort comme elle la resolu, & ne dit à Oedipe que ce peu de paroles qui sont les seules qu'elle pouvoit lui dire dans cet etat. Sophocle connoit admirablement ce qu'il faut faire, & personne ne sait mieux garder toutes les bienseances ; Il y en a une ici qu'on ne sauroit assez admirer. Il faloit que Jocaste assistât à la reconnoissance d' Oedipe, cette reconnoissance ne pouvoit se faire sans elle, mais il ne falloit pas qu'elle attendît qu'il se fût reconnu, car après s'être reconnus tous deux, ils ne pouvoient & ne devoient plus se trouver ensemble: voilà pourquoi Jocaste qui le reconnoit la premiere, le quitte en même tems, avant qu'il se soit reconnu. On admirera d'avantage cette sagesse de Sophocle, si l'on prend la peine de voir le mechant effet que produit le dialogue de Jocaste & d'Oedipe, dans la Piece de Seneque. Il est impossible de le lire sans en être choqué. M. Corneille n'est pas tombé dans ce deffaut de Seneque, mais il n'a pas non plus imité l'adresse du Poëte Grec, car Jocaste n'assiste pas à la reconnoissance d'Oedipe, & elle quitte le theâtre avant que de l'avoir réconnu, ce qui fait perdre une fort grande beauté à sa piece.

1240. Ἀνήνυσα. Le Chœur doit toûjours s'interesser aux malheurs des principaux personnages, & par consequent les

principaux

Digitized by Google

principaux personnages ne doivent pas être vicieux; car si cela étoit, le Chœur ne pourroit s'interesser pour eux, sans s'interesser pour le crime. Il faut qu'ils soient d'une vertu commune, & qu'ils ne pèchent que par infirmité, vaincus par des passions dont ils n'auront pas été les maîtres. Si l'on introduit des caracteres vicieux, ce ne doit être que dans les seconds personnages.

1292. Περόνας. L'ancien habit des femmes Grecques étoit l'habit Dorique ou Carien, qui s'attachoit avec des agraffes; mais le mauvais usage qu'elle firent de ces agraffes en quelque rencontre obligea les Grecs à leur faire prendre l'habit Ionien. On peut voir sur cela Herodote liv. 5.

1331. Φιῦ. Il étoit tres-difficile, & tres-hazardeux de faire paroître Oedipe en l'état où il se trouve; mais Sophocle le fait avec un très-grand succez, & il ne lui met dans la bouche que des paroles très-convenables, & très-touchantes. Il a choisi precisément tout ce qu'il devoit dire, & on l'a fait mal parler, quand on l'a fait parler autrement. On n'a qu'à voir tout ce qu'il dit dans Seneque. Il n'y a rien de plus utile que ces sortes de comparaisons.

1416. ὦ γάμοι. Longin a mis dans tout son jour la beauté de ces vers dans le XIX. chapitre de son Traité du Sublime.

1441. ὄμβρος ἱερός. Les eaux lustrales. En effet dans les aspersions, ces eaux tombent comme une pluye sur ceux qui assistent au sacrifice; cela est beau, & n'avoit point été expliqué.

1464. Ἀλλ' ἴα. Oedipe croit diminuer quelque chose de l'atrocité de ses crimes, & faire quelque sorte de reparation à ses parens, en satisfaisant même après leur mort, à ce qu'ils avoient ordonné de lui dés sa naissance. Cela me paroit tres-naturel & tres-passionné.

1526. Οὗ καιρὸς. *Mais en l'état où vous êtes, priez seulement les Dieux qu'ils ne me laissent pas toujours vivre.* Ce passage, qui est très-beau, étoit corrompu dans le texte: car ces paroles, οὗ καιρὸς αἰεὶ ζῆν, ne sont pas intelligibles, au moins pour moy, & ne font aucun sens raisonnable. J'ay corrigé οὐ καιρὸν αἰεὶ ζῆν. *Priez seulement pour moy que je ne vive pas toûjours.* Oedipe se trouve si malheureux, qu'il craint que les Dieux ne le laissent toûjours vivre, comme il a déja dit, *Je say pourtant fort bien que ni maladie, ni aucun autre accident ne peut avoir la force de trancher mes jours.* Il regarde donc la mort comme la plus grande & la seule grace que les Dieux puissent lui faire, & il ordonne à ses filles de la leur demander pour lui. Cela est fort touchant. Les Traducteurs Latins se tirent d'affaires comme ils peuvent en mettant un mot Latin pour un mot Grec, sans se mettre autrement en peine du sens.

Digitized by Google

# ΦΙΛΟΚΤΗΤΟΥ ΥΠΟΘΕΣΙΣ.

ΑΠΑΓΩΓΗ' Φιλοκτήτου ἐκ Λήμνου εἰς Τροίαν ὑπὸ Νεοπτολέμου καὶ Ὀδυσσέως καθ' Ἑλένου μαντείαν, ὃς κατὰ μαντείαν Κάλχαντος, ὡς εἰδὼς χρησμοὺς συντελοῦντας πρὸς τὴν τῆς Τροίας ἅλωσιν, ὑπὸ Ὀδυσσέως νύκτωρ ἐνεδρευθεὶς, δέσμιος ἤχθη τοῖς Ἕλλησιν· ἡ δὲ σκηνὴ, ἐν Λήμνῳ· ὁ δὲ χορὸς ἐκ γερόντων τῶν τῷ Νεοπτολέμῳ συμπλεόντων· κεῖται δὲ καὶ παρ' Αἰσχύλῳ ἡ μυθοποιΐα· ἐδιδάχθη ἐπὶ Γλαυκίππου· πρῶτος ἦν Σοφοκλῆς.

## ΥΠΟΘΕΣΙΣ ΕΜΜΕΤΡΟΣ.

ΕΝ Χρύσῃ Ἀθηνᾶς βωμὸν ἐπικεχωσμένον,
Ἐφ' οὗπερ Ἀχαιοῖς χρησθὲν ἦν θῦσαι μόνοις,
Ποίαντος ἤδει παῖς ποθ' Ἡρακλεῖ συνών·
Ζητῶν δὲ τοῦτον ναυάτῃ δεῖξαι στόλῳ,
Πληγεὶς ὑπ' ἔχεως, ἐλίπετ' ἐν Λήμνῳ νοσῶν,
Ἕλενος δ' Ἀχαιοῖς εἶφ' ἁλώσεσθ' Ἴλιον
Τοῖς Ἡρακλέους τόξοισι, παιδί τ' Ἀχιλλέως·
Τὰ τόξ' ὑπῆρχε παρὰ Φιλοκτήτῃ μόνῳ·
Πεμφθεὶς δ' Ὀδυσσεὺς ἀμφοτέρους συνήγαγεν.



Digitized by Google

# ΣΟΦΟΚΛΕΟΥΣ

# ΦΙΛΟΚΤΗΤΗΣ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ πρόσωπα.

ΟΔΥΣΣΕΥΣ.
ΝΕΟΠΤΟΛΕΜΟΣ.
ΧΟΡΟΣ.
ΦΙΛΟΚΤΗΤΗΣ.
ΕΜΠΟΡΟΣ, ἢ ἄγγελος.
ΗΡΑΚΛΗΣ ἐπιφαινόμενος.

Προλογίζει δὲ ὁ Ὀδυσσεύς.



Digitized by Google

# SOPHOCLIS PHILOCTETES.

PERSONÆ *hujus Fabulæ.*

ULYSSES.
NEOPTOLEMUS.
CHORUS, *qui constat ex senibus simul sequentibus Pyrrhum in navi.*
PHILOCTETES.
MERCATOR.
HERCULES.

*Præfatur Ulysses.*



Digitized by Google

# ΣΟΦΟΚΛΕΟΥΣ ΦΙΛΟΚΤΗΤΗΣ.

ΟΔΥΣΣΕΥΣ.

Ἀκτὴ μὲν ἥδε τῆς περιῤῥύτου χθονὸς
Λήμνου, βροτοῖς ἄστειπτος, οὐδ᾽ οἰκουμένη·
Ἔνθ᾽, ὦ κρατίστου πατρὸς Ἑλλήνων τραφεὶς
Ἀχιλλέως παῖ Νεοπτόλεμε, τὸν Μηλιᾶ
Ποίαντος υἱὸν ἐξέθηκ᾽ ἐγώ ποτε,
Ταχθεὶς τόδ᾽ ἔρδειν τῶν ἀνασσόντων ὕπο,
Νόσῳ καταστάζοντα διαβόρῳ πόδα.
Ὅτ᾽ οὔτε λοιβῆς ἡμῖν, οὔτε θυμάτων
Παρῆν ἑκήλοις προσθιγεῖν· ἀλλ᾽ ἀγρίαις
Κατεῖχ᾽ ἀεὶ πᾶν στρατόπεδον δυσφημίαις
Βοῶν, στενάζων· ἀλλὰ ταῦτα μὲν τί δεῖ
Λέγειν; ἀκμὴ γὰρ οὐ μακρῶν ἡμῖν λόγων·
Μὴ καὶ μάθῃ μ᾽ ἥκοντα, κἀκχέω τὸ πᾶν
Σόφισμα, τῷ νιν αὐτίκ᾽ αἱρήσειν δοκῶ.

1. Ἀκτὴ μὲν ἥδε τῆς περιῤῥύτου χθονὸς] καὶ παρὰ τούτῳ προλογίζει ὁ Ὀδυσσεὺς, καθάπερ καὶ παρ᾽ Εὐριπίδῃ, ἐκεῖνο μέντοι διαφέρει, παρ᾽ ὅσον ὁ μὲν Εὐριπίδης πάντα τῷ Ὀδυσσεῖ περιτίθησιν· οὗτος δὲ τὸν Νεοπτόλεμον παρεισάγων, διὰ τούτου πάντα οἰκονομεῖ· τὸ δὲ ἀκτὴ, διὰ τὸ εἰς αὐτὴν νῆσον. 2. Λήμνου, βροτοῖς ἄστειπτος,] ἐν ἐρήμῳ γὰρ μέρει τῆς Λήμνου ἐξετέθη ὑπὸ τῶν Ἑλλήνων, ἢ ἄστειπτος, ἀπάτητος, ἀνόδευτος. ἐν ἐρήμῳ γὰρ τόπῳ τῆς νήσου ἦν ἐκτεθείς. 3. Ἔνθ᾽, ὦ κρατίστου πατρὸς] τραφεὶς

# SOPHOCLIS PHILOCTETES.

### Ulysses.

Litus quidem hoc *est* mari circumdatæ terræ
Lemni, mortalibus nec tritum, nec habitatum.
Ubi, O patre Achivorum optimo oriunde
Achillis fili Neoptoleme, Melienſem
Pœantis natum expoſui ego olim,
Juſſus hoc facere a ducibus,
Morbo cum manaret voraci pedem;
Quòd neque libamina nobis, neque victimas
Liceret quietis tangere; ſed diris
Tenebat ſemper tota caſtra execrationibus,
Clamans, gemens: ſed hæc quidem quid attinet
Dicere? Tempus enim non *ſuppetit* nobis ad longa [dicta;
Ne reſciſcat me venire, et effundam omne
Commentum, quo *me* illum mox capturum arbitror.

τραφεὶς ἐκ πατρὸς Ἑλλήνων κρατίστου. λείπει οὖν ἡ Ἐξ. τὸ δὲ ἑξῆς, ἔνθα ποτὲ ἐγὼ ἐξέθηκα τὸν Μηλιᾶ Ποίαντος υἱὸν, ὦ Νεοπτόλεμε παῖ Ἀχιλλέως. 4. Τὸν Μηλιᾶ] τὸν Θεσσαλόν. ἀπὸ πόλεως. Ἀττικὸν δὲ τὸ Μηλιᾶ. 7. Καταστάζοντα] ὅ ἐστι καταῤῥέοντα, τηκόμενον, λυόμενον. Ib. Διαβόρῳ] τῇ τὸν πόδα ἐσθιούσῃ, σηπτικῇ, τῇ διαβιβρωσκούσῃ, τῇ καλουμένῃ φαγεδαίνῃ. πάθος δὲ τοῦτό ἐστιν οὕτω λεγόμενον παρὰ τοῖς ἰατροῖς. 13. Κἀκχέω τὸ πᾶν] ταράξω. ἀπὸ μεταφορᾶς τῶν ἀμελγόντων.

17. Ἵν'

Digitized by Google

Ἀλλ᾽ ἔργον ἤδη σὸν, τὰ λοίφ᾽ ὑπηρετεῖν,
Σκοπεῖν θ᾽ ὅπου ᾿στ᾽ ἐνταῦθα δίστομος πέτρα
Τοιάδ᾽, ἵν᾽ ἐν ψύχει μὲν ἡλίου διπλῆ
Πάρεστιν ἐνθάκησις, ἐν θέρει δ᾽ ὕπνον
Δι᾽ ἀμφιτρῆτος αὐλίου πέμπει πνοή.
Βαιὸν δ᾽ ἔνερθεν ἐξ ἀριστερᾶς τάχ᾽ ἂν
Ἴδοις ποτὸν κρηναῖον, εἴπερ ἐστὶ ζῶν.
Ἅ μοι προσελθὼν σῖγα σήμαιν᾽, εἴτ᾽ ἔχει
Χῶρον πρὸς αὐτὸν τόν δέ γ᾽, εἴτ᾽ ἄλλῃ κυρεῖ.
Ὡς τἀπίλοιπα τῶν λόγων σὺ μὲν κλύοις,
Ἐγὼ δὲ φράζω· κοινὰ δ᾽ ἐξ ἀμφοῖν εἴη. —
Νε. Ἄναξ Ὀδυσσεῦ τοὔργον οὐ μακρὰν λέγεις,
Δοκῶ γὰρ οἷον εἶπας ἄντρον εἰσορᾶν.
Οδ. Ἄνωθεν, ἢ κάτωθεν; οὐ γὰρ ἐννοῶ.
Νε. Τόδ᾽ ἐξύπερθε, καὶ στίβου γ᾽ οὐδεὶς τύπος.
Οδ. Ὅρα καθ᾽ ὕπνον μὴ κατακλιθεὶς κυρῇ.
Νε. Ὁρῶ κενὴν οἴκησιν ἀνθρώπων δίχα.
Οδ. Οὐδ᾽ ἔνδον οἰκοποιός ἐστί τις τροφή;
Νε. Στειπτή γε φυλλὰς ὡς ἐναυλίζοντί τῳ.
Οδ. Τὰ δ᾽ ἄλλ᾽ ἔρημα, κοὐδέν ἐσθ᾽ ὑπόστεγον;
Νε. Αὐτόξυλόν γ᾽ ἔκπωμα, φαυλούργου τινὸς
Τεχνήματ᾽ ἀνδρὸς, καὶ πυρεῖ᾽ ὁμοῦ τάδε.

17. Ἵν᾽ ἐν ψύχει μὲν] ἐν χειμῶνι μὲν, ἐν κρύει, πάρεστι θερμαίνεσθαι, τῆς ἀκτῖνος τοῦ ἡλίου ἑκατέρωθεν προσβαλλούσης· οὐκ ἐν ταὐτῷ, ἀλλ᾽ ὅτε μὲν κατὰ τὸ ἀνατολικὸν μέρος ἐλαύνει ὁ ἥλιος, διὰ τοῦ ἀνατολικοῦ στόματος· ὅτε δὲ εἰς τὸ δυτικὸν, ὁμοίως. ἐν δὲ θέρει τῆς πνοῆς ἀπολαύειν. Ib. Διπλῆ πάρεστιν ἐνθάκησις] διπλῆ καθέδρα πρὸς ἥλιον θερμαινομένη. 19. Δι᾽ ἀμφιτρῆτος] τοῦ ἀμφοτέρωθεν τετρημένου. 25. Κοινὰ δ᾽ ἐξ ἀμφοῖν εἴη] πονοῖτο, διανύοιτο, προβαίνοι, ἢ εἴη. οἱ τραγικοὶ γὰρ τῇ Ει διφθόγγῳ χρῶνται ἀντὶ βραχείας κατὰ κοινὴν συλλαβήν.

Digitized by Google

Sed officium jam *eſt* tuum, ut *in* cæteris ſubſervias,
Diſpiciaſque ubinam ſit hîc duplici-oſtio petra,
Talis *nempe*, ubi in frigore duplex ad ſolem
Eſt ſedes, æſtate verò ſomnum
Per perviam aulam provocat aura.
At paulùm infrà ad lævam *manum* forſitan [eſt.
Videre queas fontem potabilem, ſiquidem ſuper-
Hæc mihi, ſilentio accedens, renuncia, an habitet
Hoc ipſo in loco, an alibi ſit,
Ut quod ſupereſt dicendum tu quidem audias,
Ego verò dicam; ſic operas mutuas præſtemus.
*Ne.* Rex Ulyſſe, rem facilem narras,
Videor enim ſpecum, qualem vis, videre.
*Ul.* Supernè an infernè? non enim intelligo.
*Ne.* Illum ſupernè, & veſtigii nulla cernitur nota.
*Ul.* Vide an ſomno recumbat.
*Ne.* Video abſque hominibus vacuum habitaculum.
*Ul.* Neque intùs eſt domeſticus ullus cibus? [piam.
*Ne.* Lectus eſt e foliis ſtratus ut inhabitantis cujuſ-
*Ul.* Cæterane *ſunt* deſerta, et nihil ultrà ſub tecto eſt?
*Ne.* Poculum eſt totum ligneum, vilis cujuſdam
Opus artificis, & ſimul focalia hæc.

λαβών. 26. Τοὔργον οὐ μ.] οὐ μακροῦ πόνου δεόμενον. ἤδη γὰρ εἰσεῖδον τὸ ἄντρον ὃ λέγεις. 28. Ἄνωθεν, ἢ κάτωθεν;] ταπεινὸν, ἢ ὑψηλόν; 32. Οἰκοποιὸς] οἰκοποιὸς λέγεται ἡ ἐν οἴκῳ γενομένη τροφή. 33. Στειπτή γε φυλλὰς] χαμαιστρωσία ἐκ φύλλων, ἡπλωμένη καὶ παλουμένη, ὡς κοιμωμένου ἐπ' αὐτῇ τινός. 34. Ὑπόστεγον] ὑπὸ τῇ στέγῃ. 35. Αὐτόξυλόν γ' ἔκπ.] ποτήριον μονόξυλον, τέχνημα ἀνδρὸς φαύλως ἐργαζομένου, ὅ ἐστιν ἰδιώτου καὶ οὐ τεχνίτου. 36. Πυρεῖ' ὁμοῦ] πυρέβολα.

38. Ἰοὺ,

Οδ. Κείνου τὸ θησαύρισμα σημαίνεις τόδε.
Νε. Ἰοὺ ἰού· καὶ ταῦτά γ' ἄλλα θάλπεται
 Ῥάκη, βαρείας τοῦ νοσηλείας πλέα.
Οδ. Ἀνὴρ κατοικεῖ τούσδε τοὺς τόπους σαφῶς.
 Κἄστ' οὐχ ἑκάς που· πῶς γὰρ ἂν νοσῶν ἀνὴρ
 Κῶλον παλαιᾷ κηρὶ, προσβαίη μακράν;
 Ἀλλ' ἢ 'πὶ φορβῆς νόστον ἐξελήλυθεν,
 Ἢ φύλλον εἴ τι νώδυνον κάτοιδέ που.
 Τὸν οὖν παρόντα πέμψον εἰς κατασκοπὴν,
 Μὴ καὶ λάθῃ με προσπεσών· ὡς μᾶλλον ἂν
 Ἕλοιτό μ' ἢ τοὺς πάντας Ἀργείους λαβεῖν —
Νε. Ἀλλ' ἔρχεταί τε, καὶ φυλάξεται στίβος.
 Σὺ δ' εἴ τι χρήζεις φράζε δευτέρῳ λόγῳ.
Οδ. Ἀχιλλέως παῖ, δεῖ σ' ἐφ' οἷς ἐλήλυθας,
 Γενναῖον εἶναι μὴ μόνον τῷ σώματι,
 Ἀλλ' ἤν τι καινὸν ὧν πρὶν οὐκ ἀκήκοας,
 Κλύῃς, ὑπουργεῖν, ὡς ὑπηρέτης πάρει.—
Νε. Τί δῆτ' ἄνωγας;
 Οδ. Τὴν Φιλοκτήτου σε δεῖ
 Ψυχὴν ὅπως λόγοισιν ἐκκλέψῃς λέγων,
 Ὅταν σ' ἐρωτᾷ τίς τε καὶ πόθεν πάρει,
 Λέγειν, Ἀχιλλέως παῖς· τόδ' οὐχὶ κλεπτέον.
 Πλεῖς δ' ὡς πρὸς οἶκον, ἐκλιπὼν τὸ ναυτικὸν

38. Ἰοὺ, ἰού·] ὁρᾷ τὰ ῥάκη τοῦ τραύματος τοῦ Φιλοκτήτου ξηραινόμενα ἐν ἡλίῳ, καὶ ἐκπλήττεται ὡς βαρέως αὐτοῦ νοσοῦντος. 39. Βαρείας τοῦ νοσηλείας] νόσου βαρείας πεπληρωμένα, ἢ νοσοκομίας, ἢ τῆς ἐκ νόσου ἀκαθαρσίας. 42. Κῶλον] πόδα. Ib. Κηρὶ.] νόσῳ. 43. Νόστον] ὁδόν. 44. Νώδυνον] βοτάνην τινὰ παυσώδυνον. 45. Τὸν οὖν παρόντα]

*Ul.* Hujus theſaurum narras ſcilicet.
*Ne.* Eheu, et hîc alii ſiccantur
Panni, fœdâ ſanie pleni.
*Ul.* Vir in hiſce habitat locis planè. [vir æger
Atque alicubi non procul abeſt: quomodo enim
Pede, a veteri morbo abeat longiùs?
Sed vel ad victum *parandum* exiit, [dium.
Vel folium, ſi quod novit alicubi doloris reme-
Qui adeſt igitur *ſervum* mitte ſpeculatum
Ne imprudens in me incidat: nam me magis
Omnes Argivos optaret prehendere. [quàm
*Ne.* Abit jam ille, & ſemita cuſtodietur.
Tu verò ſi quid vis *ultrà*, altero dic ſermone.
*Ul.* Achillis fili, oportet te, *in hiſce* quorum gratiâ
Strenuum eſſe non ſolum corpore, [huc veniſti,
Sed ſi quid novum, priùs inauditum tibi
Audias, miniſtrare in eo, uti miniſter ades.
*Ne.* Quid ergo jubes?
*Ul.* Philoctetæ te convenit
Animum ſubdolis fallere dictis:
Cum te rogaverit quiſque et unde ades, [cendum)
Dic, filius Achillis *ſum* (nihil enim hîc falſi di-
Navigas autem domum verſus, relicto navali

παρόντα] ὡς τινὸς παριςαμένυ αὐτῷ. 46. Προσπισὼν] ἀπατήσας, ἐπιπισών. 48. Ἀλλ' ἔρχεται] ἀπέρχεται, φησὶν, ὁ θεράπων εἰς κατασκοπήν. Ib. Φυλάξεται] φυλαχθήσεται παρ' ἡμῶν ἡ ὁδὸς αὐτῦ. 56. Λόγοισιν ἐκκλέψης] ἤγυν ἀπατήσης. 58. Τόδ' ὐχὶ κλεπτέον] τῦτο γὰρ ὐχὶ ψευσόμεθα.



Digitized by Google

Στρατὸν μ' Ἀχαιῶν, ἔχθος ἐχθήρας μέγα,
Οἵ σ' ἐν λιταῖς στείλαντες ἐξ οἴκου μολεῖν,
Μόνην δ' ἔχοντες τήνδ' ἅλωσιν Ἰλίου,
Οὐκ ἠξίωσαν τῶν Ἀχιλλείων ὅπλων,
Ἐλθόντι δοῦναι κυρίως αἰτουμένῳ,
Ἀλλ' αὔτ' Ὀδυσσεῖ παρέδοσαν· λέγων ὅσ' ἂν
Θέλῃς καθ' ἡμῶν ἔσχατ' ἐσχάτων κακά.
Τούτων γὰρ οὐδέν μ' ἀλγυνεῖς· εἰ δ' ἐργάσῃ
Μὴ ταῦτα, λύπην πᾶσιν Ἀργείοις βαλεῖς.
Εἰ γὰρ τὰ τοῦδε τόξα μὴ ληφθήσεται,
Οὐκ ἔστι πέρσαι σοὶ τὸ Δαρδάνου πέδον.
Ὡς δ' ἔστ' ἐμοὶ μὲν οὐχὶ, σοὶ δ' ὁμιλία
Πρὸς τόνδε πιστὴ καὶ βέβαιος, ἔκμαθε.
Σὺ μὲν πέπλευκας, οὔτ' ἔνορκος οὐδενὶ,
Οὔτ' ἐξ ἀνάγκης, οὔτε τοῦ πρώτου στόλου.
Ἐμοὶ δὲ τούτων οὐδέν ἐστ' ἀρνήσιμον.
Ὥστ' εἴ με τόξων ἐγκρατὴς αἰσθήσεται,
Ὄλωλα, καὶ σὲ προσδιαφθερῶ ξυνών.
Ἀλλ' αὐτὸ τοῦτο δεῖ σοφισθῆναι, κλοπεὺς
Ὅπως γενήσῃ τῶν ἀνικήτων ὅπλων.
Ἔξοιδα καὶ φύσει σὲ μὴ πεφυκότα
Τοιαῦτα φωνεῖν, μηδὲ τεχνᾶσθαι κακά.
Ἀλλ' ἡδὺ γάρ τοι κτῆμα τῆς νίκης λαβεῖν.
Τόλμα· δίκαιοι δ' αὖθις ἐκφανούμεθα.
Νῦν δ' εἰς ἀναιδὲς ἡμέρας μέρος βραχὺ

60. Ἔχθος ἐχθήρας] οἱ γὰρ ἐξ ἑνὸς ἠδικημένοι, φιλοῦσιν ἀλλήλους. 61. Στείλαντες] καλέσαντες. 62. Τήνδ' ἅλωσιν] Τὸ σὲ ἐλθεῖν εἰς Ἴλιον. 63. Οὐκ ἠξίωσαν] Οὐκ ἄξιον ἡγήσαντο. 66 Ἔσχατ' ἐσχάτων κακὰ] Αἰσχρότατα. 69. Εἰ γὰρ τὰ τοῦδε τόξα] προτρεπτικῶς

εἰς

Exercitu Achivorum, odio quos oderis acerbo
Qui te precibus vocantes domo proficiſci,
*Tuâque ex profectione* unicam habentes capiendi
Non dignati ſunt Achillea arma [Ilii ſpem,
Venienti *licèt* dare, & jure petenti,
Sed ea Ulyſſi dederunt, *tum* dices quæcunque
Vis in me extrema omnium malorum mala.
In hiſce enim neutiquam me dolebis: ſi verò feceris
Non iſta, dolorem omnibus Argivis incuties.
Si enim hujus arcus non capientur,
Non poteris expugnare Dardani ſolum.
Quod autem mihi non, tibi verò colloquium
Cum eo fidum et firmum ſit, hinc diſce.
Tu quidem navigâſti, neque juramento obſtrictus
Neque ex neceſſitate, neque primæ claſſis. [ulli,
Mihi autem nihil horum poteſt negari.
Quare ſi me, arcum qui tenet, ſenſerit,
Perii, et te ſimul mecum perdam.
Quin hoc ipſum *tibi* cogitandum eſt, furto
Ut auferas invicta arma.
Pernovi ſane te non eſſe eo ingenio natum,
Ut hiſce *dictis* utaris, aut dolo ſtruas *alii* malum.
Attamen jucunda res eſt victoriam conſequi.
Aude. Juſti verò pòſt iterum erimus. [pudentiæ
Nunc autem *in* brevem hanc diei portionem ad im-

εἰς τὴν συμμαχίαν, ἢ τὸν ἄνδρα, ἀλλὰ ψιλῶς τὰ τόξα ὠνόμασεν· εἰς δὲ τὴν πόρθησιν, τὸν Νεοπτόλεμον. 73. Οὔτ' ἔνορκος] ὤμοσαν γὰρ τῷ Τυνδάρεῳ πάντες οἱ Ἕλληνες συνελθεῖν ἐὰν ἁρπασθῇ ἡ Ἑλένη.

Δός μοι σεαυτὸν· κᾆτα τὸν λοιπὸν χρόνον
Κέκλησο πάντων εὐσεβέστατος βροτῶν.—
Νε. Ἐγὼ μὲν οὓς ἂν τῶν λόγων ἀλγῶ κλύων,
Λαερτίου παῖ, τούσδε καὶ πράσσειν στυγῶ,
Ἔφυν γὰρ οὐδὲν ἐκ τέχνης πράσσειν κακῆς,
Οὔτ' αὐτὸς, οὔθ' (ὥς φασιν) οὑ 'κφύσας ἐμέ.
Ἀλλ' εἴμ' ἕτοιμος πρὸς βίαν τὸν ἄνδρ' ἄγειν,
Καὶ μὴ δόλοισιν· οὐ γὰρ ἐξ ἑνὸς ποδὸς
Ἡμᾶς τοσούσδε πρὸς βίαν χειρώσεται.
Πεμφθείς γε μέντοι σοὶ ξυνεργάτης, ὀκνῶ
Προδότης καλεῖσθαι. Βούλομαι δ' ἄναξ καλῶς
Δρῶν ἐξαμαρτεῖν μᾶλλον ἢ νικᾶν κακῶς.
Οδ. Ἐσθλοῦ πατρὸς παῖ, καὐτὸς ὢν νέος ποτὲ,
Γλῶσσαν μὲν ἀργὸν, χεῖρα δ' εἶχον ἐργάτιν·
Νῦν δ' εἰς ἔλεγχον ἐξιὼν, ὁρῶ βροτοῖς
Τὴν γλῶσσαν, οὐχὶ τἄργα πάνθ' ἡγουμένην.
Νε. Τί οὖν μ' ἄνωγας ἄλλο πλὴν ψευδῆ λέγειν;
Οδ. Λέγω σ' ἐγὼ δόλῳ Φιλοκτήτην λαβεῖν·
Νε. Τί δ' ἐν δόλῳ δεῖ μᾶλλον ἢ πείσαντ' ἄγειν;
Οδ. Οὐ μὴ πίθηται· πρὸς βίαν δ' οὐκ ἂν λάβοις.
Νε. Οὕτως ἔχει τι δεινὸν ἰσχύος θράσος;
Οδ. Ἰοὺς ἀφύκτους καὶ προπέμποντας φόνον.
Νε. Οὐκ ἆρ' ἐκείνῳ γ' οὐδὲ προσμῖξαι θρασύ;

95. Βούλομαι δ' ἄναξ κ. δρ.] ἀντὶ τοῦ ἀληθεύων. 96. Ἢ νικᾶν κακῶς] ἀντὶ τοῦ μετὰ ψευδολογίας· ὅ ἐστι, θέλω εἰπὼν τὸ ἀληθὲς ἀποτυχεῖν μᾶλλον, ἢ ἐξαπατῶν τὸν ἄνδρα καὶ ἐπιτυχεῖν. εἰσάγει δὲ αὐτὸν ὁ Σοφοκλῆς τὸν τοῦ πατρὸς λόγον λέγοντα, Ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλησι. 98. Γλῶσσαν μὲν ἀργὸν] κρείσσονα τῶν ἔργων οὖσαν τὴν γλῶσσαν. διαβάλλει τοὺς καθ' ἑαυτὸν ῥήτορας ὁ ποιητὴς, ὡς διὰ γλώσ-

σης

Digitized by Google

*Partes agendas* da te mihi, et deinde reliquum
Voceris omnium sanctissimus mortalium. [tempus
*Ne.* Ego sane, quæ verba invitus audio,
Laertis fili, ea *magis* exequi odi. [faciam malâ,
Naturâ enim comparatus sum, ut nihil fraude
Neque ego, neque (ut aiunt) qui me genuit pater.
Sed paratus sum per vim virum abducere,
Et non dolis: non enim uno pede *fultus ille*
Nos tam multos per vim devicerit.
Missus equidem tibi cooperarius horreo
Proditor vocari. Malo autem, O rex, rectè
Faciens frustrari, quàm vincere turpitèr. [lim,
*Ul.* Optimi patris filî, et ipse, juvenis cum essem o-
Linguam quidèm otiosam, manum verò habui
efficacem. [mortales
Nunc autem experientiâ provectus video inter
Linguam, non opera, omnia gubernantem.
*Ne.* Quid igitur aliud me jubes, quàm mendacia loqui?
*Ul.* Volo te ego Philocteten dolo capere.
*Ne.* Cur dolo potiùs quàm persuasione abducere?
*Ul.* Non persuadebitur: per vim quoque non queas
*Ne.* Tantumne habet robur et audaciæ? [capere.
*Ul.* Sagittas inevitabiles, et emittentes *certam* necem.
*Ne.* Non igitur eum ne quidem accedere tutum est.

σης πάντα κατορθοῦντας. 100. Ἡγουμένην] προηγουμένην, εἰς ἅπαντα τὴν ἀπάτην ἀνύτουσαν. 101. Τί οὖν μ' ἄνωγας] ὃ θέλεις κέλευε, πλὴν τοῦ ψεύδεσθαι. 106. Ἰοὺς ἀφύκτους] ἄφυκτα γὰρ ἦν τὰ Ἡράκλεια βέλη, καὶ τοῦ σκοποῦ μὴ ἀποτυγχάνοντα, ἢ ἐπανερχόμενα εἰς ἑαυτόν. Πρὸς ὃ ἐπάγει. 107. Οὐκ ἆρ' ἐκείνῳ] οὐκοῦν οὐδὲ προσελθεῖν ἑαυτῷ καὶ πλησιάσαι, εὐθαρσές ἐστι καὶ ἀσφαλές.

110. Ei

Οδ. Οὔ, μὴ δόλῳ λαβόντα γ', ὡς ἐγὼ λέγω.
Νε. Οὐκ αἰσχρὸν ἡγῇ δῆτα τὰ ψευδῆ λέγειν;
Οδ Οὐκ, εἰ τὸ σωθῆναί γε τὸ ψεῦδος φέρει.
Νε. Πῶς οὖν βλέπων τις ταῦτα τολμήσει λαλεῖν;
Οδ. Ὅταν τι δρᾷς ἐς κέρδος, οὐκ ὀκνεῖν πρέπει.
Νε. Κέρδος δέ μοι τί τοῦτον ἐς Τροίαν μολεῖν;
Οδ. Αἱρεῖ τὰ τόξα ταῦτα τὴν Τροίαν μόνα.
Νε. Οὐκ ἆρ' ὁ πέρσων, ὡς ἐφάσκετ', εἰμ' ἐγώ;
Οδ. Οὔτ' ἂν σὺ κείνων χωρὶς, οὔτ' ἐκεῖνά σου.
Νε. Θηρατέ' οὖν γένοιτ' ἂν, εἴπερ ὧδ' ἔχει.
Οδ. Ὡς τοῦτό γ' ἔρξας, δύο φέρῃ δωρήματα.
Νε. Ποίω; μαθὼν, γὰρ οὐκ ἂν ἀρνοίμην τὸ δρᾶν.
Οδ. Σοφός τ' ἂν αὐτὸς κἀγαθὸς κεκλῇ' ἅμα.
Νε. Ἴτω, ποιήσω πᾶσαν αἰσχύνην ἀφείς.
Οδ. Ἦ μνημονεύεις οὖν ἅ σοι παρῄνεσα;
Νε. Σάφ' ἴσθ' ἐπείπερ εἰσάπαξ ξυνῄνεσα.
Οδ. Σὺ μὲν μένων νῦν κεῖνον ἐνθάδ' ἐκδέχου·
Ἐγὼ δ' ἄπειμι, μὴ κατοπτευθῶ παρών.
Καὶ τὸν σκοπὸν πρὸς ναῦν ἀποστελῶ πάλιν.
Καὶ δεῦρ', ἐάν μοι τοῦ χρόνου δοκῆτ' ἔτι
Κατασχολάζειν, αὖθις ἐκπέμψω πάλιν
Τοῦτον τὸν αὐτὸν ἄνδρα, ναυκλήρου τρόπον
Μορφὴν δολώσας, ὡς ἂν ἀγνοίᾳ προσῇ.

110. Εἰ τὸ σωθ.] εἰ σωτηρία ἐξ αὐτοῦ προσγίγνεται. 111. Πῶς ὂν βλέπων] ἤγουν νοῦν, λογισμὸν ἔχων· καί ἐστιν ἡ σύνταξις, πῶς ἂν ἀποβλέπων τις εἰς τὸ ψεῦδος, ἐρεῖ αὐτό. 114. Αἱρεῖ] πορθεῖ. 117. Θηρατέ'] ληπτέα, ἄξια τοῦ θηραθῆναι. 118. Δύο φέρῃ δωρήματα] δύο τιμήματα ἀποφέρῃ. 119. Ποίω; μαθὼν] ἀντὶ τοῦ ποῖα, δυϊκῶς. 120. Σοφός τ' ἂν] σοφὸς μὲν διὰ τὸ κλέψαι· ἀγαθὸς δὲ, διὰ

τὸ

Digitized by Google

*Ul.* Non, nisi dolo ceperis, ut dico.
*Ne.* Non igitur turpe ducis falsa loqui?
*Ul.* Non *puto*, siquidem mendacium affert salutem.
*Ne.* At quâ fronte quis hæc audebit loqui?
*Ul.* Cum lucri causâ quid inceptas, pudere non decet.
*Ne.* Quid autem lucri *est* mihi, ut hic ad Trojam veniat?
*Ul.* Capient arcus hi Trojam soli.
*Ne.* Non igitur *eam* ego (ut dicitis) expugnaturus sum?
*Ul.* Nec tu illis sine, nec illi sine te *capient Trojam.*
*Ne.* Capiendi itaque sunt, siquidem ita se res habet.
*Ul.* Idque si feceris, duplex auferes præmium.
*Ne.* Quodnam? si enim sciero, non negabo operam.
*Ul.* Sapiensque simul ipse et fortis vocabere.
*Ne.* Ito. faciam *quod mones*, omni pudore amoto.
*Ul.* Tenesne animo igitur, quæ te monui?
*Ne.* *Tenere* certo scias, postquam semel annui.
*Ul.* Tu quidem jam eum manens hîc expecta:
Ego autem abeo, ne cernar adesse.
Et speculatorem ad navem mittam denuò,
Et huc, siquam mihi temporis videmini
Moram facere, rursus remittam
Hunc ipsum virum, navitæ habitu
Formâ dolis mutatâ, ut ignotus ulli adsit.

τὸ πορθῆσαι. ἢ σοφȣ͂ μὲν ὄντος καθόλȣ τȣ͂ δολῶσαι δυναμένȣ, νῦν δὲ ϗ τȣ͂ δόλȣ ἀγαθȣ͂ ὄντος. Ib. Κεκλῇ ἅμα] ἀντὶ τȣ͂ κεκλημένος εἴης. 123. Συνῄνεσα] συνεθέμην. 126. Καὶ τὸν σκοπὸν] τὸν σκοπὸν τȣ͂τον πρὸς τὴν ναῦν ἀποπέμψω, ϗ πάλιν ἐὰν καιρὸς καλῇ, ἐνταῦθα, ἐάν μοι δόξητε βραδύνειν. 130. Μορφὴν δολώσας] ἵνα μὴ γνωσθῇ.

131 Οὐ

Digitized by Google

Οὐ δῆτα τέκνον ποικίλως αὐδωμένου,
Δέχου τὰ συμφέροντα τῶν ἀεὶ λόγων.
Ἐγὼ δὲ πρὸς ναῦν εἶμι, σοὶ παρεὶς τάδε.
Ἑρμῆς δ' ὁ πέμπων δόλιος ἡγήσαιτο νῷϊν,
Νίκη τ' Ἀθηνᾶ πολιὰς, ἣ σώζει μ' ἀεί.—

Χο. Τί χρὴ, τί χρή με δέσποτ' ἐν ξένᾳ ξένον
Στέγειν, ἢ τί λέγειν πρὸς ἄνδρ' ὑπόπταν;
Φράζε μοι· τέχνα γὰρ
Τέχνας ἑτέρας προὔχει,
Καὶ γνώμας, παρ' ὅτῳ τὸ θεῖον
Διὸς σκῆπτρον ἀνάσσεται.
Σοὶ δ' ὦ τέκνον, τόδ' ἐλήλυθε
Πᾶν κράτος Ὠγύγιον· τό μοι ἔννεπε
Τί σοι χρεὼν ὑπουργεῖν.—

Νε. Νῦν μὲν ἴσως γὰρ τόπον ἐσχατιαῖς
Προσιδεῖν ἐθέλεις ὅντινα κεῖται,
Δέρκου θαρσῶν· ὁπόταν δὲ μόλῃ
Δεινὸς ὁδίτης τῶν δ' ἐκ μελάθρων,

131. Οὐ δῆτα τέκνον] ἢ τοῦ Φιλοκτήτου ἀπατωμένου, ἢ τοῦ ναυκλήρου δόλιά σοι διαλεγομένου, καὶ ἀσυμφανῆ. 135. Πολιὰς] πολιοῦχος. οὕτως ἡ πολιοῦχος Ἀθηνᾶ νίκη καλεῖται ἐν τῇ Ἀττικῇ. 137. Στέγειν] κρύπτειν. Ib. Ἄνδρ' ὑπόπταν] ἀντὶ τοῦ ἐμὲ φανερὸν γεγονότα, καὶ ἐλθόντα εἰς ὄψιν. ἢ τὸν Φιλοκτήτην τὸν ὑφ' ἡμῶν κατασκοπούμενον. Ἄλλως, πρὸς τὸν ὑφορώμενον ἡμῖν ἄνδρα τί δεῖ λέγειν, ἢ σιωπᾶν. 138. Τέχνα γὰρ τέχνας] τοῦτο ἐν τῷ καθόλου. ἡ γὰρ τέχνη (φησὶ) καὶ ἡ γνώμη τῶν βασιλέων προὔχει τῶν ἄλλων τεχνῶν. καὶ ἐν Οἰδίποδι, Ἃ γὰρ δρῶσιν οἱ κρατοῦντες

Cujus utique, nate, varia loquentis
Ea accipe, quæ profutura sunt negotio.
Ego verò ad navim abeo, his tibi commissis:
Mercurius autem dolosus, ut *huc* duxit, porro ducat nos, [semper servat.
Victrixque Minerva, urbium custos, quæ me

ANTISTROPHICA. STROPHE I.

*Ch.* Quid oportet, quid me oportet, O Rex, in peregrinâ peregrinum [pectum?
Occultare, aut quid dicere ad hominem susp-
Dic mihi. Ars enim *illius*
Aliam artem præstat,
Et consilium, a quocunque divinum
Jovis sceptrum regitur.
Tibi verò, fili, tota hæc pervenit
Potentia ab atavis *derivata*. Ideo dic
Quâ in re tibi me subservire oporteat.

ANAPÆSTI.

*Ne.* Nunc quidem (fortasse enim locos extremos
Aspicere cupis, *in* quibus *Philoctetes* jacet)
Aspice fidenter; ubi verò venerit
Gravis ille viator, hisce ex ædibus

τῦνες ἐχ ὁρῶ. καὶ Ἡσίοδος, Τὸ ἥνικα γὰρ βασιλῆες ἐχέφρονες. 140. Παρ' ὅτῳ] ἐφ' ᾧ ἐςι τὸ θεῖον σκῆπτρον. 142. Τόδ' ἐλήλυθε] τῦτο τὸ ἀξίωμα ἐκ προγόνων ἦλθεν εἰς σέ. δίκαιον ὦν σοι πείθεσθαι. 143. Πᾶν κράτος Ὠγύγιον] τὸ ἐξ ἀρχῆς. τιθέμενον κράτος. 144 Ὑπυργεῖν] συνεργεῖν. 145. Νῦν μὲν ἴσως γὰρ] νῦν μὲν (φησὶν) εἰσελθὼν, ὅρα τὸν τόπον. ἐπὰν δὲ ἔλθῃ, τότε σὺ τῶν μελλάθρων ἀποςὰς, ὑπηρέτει μοι πρὸς τὴν παρῦσαν χρείαν. Τόπον ἐσχατιαῖς] τὸν ἐπὶ τῷ ἐσχάτῳ τόπῳ.

¶ Σχῆμ. Τρικλ. 134. Ναῖε] Σμικίζησις.

Πρὸς ἐμὴν αἰεὶ χεῖρα προχωρῶν,
Πειρῶ τὸ παρὸν θεραπεύειν. —

Χο. Μέλον πάλαι μέλημά μοι λέγεις ἄναξ,
Φρουρεῖν ὄμμ' ἐπὶ σῷ μάλιστα καιρῷ.
Νῦν δέ μοι λέγ' αὐλὰς
Ποίας ἔνεδρος ναίει,
Καὶ χῶρον τίν' ἔχει· τὸ γάρ μοι
Μαθεῖν, οὐκ ἀποκαίριον,
Μή με λάθῃ προσπεσὼν ποθεν.
Τίς τόπος; ἢ τίς ἕδρα; τίν' ἔχει στίβον,
Ἔναυλον, ἢ θυραῖον; —

Νε. Οἶκον μὲν ὁρᾷς τόνδ' ἀμφίθυρον
Πετρίνης κοίτης.
Χο. Ποῦ γὰρ ὁ τλήμων αὐτὸς ἄπεστι;
Νε. Δῆλον ἔμοιγ' ὡς φορβῆς χρείᾳ
Στίβον ὀγμεύει τόνδε πέλας που.
Ταύτην γὰρ ἔχειν βιοτῆς αὐτὸν
Λόγος ἐστὶ φύσιν, θηροβολοῦντα
Πτηνοῖς ἰοῖς στυγερὸν στυγερῶς·
Οὐδέ τιν' αὐτῷ

149. Προχωρῶν] πειρῶ τὸ παρὸν ὥσπερ ἐγὼ προχωρῶ, οὕτως ἀκολουθῶν, πειρῶ με θεραπεύειν ἀεὶ, κυρίως δέ ἐστιν ἀκμὴν τὸ προχωρῶ, ἤγ. ὡς ἂν ἐγὼ προστάσσω, τοῦτον τὸν τρόπον ποιῶν. 151. Μέλον πάλαι] ἀντὶ τοῦ πρᾶγμά μοι λέγεις, ἐκ πολλοῦ μοι μεμεληκὸς, τὸ φρουρεῖν τὸ σὸν ὄμμα, καὶ τὴν ἀπὸ σοῦ εὐκαιρίαν. 152. Τὸ σὸν φρουρεῖν ὄμμα] τὰ σὰ νεύματα φυλάττειν. 156. Οὐκ ἀποκαίριον] οὐκ ἄτο-

πον

Ad meam ſemper manum accedens
Da operam, ut rem præſentem cures.

ANTISTROPHE I.

*Ch.* Veterem mihi curam mandas, O Rex,
Servare oculos tuis maximè intentos commodis:
Nunc autem mihi dic, ſtabulis
*In* quibus abditus habitat,
Et quam tenet regionem. Hoc enim mihi
Scire non alienum eſt,
Ne me alicubi clam opprimat. [veſtigia
Quis *illius* locus? aut quæ ſedes? quæ impreſſit
Introne an foras euntia?

ANAPÆSTI.

*Ne.* Domum certè hanc vides biforem
Saxei cubilis.
*Ch.* Sed ubi ipſe miſer abeſt?
*Ne.* Clarum eſt mihi, eum cibi quærendi causâ
In viâ hâc alicubi propè ambulare.
Hanc enim ei eſſe victûs
Rationem *vulgo* dicitur, ut feras conficiat
Alatis ſagittis,
Nullumque ſibi

που· ὐκ ἄκαιρον γάρ ἐςι τὸ τῦτο μαθεῖν. 157. Προσπεσὼν] προσπελάσας. 159. Ἔναυλον ἢ θυραῖον] ἐντὸς, ἢ ἐκτός· ἐ[γ]γὺς, ἢ μακράν. 164. Στίβον ὀγμεύει] ὄγμος, ἡ ἐπὶ ςίχον φυτεία, καὶ ἡ τάξις, νῦν δὲ ἀντὶ τῦ ἐφεξῆς πορεύεται. 167. Στυγερῶς] ἐπιμόνως. 168. Οὐδέ τιν' αὐτῷ] ἀντὶ τῦ ἑαυτῷ.



Digitized by Google

Παιῶνα κακῶν ἐπινωμᾶν.—

Χο. Οἰκτείρω νιν ἔγωγ', ὅπως
Μή του κηδομένου βροτῶν,
Μηδ' αὖ σύντροφον ὄμμ' ἔχων,
Δύστανος μόνος αἰεὶ
Νοσεῖ μὲν νόσον ἀγρίαν,
'Αλύει δ' ἐπὶ παντί τῳ
Χρείας ἱσταμένῳ, πῶς ποτε πῶς
Δύσμορος ἀντέχει,
'Ω παλάμαι θνητῶν,
'Ω δύστανα γένη βροτῶν,
Οἷς μὴ μέτριος αἰών.—

Οὗτος πρωτογόνων ἴσως
Οἴκων οὐδενὸς ὕστερος,
Πάντων ἄμμορος ἐν βίῳ
Κεῖται μοῦνος ἀπ' ἄλλων,
Στικτῶν ἢ λασίων μέτα
Θηρῶν· ἔν τ' ὀδύναις ὁμοῦ
Λιμῷ τ' οἰκτρὸς, ἀνήκεστα μεριμνήματ' ἔχων· βαρεῖ-

169. Παιᾶνα κακῶν] θεραπείαν. Ib. 'Επινομᾶν.] ἐξευρίσκειν. 170. Οἰκτείρω νιν] ἐλεῶ (φησὶν) αὐτὸν πῶς δύναται διάγειν. μήτε συνοικῶν τινι, μήτε κηδόμενόν τινα ἔχων. 171. Μή του κηδομένου] μη τινος αὐτοῦ τῶν ἀνθρώπω κηδομένου. 172. Μὴ σύντροφον ὄμμα] μὴ δὲ ὁρῶν εἰς ἄνθρωπον σύνοικον. 175 'Αλύει δὲ ἐπὶ παντὶ] ἐπὶ παντὶ τῳ ἐν χρεία γιγνομένῳ ἀπορεῖ ἢ ὁπηνίκα χρείας καλέσῃ καιρὸς, ἀδημονεῖ, δια τὸ πάντων

Remedium malorum inveniat.

## Strophe II.

*Ch.* Miſeret me illius, quòd
Quum nemo curet mortalium,
Neque adeò convictoris aſpectu fruens
Infelix ſolus ſemper
Laborat morbo atroci,

..... quomodo tandem quomodo
Infauſtus tolerat vitam?
O artes *variæ* mortalium!
O infelicia hominum genera,
Quibus immodicis vita premitur malis!

## Antistrophe II.

Hic avitas forte
*Inter* familias nulli inferior,
*Rerum tamen* omnium expers in vitâ
Jacet ſolus *longe* ab aliis,
Variè pictis hirſutiſve cum
Feris in doloribus ſimul
Fameque miſerandus, inſanabilibus
Curis conflictans.

πάντων ἀπορεῖν. 178. Ὦ παλάμαι θνητῶν] Ὦ τέχναι καὶ γνῶμαι. τοῦτο θαυμάζων τὸν Φιλοκτήτην, φησὶ, πῶς ἄρα μόνος ὢν ἐξευρίσκει τὰ πρὸς τὴν ζωὴν ἑαυτῷ. 180. Οἷς μὴ μέτριος αἰὼν] οἷς ὁ βίος οὐκ ἔχει τῶν κακῶν μέτρον. ἢ οὕτως, οἷς μὴ σύμμετρος ὁ βίος καὶ ἐπαρκῶν. 182. Ὑστερο.] ἀντὶ τοῦ ὑστερίζων. 183. Ἄμμορος] ἀντὶ τοῦ ἔρημος νῦν κεῖται. 185. Στικτῶν] ποικίλων καὶ δασυτρίχων.

189. Ἀθυ-

α δ' ἀθυρόστομος
Ἀχὼ τηλεφανὴς πικρᾶς
Οἰμωγᾶς ὑπόκειται.—

Νε. Οὐδὲν τούτων θαυμαστὸν ἐμοί.
Θεῖα γὰρ (εἴπερ κἀγώ τι φρονῶ)
Καὶ τὰ παθήματ' ἐκεῖνα πρὸς αὐτὸν
Τῆς ὠμόφρονος Χρύσης ἐπέβη·
Καὶ νῦν ἃ πονεῖ δίχα κηδεμόνων
Οὐκ ἔστιν ὅπως οὐ θεῶν μελέτῃ,
Τοῦ μὴ πρότερον τόνδ' ἐπὶ Τροίαν
Τεῖναι τὰ θεῶν ἀμάχητα βέλη,
Πρὶν ὅδ' ἐξήκοι χρόνος, ᾧ λέγεται
Χρῆναί σφ' ὑπὸ τῶνδε δαμῆναι. —

Χο. Εὔστομ' ἔχε, παῖ.
Νε. Τί τόδε;
Χο. Προὐφάνη κτύπος φωτὸς σύν-

189. Ἀθυρόστομος] πολυλάλητος, μὴ εἰργομένη τοῦ φθέγγεσθαι. ἀθυρόστομον δὲ εἶπε τὴν Ἠχὼ, ἐπεὶ πρὸς πάντας ἀντιφθέγγεται. ὁ δὲ νοῦς, ἀεὶ μὲν ὀδυρομένου αὐτοῦ, Ἠχὼ πρὸς τὸν ὀδυρμὸν ἀντιφθέγγεται. 190. Τηλεφανὴς] μήκοθεν φαινομένη διὰ τῆς φωνῆς. ἀντὶ τοῦ, οἰμώζει, καὶ τὴν φωνὴν πόῤῥωθεν ἀνεγείρει. 192. Οὐδὲν τούτων θαυμαστὸν] οὐδὲν (φησὶ) τούτων θαυμαστὸν ἐμοὶ ὅτι κακὰ πάσχει ὁ Φιλοκτήτης. ἐκ θεῶν γὰρ (ὡς οἶμαι) ταῦτα πέπονθε. καὶ τὸ πάθος ὑπέμεινε κατὰ βούλησιν τῶν θεῶν, ἵνα μὴ τὰ βέλη εὐθέως ἐπελθόντα, πορθήσῃ τὴν Τροίαν παρὰ τὸ εἱμαρμένον, ἀλλὰ ἐκδέξηται τὸν καιρόν. 195. Τῆς ὠμόφρονος Χρύσης] Χρύση, νῆσος πρὸ τῆς Λήμνου, ἔνθα διέτριβε Χρύση τις νύμφη, ἣ ἐρασθεῖσα τοῦ Φιλοκτήτου, καὶ μὴ πείσασα, κατηράσατο αὐτῷ. διὸ καὶ ὠμόφρονα αὐτὴν ἐκάλεσεν. Εἰς τὸ αὐτό. Τῆς ὠμόφρονος Χρύσης] Χρύσης Ἀθηνᾶς ἄγαλμα οὕτω καλεῖται. ἔστι δὲ καὶ πόλις Χρύση πλησίον Λήμνου,

Digitized by Google

Triſtis autem loquaci ore,
Echo procul reſonans acerbis
Ejulatibus reſpondet.

### Anapæsti.

*Ne.* Nihil *eſt* horum mihi mirabile.
Divinitùs enim (ſiquid ego intelligo)
Hæc etiam mala eum
Crudelem *ob* Chryſen *Nympham* invaſerunt.
Et nunc quod affligitur ſine curatoribus,
Non hoc fit ſine conſilio Deorum,
Ne priùs hic ad Trojam
Dirigat Deorum invicta tela,
Quàm tempus elabatur illud, quo dicitur
Capiendam eſſe ab iis Trojam.

### Antistrophica. Strophe.

*Ch.* Nate, tace.
*Ne.* Quid hoc eſt?
*Ch.* Clarus eſt ſtrepitus homini

Λήμνῳ, ἔνθα ὑπὸ τοῦ ὄφεως ἐδήχθη, τὸν βωμὸν ζητῶν ἐν ᾧ ἔθυσεν Ἡρακλῆς, ἡνίκα κατὰ Τροίας ἐστράτευσεν. 199. Ἀμάχητα] ἀνίκητα. 200. Πρὶν ὅδ' ἐξήκοι χρόνος] Πρὶν αὐτὴν τὴν Τροίαν εἰς τὸν εἱμαρμένον ἐλθεῖν χρόνον, ἐν ᾧ εἵμαρται, αὐτὴν πορθηθῆναι. Ὧι λέγεται] ᾧ χρόνῳ. 201. Ὑπὸ τῶνδε] τῶν βελῶν δηλονότι. 202. Εὔστομ' ἔχε παῖ] εἰώθασιν οὕτω λέγειν, ἀντὶ τοῦ σιώπα. Τὸ δὲ τοιοῦτο κεχίασται, ὅτι Ἑλλανικός ποτε ἀναγινώσκων τὰ Ἡροδότου, ἔλεγε, Περὶ δὲ τῶνδέ μοι εὔστομα κείσθω· οὐ διαιρῶν εἰς δύο λέξεις, ἀλλ' ὡς ἄν τις εἴποι, ταῦτα ἔστω εὔστομα. τοῦτο δέ φησιν ὁ χορὸς κτύπον ἀκούσας ἐπερχομένου τοῦ Φιλοκτήτου, καὶ στένοντος ἐν τῇ πορείᾳ διὰ τὸ ἄλγος. 203. Φωτὸς σύντροφος] φωνῆς τῆς συντραφείσης αὐτῷ. δῆλον δὲ ὅτι κακῆς καὶ οἰμωκτικῆς, ὡς κατὰ τὸ σύνηθες αὐτοῦ τειρομένου.

206. Ἡ

Digitized by Google

τροφὸς ὡς τειρομένου.

Νε. Ἦ που τῆδ' ἢ τῇδε τόπων;

Βάλλει, βάλλει μ' ἐτύμα φθογγά

Του, στίβον κατ' ἀνάγκαν

Ἕρποντος· οὐδέ με λάθει

Βαρεῖα τηλόθεν αὐδὰ τρυσάνωρ.

Διάσημα θροεῖ γάρ

Χο. Ἀλλ' ἔχε τέκνον.

Νε. Λέγ' ὅ, τι.

Χο. Φροντίδας νέας, ὡς οὐκ ἔξ-

εδρος ἀλλ' ἔντοπος ἀνήρ·

Οὐ μολπὰς σύριγγος ἔχων,

Ὡς ποιμὴν ἀγροβότας, ἀλλ' ἤ-

που πταίων ὑπ' ἀνάγκας,

Βοᾷ τηλωπὸν ἰωάν,

Ἢ ναὸς ἄξενον αὐγάζων ὅρμον.

Προβοᾷ γάρ τι δεινόν.

Φι. Ἰὼ ξένοι,

Τίνες ποτ' ἐς γῆν τήνδε ναυτίλῳ πλάτῃ

Κατέσχετ', οὔτ' εὔορμον, οὔτ' οἰκουμένην;

206. Ἦ πυ τῇδε] ἄρα ὧδε ἢ ἐνθάδε. 207. Φθογγά του] φθογγή τινος. 208. Στίβου κατ' ἀνάγκαν] ἔξωθεν προσληπτέον τὴν ἐπί. 210. Τρυσάνωρ] ἐπίπονος, ἡ καταπονοῦσα τὸν ἄνδρα. 211. Διάσημα] φανερά. 214. Φροντίδας νέας] τὸ ἑξῆς, ἔχε φροντίδας νέας. οἷον, καινότερόν τι βούλευσαι, ὃ πρὸς αὐτὸν ἐρεῖς. Οὐκ ἔξεδρος] οὐ μακρὰν, ἀλλ' ἐγγὺς, καὶ

ἐπὶ

Digitized by Google

Familiaris afflicto.
*Ne.* Hinc nunquid, an illinc locorum?
Ferit ferit me vera vox
Alicujus iter durum
Carpentis: neque me latet
Gravis a longè vox flebilis,
Clarè enim admodum sonat.

### ANTISTROPHE III.

*Ch.* Sed sumito, Fili,
*Ne.* Dic quodnam?
*Ch.* Curas novas: quippe non
Procul, sed prope adest vir,
Non cantus tibiæ ferens
Ut pastor agrestis, sed vel
Alicubi offendens *pedem* præ cruciatu
Vociferatur ingenti ululatu,
Aut navis appulsum cernens ad iniquum portum.
Clamat enim atrox quippiam.

### IAMBI.

*Ph.* Ehem Hospites,
Quinam estis qui ad hanc terram nautico remo
Venistis, neque portuosam, neque habitatam?

ἐπὶ τόπου. 214. Οὐ μολπὰν σύριγγος ἔχων] οὐ βοᾷ τερπόμενος σύριγγι ὡς ποιμήν. 215. Ἀλλ' ἤ που πταίων] ἀλλὰ τάχα προσπταίων, προσκόπτων ὑπὸ τῶν βασάνων βοᾷ, ἢ δύσορμον τὸν λιμένα ὁρῶν, προσβοᾷ ἡμῖν μὴ πελάζειν εἰς αὐτόν. Ὅμηρος, Λῆμνον ἀμιχθαλόεσσαν, ἤγουν τὴν ἀπροσόρμιστον.

 229. Ἀπ-

Ποίας πάτρας ἂν ἢ γένους ὑμᾶς ποτε
Τύχοιμ' ἂν εἰπών; σχῆμα μὲν γὰρ Ἑλλάδος
Στολῆς ὑπάρχει προσφιλεστάτης ἐμοί·
Φωνῆς δ' ἀκοῦσαι βούλομαι· καὶ μή μ' ὄκνῳ
Δείσαντες ἐκπλαγῆτ' ἀπηγριωμένον,
Ἀλλ' οἰκτίσαντες ἄνδρα δύστηνον, μόνον
Ἔρημον ὧδε κἄφιλον καλούμενον,
Φωνήσατ', εἴπερ ὡς φίλοι προσήκετε·
Ἀλλ' ἀνταμείψασθ'· οὐ γὰρ εἰκὸς οὔτ' ἐμὲ
Ὑμῶν ἁμαρτεῖν τοῦτό γ', οὔθ' ὑμᾶς ἐμοῦ.—
Νε. Ἀλλ' ὦ ξέν', ἴσθι τοῦτο πρῶτον, οὕνεκα
Ἕλληνές ἐσμεν· τοῦτο γὰρ βούλει μαθεῖν.
Φιλ. Ὦ φίλτατον φώνημα· φεῦ τὸ καὶ λαβεῖν
Πρόσφθεγμα τοιοῦδ' ἀνδρὸς ἐν χρόνῳ μακρῷ.
Τίς σ', ὦ τέκνον, προσέσχε; τίς προσήγαγε
Χρεία; τίς ὁρμή; τίς δ' ἀνέμων ὁ φίλτατος;
Γέγωνέ μοι πᾶν τοῦθ', ὅπως εἰδῶ τίς εἶ.—
Νε. Ἐγὼ γένος μέν εἰμι τῆς περιρρύτου
Σκύρου· πλέω δ' ἐς οἶκον· αὐδῶμαι δὲ παῖς
Ἀχιλλέως, Νεοπτόλεμος· οἶσθ' ἤδη τὸ πᾶν.—
Φιλ. Ὦ φιλτάτου παῖ πατρὸς, ὦ φίλης χθονὸς
Ὦ τοῦ γέροντος θρέμμα Λυκομήδους, τίνι
Στόλῳ προσέσχες τήνδε γῆν πλέων; πόθεν;
Νε. Ἐξ Ἰλίου τοι δῆτα νῦν γε ναυστολῶ.
Φιλ. Πῶς εἶπας; οὐ γὰρ δή σύγ' ἦσθα ναυβάτης

229. Ἀπηγριωμένον] δεῖ γὰρ αὐτὸν ἐξηγριωμένον ὑπονοῆσαι φανῆναι αὐτοῖς τήν τε ὄψιν καὶ τὸ σχῆμα. 237. Φεῦ, καὶ τὸ λαβεῖν] θαυμαστικὸν μετ' ἐκπλήξεως τὸ φεῦ ἐνταῦθα· λείπει δὲ τὸ στερηθῆναι. 239. Προ-

Digitized by Google

Quâ *ex* patriâ, quove vos *ex* genere
Esse dixerim? habitus enim *illum* Græciæ
Refert, charissimæ mihi.
Vocem autèm audire cupio, et ne me metu
Correpti horreatis ità efferatum,
Sed miserti *potiùs* infausti viri, solitarii
Deserti hoc loco, et amicis destituti:
Vocem edite, siquidèm ut amici advenistis.
Respondete, *sodes*. Non enim æquum *est* ut ego
A vobis hoc non impetrem, aut vos *vicissim* a me.
*Ne*. At, O hospes, scito hoc primum, nos
Esse Græcos, hoc enim cupis scire.
*Ph*. O charissima vox! O quale est vel accipere
Alloquium talis hominis perlongo in tempore!
Quis te, O filî, appulit? Quæ adduxit [tissimus?
Necessitas? Quò tendis? quisnam ventorum gra-
Narra mihi hæc omnia, ut sciam quis es.
*Ne*. Ego prognatus sum ex insulâ
Scyro; navigo autèm domum; vocor autèm filius
Achillis, Neoptolemus: jam scis omnia.
*Ph*. O charissimi patris nate, O charæ patriæ,
O senis alumne Lycomedis, quâ
Classe advectus es hanc terram? unde *navigas*?
*Ne*. Ex Ilio sanè nunc quidèm cursus est mihi.
*Ph*. Quid ais? non enim tu quidèm

Προσέσχε] προσορμίσαι ἐποίησεν. 241. Γέγονέ μοι] εἰπέ μοι. Ὅπως εἰδῶ] ἵνα μάθω. 243. Αὐδῶμαι] λέγομαι. 249. Πῶς εἶπας;] θαυμάζων φησίν. ἐπεὶ μὴ εἶδεν αὐτὸν ἐξ ἀρχῆς στρατευσάμενον.

Ἡμῖν κατ' ἀρχὴν τοῦ πρὸς Ἴλιον στόλου.
Νε. Ἦ γὰρ μετέσχες καὶ σὺ τοῦδε τοῦ πόνου;
Φιλ. Ὦ τέκνον, οὐ γὰρ οἶσθά μ', ὅντιν' εἰσορᾷς;
Νε. Πῶς γὰρ κάτοιδ' ὃν εἶδον οὐδεπώποτε;
Φιλ. Οὐδ' οὔνομ', οὐδὲ τῶν ἐμῶν κακῶν κλέος
Ἤσθου ποτ' οὐδὲν οἷς ἐγὼ διωλλύμην;
Νε. Ὡς μηδὲν εἰδότ' ἴσθι μ' ὧν ἀνιστορεῖς.
Φιλ. Ὦ πόλλ' ἐγὼ μοχθηρὸς, ὢ πικρὸς θεοῖς,
Οὗ μηδὲ κληδὼν ὧδ' ἔχοντος οἴκαδε,
Μηδ' Ἑλλάδος γῆς μηδαμοῦ διῆλθέ που,
Ἀλλ' οἱ μὲν ἐκβαλόντες ἀνοσίως ἐμὲ,
Γελῶσι σῖγ' ἔχοντες· ἡ δ' ἐμὴ νόσος
Ἀεὶ τέθηλε, κἀπὶ μεῖζον ἔρχεται.
Ὦ τέκνον, ὦ παῖ πατρὸς οὐ 'ξ Ἀχιλλέως,
Ὅδ' εἰμ' ἐγώ σοι κεῖνος, ὃν κλύεις ἴσως
Τῶν Ἡρακλείων ὄντα δεσπότην ὅπλων,
Ὁ τοῦ Ποίαντος παῖς Φιλοκτήτης· ὃν οἱ
Δισσοὶ στρατηγοὶ χὠ Κεφαλλήνων ἄναξ
Ἔρριψαν αἰσχρῶς ὧδ' ἔρημον, ἀγρίᾳ
Νόσῳ καταφθίνοντα, τῆσδ' ἀνδροφθόρου
Πληγέντ' ἐχίδνης ἀγρίῳ χαράγματι.
Ξὺν ᾗ μ' ἐκεῖνοι, παῖ, προθέντες ἐνθάδε,
Ὤχοντ', ἔρημον, ἡνίκ' ἐκ τῆς ποντίας
Χρύσης κατέσχον δεῦρο ναυβάτῃ στόλῳ.
Τότ' ἄσμενοί μ' ὡς εἶδον ἐκ πολλοῦ σάλου

257. Πικρὸς θεοῖς] ἐχθρός. 260. Ἀλλ' οἱ μὲν] οἱ Ἀτρεΐδαι. 267. Χὠ Κεφαλλήνων ἄναξ] ὁ Ὀδυσσεύς. 270. Ἀγρίῳ χαράγματι] δήγματι. τὸ γὰρ δῆγμα τοῦ ὄφεως μόνον χαράσσει. λέγεται γὰρ

ὡς

Nobiſcum in initio primæ ad Ilium claſſis.
*Ne.* An et tu particeps eras illius laboris?
*Ph.* O nate, neſciſne me, quem intueris? [antè?
*Ne.* Quomodo enim ſcirem, quem vidi nunquàm
*Ph.* Neque nomen, neq. malorum meorum famam
Ullam unquam audîſti, quibus pereo miſer?
*Ne.* Scito me nihil *eorum* noſſe, de quibus rogas.
*Ph.* O nimis ego infelix, et inviſus Deis [mum,
Cujus ne fama quidèm tam miſerè afflicti do-
Nec ullam ullibi Græciæ partem pervenit.
Sed qui ejecerunt huc me impiè [morbus
Rident, ſilentio hæc ſupprimentes, meus autèm
Semper *interim* floruit, et majus incrementum
O nate, puer patre ex Achille, [capit.
Ille ego ſum tibi, quem audiiſti fortaſſe
Herculearum eſſe dominum ſagittarum,
Filius Pœantis Philoctetes, quem
Gemini duces, et ille Cephallenum rex *Ulyſſes*
Abjecere turpitèr ſic deſertum, ſævo
Morbo depereuntem, lethiferæ
Perculſum viperæ atroci morſu.
Cum quâ me *boni* illi, nate, relicto ſolo
Abiere, quando ex maritimâ
Chrysâ huc appulerunt cum claſſe. [jactatione
Tunc læti me, ubi viderunt ex gravi maris

ὡς ἐν Λήμνῳ βουλόμενος ἀναστῆσαι βωμὸν Ἡρακλεῖ παρὰ τὸν αἰγιαλὸν, ὑπὸ ὄφεως ἐπλήγη. 272. Ἐκ τῆς ποντίας] Τῆς παραθαλασσίας. ὅτε ἀπὸ Χρύσης ἦλθον εἰς Λῆμνον. 274. Ἐκ πολλοῦ σάλου] κινήματος, πόνου. 278. Οἱ

Εὕδοντ' ἐπ' ἀκτῆς ἐν κατηρεφεῖ πέτρῳ,
Λιπόντες ᾤχονθ', οἷα φωτὶ δυσμόρῳ
Ῥάκη προθέντες βαιὰ, καί τι καὶ βορᾶς
Ἐπωφέλημα σμικρόν· οἷ' αὐτοῖς τύχοι.
Σὺ δὴ τέκνον, ποίαν μ' ἀνάστασιν δοκεῖς
Αὐτῶν βεβώτων ἐξ ὕπνου στῆναι πότε;
Ποῖ' ἐκδακρῦσαι; ποῖ' ἀποιμῶξαι κακά;
Ὁρῶντα μὲν ναῦς ἃς ἔχων ἐναυστόλουν,
Πάσας βεβώσας, ἄνδρα δ' οὐδέν' ἔντοπον·
Οὐχ ὅστις ἀρκέσειεν, οὐδ' ὅστις νόσῳ
Κάμνοντι συλλάβοιτο· πάντα δὲ σκοπῶν,
Εὕρισκον οὐδὲν πλὴν ἀνιᾶσθαι παρόν·
Τούτου δὲ πολλὴν εὐμάρειαν, ὦ τέκνον.
Ὁ μὲν χρόνος δὴ διὰ χρόνου προὔβαινέ μοι,
Κἄδει τι βαιᾷ τῇδ' ὑπὸ στέγῃ μόνον
Διακονεῖσθαι· γαστρὶ μὲν τὰ σύμφορα
Τόξον τόδ' ἐξηύρισκε, τὰς ὑποπτέρους
Βάλλον πελείας· πρὸς δὲ τοῦθ', ὃ μοι βάλοι
Νευροσπαδὴς ἄτρακτος, αὐτὸς ἂν τάλας
Εἰλυόμην δύστηνος ἐξέλκων πόδα·
Πρὸς τοῦτ' ἂν, εἴ τ' ἔδει τι καὶ ποτὸν λαβεῖν,
Καί που πάγου χυθέντος, οἷα χείματι
Ξύλον τι θραῦσαι, ταῦτ' ἂν ἐξέρπων τάλας
Ἐμηχανώμην· εἶτα πῦρ ἂν οὐ παρῆν,
Ἀλλ' ἐν πέτροισι πέτρον ἐκτρίβων, μόλις

278. Οἷ' αὐτοῖς τύχοι] καταρᾶται. 279. Ἀνάστασιν] ἀνάστασιν λέγει νῦν τὴν ἐξ ὕπνου ἔγερσιν. 287. Τούτου δὲ] τοῦ ἀνιᾶσθαι ἄδειαν καὶ εὐκαιρίαν εὕρισκον πολλήν. 289. Κἄδει] καὶ ἔδει με ἐμαυτῷ ὑπηρετεῖσθαι·

Digitized by Google

Dormientem in littore in cavo ſaxo,
Relicto abierunt, homini ut infauſto *mihi*
Pannis relictis pauculis, et cibi aliquo
Subſidio tenui, qualia illis contingant, *precor.*
Tu verò nate, qualem me ſurrectionem putas
Tunc e ſomno habuiſſe, illi cum abiiſſent?
Qualiter lachrymaſſe? qualia ploraſſe mala?
Cum cernerem naves, quibus huc navigaveram,
Omnes abiiſſe, virumque nullum in loco,
Neq. qui *cibum mihi* miniſtraret, neq. qui morbo
Laboranti opem ferret: omnia autèm contem-
Nil vidi præter dolorem adeſſe, [plans
Hujus autem ingentem copiam, O nate.
Tempus autem jam in tempore proceſſit mihi,
Et oportebat parvâ hâc ſub casâ ſolum [venientia
*Me mihi* miniſtrare *omnia.* Ventri quidèm con-
Arcus hic acquiſivit, alatas [percuſſit
Feriens columbas, et ad hoc, quodcunque mihi
Arcu tenſo ſagitta, ipſe miſer
Reptabam infauſtum trahens pedem.
Deinde ſi quem pòſt oportebat potum ſumere,
Glacie ſolutâ, pariterque hieme
Ligni aliquid frangere, hæc repens ego miſer
Tum machinabar: deinde ignis nullus aderat.
Sed petræ petram allidens vix

τεῖσθαι. 290. Σύμφορα] ἀναγκαῖα. 293. Νευροσπαδὴς] ὁ ἐπισπώμενος τὴν νευράν. διὰ γὰρ τῶν γλυφίδων ἕλκεται. 294. Εἰλυόμην] ἐπορευόμην. εἴλυσις γὰρ ἡ πορεία.

300.

Ἔφην' ἄφαντον φῶς, ὃ καὶ σώζει μ' ἀεί.
Οἰκουμένη γὰρ οὖν στέγη πυρὸς μέτα,
Πάντ' ἐκπορίζει, πλὴν τὸ μὴ νοσεῖν ἐμέ.
Φέρ', ὦ τέκνον, νῦν καὶ τὸ τῆς νήσου μάθῃς.
Ταύτῃ πελάζει ναυβάτης οὐδεὶς ἑκών.
Οὐ γάρ τις ὅρμος ἐστὶν, οὐδ' ὅποι πλέων
Ἐξεμπολήσει κέρδος, ἢ ξενώσεται.
Οὐκ ἐνθάδ' οἱ πλοῖ τοῖσι σώφροσι βροτῶν.
Τάχ' οὖν τις ἄκων ἔσχε, πολλὰ γὰρ τάδε
Ἐν τῷ μακρῷ γένοιτ' ἂν ἀνθρώπων χρόνῳ.
Οὗτοι μ' ὅταν μόλωσιν, ὦ τέκνον, λόγοις
Ἐλεοῦσι μὲν, καί πού τι καὶ βορᾶς μέρος
Προσέδοσαν οἰκτείραντες, ἤ τινα στολήν.
Ἐκεῖνο δ' οὐδεὶς ἡνίκ' ἂν μνησθῶ, θέλει
Σῶσαί μ' ἐς οἴκους· ἀλλ' ἀπόλλυμαι τάλας
Ἔτος τόδ' ἤδη δέκατον ἐν λιμῷ τε καὶ
Κακοῖσι βόσκων τὴν ἀδηφάγον νόσον.
Τοιαῦτ' Ἀτρεῖδαί μ', ἥ τ' Ὀδυσσέως βία
Ὦ παῖ, δεδράκασ'· οἷς Ὀλύμπιοι θεοὶ
Δοῖέν ποτ' αὐτοῖς ἀντίποιν' ἐμοῦ παθεῖν. —
Χο. Ἔοικα κἀγὼ τοῖς ἀφιγμένοις ἴσα
Ξένοις ἐποικτείρειν σε, Ποίαντος τέκνον.
Νε. Ἐγὼ δὲ καὐτὸς τοῖσδε μάρτυς ἐν λόγοις,

300. Ἄφαντον φῶς] ἀπροσδόκητον. καλῶς εἶπεν ἄφαντον. οὐ φαίνεται γὰρ, ἀλλὰ δυνάμει αὐτὸ ἔχει. 301. Οἰκουμένη γὰρ οὖν στέγη] ἀντὶ τοῦ, ἡ οἰκία ἡ μετὰ πυρὸς οὖσα, καλῶς διοικεῖται. 306. Ἐξεμπολήσει] πωλήσει, πραγματεύσεται, ἐμπορεύσεται. Ib. Ἢ ξενώσεται] καταχθήσεται ὡς ξένος. 314. Σῶσαί μ' ἐς οἴκους] ἀποφέρειν εἰς τὴν πατρίδα.

Elicui latens lumen quod hucusque me servat.
Habitata enim casa cum igne
Omnia suppeditat, præter liberationem a morbo.
Age nunc, O nate, et de hâc insulâ disce.
Non enim ullus est portus, nec ubi navigans
Faciet lucrum, aut inveniet hospitia.
Nulla huc navigatio prudentibus hominibus.
Fortasse aliquis invitus appulit, multa enim hujusmodi
In longo tempore accidunt hominibus.
Hi quidem, ubi advenerunt, O filî, sermonibus
Miserentur mei, forte et aliquam cibi partem
Moti misericordiâ dedere, aut vestium aliquid:
Illud autem nemo mihi vel petenti *dare* vult,
Ut domum me reducat. Sed pereo miser
Annum jam decimum fameque et
Malis alens voracem morbum.
Talia Atridæ et Ulyssis violentia
Fecere mihi, quibus Dii Olympii
Dent ut ipsi vicissim paria sustineant *mala.*
*Ch.* Et ego, sicut *alii* qui *huc* advenerunt,
Hospites, misereor tui, Pœantis filî.
*Ne.* Ego verò et ipse hisce testis dictis

δα. 319. Ἀντίποινα] ἀμοιβαῖα. Ἔοικα κἀγὼ] δὴ, κἀγὼ ἐξ ἴσου ἐλεῶ σε τοῖς ἀφιγμένοις ἐνταῦθα. ὥσπερ οἱ ἄλλοι ξένοι (φησὶ) περὶ ὧν λέγεις, οὕτω κἀγώ σε οἰκτείρω. 322. Ἐγὼ δὲ κἀυτὸς] κἀγὼ νῦν μάρτυς εἰμὶ τοῖς ὑπὸ σοῦ λεγομένοις.

Ὡς εἴσ' ἀληθεῖς, οἶδα συντυχὼν κακῶν
Ἀνδρῶν Ἀτρειδῶν, τῆς τ' Ὀδυσσέως βίας.
Φιλ. Ἦ γάρ τι καὶ σὺ τοῖς πανωλέθροις ἔχεις
Ἔγκλημ' Ἀτρείδαις, ὥς τε θυμοῦσθαι, παθών;
Νε. Θυμῷ γένοιτο χεῖρα πληρῶσαί ποτε,
Ἵν' αἱ Μυκῆναι γνοῖεν ἡ Σπάρτη θ' ὅτι
Χ' ἡ Σκῦρος ἀνδρῶν ἀλκίμων μήτηρ ἔφυ.
Φιλ. Εὖ γ' ὦ τέκνον. τίνος γὰρ ὧδε τὸν μέγαν
Χόλον κατ' αὐτῶν ἐγκαλῶν ἐλήλυθας;
Νε. Ὦ παῖ Ποίαντος, ἐξερῶ· μόλις δ' ἐρῶ
Ἅγωγ' ὑπ' αὐτῶν ἐξελωβήθην μολών.
Ἐπεὶ γὰρ ἔσχε μοῖρ' Ἀχιλλέα θανεῖν,
Φιλ. (Οἴμοι, φράσῃς μοι μὴ πέρα, πρὶν ἂν μάθω
Πρῶτον τόδ', εἰ τέθνηχ' ὁ Πηλέως γόνος.)
Νε. Τέθνηκεν ἀνδρὸς οὐδενός, θεοῦ δ' ὕπο
Τοξευτός, ὡς λέγουσιν, ἐκ Φοίβου δαμείς.
Φιλ. Ἀλλ' εὐγενὴς μὲν ὁ κτανών τε χὠ θανών.
Ἀμηχανῶ δὲ πότερον, ὦ τέκνον, τὸ σὸν
Πάθημ' ἐλέγχω πρῶτον, ἢ κεῖνον στένω.
Νε. Οἶμαι μὲν ἀρκεῖν σοί γε καὶ τὰ σ', ὦ τάλας,
Ἀλγήμαθ', ὥς τε μὴ τὰ τῶν πέλας στένειν.
Φιλ. Ὀρθῶς ἔλεξας· τοιγαροῦν τὸ σὸν φράσον
Αὖθις πάλιν μοι πρᾶγμ' ὅτῳ σ' ἐνύβρισαν.
Νε. Ἦλθόν με νηῒ ποικιλοστόλῳ μέτα

323. Ὡς εἴσ' ἀληθεῖς] οἱ σοὶ λόγοι δηλονότι. 324. Ἀνδρῶν Ἀτρειδῶν] καὶ τοῦ Ὀδυσσέως. 327. Θυμῷ γένοιτο] εἴθε γένοιτό μοι ὠργισμένῳ κατ' αὐτῶν, καὶ τὴν δύναμιν ἐνδείξασθαι καὶ τιμωρήσασθαι αὐτούς. 332. Μόλις δ' ἐρῶ] ὑπὸ τῆς ὀργῆς. 339. Ἀλλ' εὐγενὴς] ἀντὶ τοῦ ἀνδρεῖος. ἄγε καὶ γενναῖος ὁ εὐγενής. 341. Ἐλέγχω] κρίνω, ἐρωτῶ. 342. Οἶμαι

μὲν

Quod vera ſint novi, expertus mala
Ab Atridis, Ulyſſiſque inſolentiâ.
*Ph.* Num et tu aliquam in noxios habes
Querimoniam Atridas, ut iraſcare læſus?
*Ne.* Fiat *utinam* ut aliquando expleam hanc iram ma-
Ut Mycenæ intelligant Spartaque [nu,
Scyron quoque virorum fortium matrem eſſe.
*Ph.* Benè ſanè, O filî: ſed quam habens in eos quere-
Tam graviter iratus huc adveniſti? [lam
*Ne.* O filî Pœantis, dicam, et vix tamen dicam
Quas ego ab eis contumelias paſſus ſum.
Nam poſtquam Achilles occidit fato—
*Ph.* (Hei mihi, nequid ultra dicas, priuſquam diſco
Hoc primum, num mortuus eſt Peleï natus *Achilles.*)
*Ne.* Mortuus eſt, a viro nemine cæſus, ſed a Deo,
Ut aiunt, Apollinis arcu domitus.
*Ph.* At generoſus quidèm, occiſorque et cæſus:
Sed dubito an, O filî, tuum
Malum perconter priùs, an illius vicem gemam.
*Ne.* Arbitror quidèm ſat tibi ſaltem eſſe tua, O miſer,
Infortunia, ut ne proximorum mala gemas.
*Ph.* Rectè dixiſti. Quare tuam narra
Iterùm mihi rem, quâ te affecerint injuriâ.
*Ne.* Venere ad me navi variegatâ admodùm,

μὲν] οἶμαι μέν σε ἱκανὸν ἔχειν κακὸν τὴν νόσον. 345. Αὖθις πάλιν μοὶ] τὸ Χ, ὅτι δὶς τὸ αὐτὸ εἶπεν, αὖθις καὶ πάλιν.

ΣΧΟΛ. ΤΡΙΚΛ. 337. Θεῶ δ' ὕπο τοξευτὸς] καὶ Ὅμηρος, Λαιψηροῖσιν ὀλέσθαι Ἀπόλλωνος βελέεσσιν. 346. Ἦλθόν με νηὶ] μετῆλθόν με καὶ μετεπέμψαντο νηί, ἤτοι ἐζήτησαν, ὡς τὸ, μέτειμι τὸν ἄνδρα.

 354. Ἀθαπ-

Digitized by Google

Δῖός τ' Ὀδυσσεὺς, χὠ τροφεὺς τοὐμοῦ πατρὸς,
Λέγοντες, εἴτ' ἀληθὲς, εἴτ' ἄρ' οὖν μάτην,
Ὡς οὐ θέμις γίνοιτ', ἐπεὶ κατέφθιτο
Πατὴρ ἐμὸς, τὰ Πέργαμ' ἄλλον ἢ μ' ἑλεῖν.
Ταῦτ' ὦ ξέν' οὕτως ἐννέποντες, οὐ πολὺν
Χρόνον μ' ἐπέσχον μή με ναυστολεῖν ταχύ.
Μάλιστα μὲν δὴ τοῦ θανόντος ἱμέρῳ,
Ὅπως ἴδοιμ' ἄθαπτον· οὐ γὰρ εἰδόμην.
Ἔπειτα μέντοι χὠ λόγος καλὸς προσῆν,
Εἰ τὰ 'πὶ Τροίᾳ Πέργαμ' αἱρήσοιμ' ἰών.
Ἦν δ' ἦμαρ ἤδη δεύτερον πλέοντί μοι·
Κἀγὼ πικρὸν Σίγειον οὐρίῳ πλάτῃ
Κατηγόμην· καί μ' εὐθὺς ἐν κύκλῳ στρατὸς
Ἐκβάντα πᾶς ἠσπάζετ', ὀμνύντες βλέπειν
Τὸν οὐκέτ' ὄντα, ζῶντ' Ἀχιλλέα πάλιν.
Κεῖνος μὲν οὖν ἔκειτ'· ἐγὼ δ' ὁ δύσμορος
Ἐπεὶ 'δάκρυσα κεῖνον οὐ μακρῷ χρόνῳ,
Ἐλθὼν Ἀτρείδας πρὸς φίλους, ὡς εἰκὸς ἦν,
Τάθ' ὅπλ' ἀπῄτουν τοῦ πατρὸς, τά τ' ἄλλ' ὅσ' ἦν.
Οἱ δ' εἶπον (οἴμοι) τλημονέστατον λόγον,
Ὦ σπέρμ' Ἀχιλλέως, τἄλλα μὲν πάρεστί σοι
Πατρῷ' ἑλέσθαι· τῶν δ' ὅπλων κείνων ἀνὴρ
Ἄλλος κρατύνει νῦν ὁ Λαέρτου γόνος.
Κἀγὼ δακρύσας, εὐθὺς ἐξανίσταμαι
Ὀργῇ βαρείᾳ· καὶ καταλγήσας, λέγω,
Ὦ σχέτλι', ἦ τολμήσατ' ἀντ' ἐμοῦ τινὶ

354. Ἄθαπτον] ζῶντα. 358. Πικρὸν Σίγειον] ἤτοι διὰ τὸν θάνατον τοῦ Ἀχιλλέως, ἢ διὰ τὸ δυσχείμερον τοῦ τόπου. Ib. Οὐρίῳ πλάτῃ]

τῷ

Sacerque Ulyſſes, et *Phœnix* educator mei patris,
Dicentes, verumne, an falſum *neſcio*,
Non fas eſſe, cum jam periit
Pater meus, Pergama alium quàm me capere.
Hæc, O hoſpes, ità dictitantes non diu
Me detinuerunt, quin ſtatim navigarem,
Præcipuè ſanè mortui patris deſiderio
Ut viderem, vivum enim non ante videram.
Præterea et oratio ſanè honeſta aderat,
Eò ſi profectus Trojæ turres caperem.
Jamque dies aderat altera naviganti mihi,
Et ego amarum Sigeum curſu ſecundo
Appuli : et me ſtatim in coronâ exercitus
Egreſſum navi omnis ſalvere juſſit, jurantes ſe videre
Qui non ampliùs ſupererat, vivum Achillem de-
At ille jacebat. Ego verò infelix [nuò.
Ubi eum ploraveram haud diu,
Accedens Atridas ad amicos, ut mihi viſum eſt,
Armaq. repetii patris, et reliqua quæcunq. *illius* erant
Illi verò dixerunt (hei mihi!) verba miſerrima;
O ſate Achillis, cætera quidèm licet tibi
Paterna ſumere, armorum autèm illorum vir
Alius potitur jam Laertæ filius *Ulyſſes*.
Et ego illicò, lachrymis ſuffuſus exurgo
Iracundiâ gravi, et rem indignè ferens dico,
O ſceleſte, ergone audetis alteri

τῷ εὐδίῳ πλῷ. 367. Οἶδ' εἶπον, οἴμοι] διὰ μέσου, τὸ οἴμοι, ἀποδυρόμενος φησίν. 373. Ω σχέτλι'] πρὸς τὸν Ἀγαμέμνονα.

374. Πρὶν

Δοῦναι τὰ τεύχη τἀμὰ πρὶν μαθεῖν ἐμοῦ;
Ὁ δ' εἶπ' Ὀδυσσεύς, πλησίον γὰρ ὢν κύρει,
Ναὶ παῖ, δεδώκασ' ἐνδίκως οὗτοι τάδε.
Ἐγὼ γὰρ αὔτ' ἔσωσα κἀκεῖνον παρών.
Κἀγὼ χολωθεὶς εὐθύς, ἤρασσον κακοῖς
Τοῖς πᾶσιν, οὐδὲν ἐνδεὲς ποιούμενος,
Εἰ τἀμὰ κεῖνος ὅπλ' ἀφαιρήσοιτό με.
Ὁ δ' ἐνθάδ' ἥκων, καίπερ οὐ δύσοργος ὤν,
Δηχθεὶς πρὸς ἃ 'ξήκουσεν, ὧδ' ἠμείψατο,
Οὐκ ἦσθ' ἵν' ἡμεῖς, ἀλλ' ἀπῆσθ' ἵν' οὔ σ' ἔδει.
Καὶ ταῦτ' ἐπειδὴ καὶ λέγεις θρασυστομῶν,
Οὐ μή ποτ' ἐς τὴν Σκῦρον ἐκπλεύσῃς ἔχων.
Τοιαῦτ' ἀκούσας κἀξονειδισθεὶς κακά,
Πλέω πρὸς οἴκους τῶν ἐμῶν τητώμενος,
Πρὸς τοῦ κακίστου κἀκ κακῶν Ὀδυσσέως.
Κοὐκ αἰτιῶμαι κεῖνον ὡς τοὺς ἐν τέλει.
Πόλις γάρ ἐστι πᾶσα τῶν ἡγουμένων,
Στρατός τε σύμπας· οἱ δ' ἀκοσμοῦντες βροτῶν,
Διδασκάλων λόγοισι γίγνονται κακοί.
Λόγος λέλεκται πᾶς· ὁ δ' Ἀτρείδας στυγῶν,
Ἐμοί θ' ὁμοίως καὶ θεοῖς εἴη φίλος. —

374. Πρὶν μαθεῖν ἐμοῦ] ἀντὶ τοῦ, πρὶν ἐμοῦ πυθέσθαι καὶ σχεῖν τὸ ἐνδόσιμον. 378. Ἤρασσον] ἔβαλλον, κατηρώμην, ὕβριζον. 379. Οὐδὲν ἐνδεὲς] οὐδὲν ὕβρεως παραλιμπάνων. 383. Οὐκ ἦσθ' ἵν' ἡμεῖς] τότε (φησὶν) ἡνίκα τοῦ Ἀχιλλέως προεκινδυνεύομεν, οὐ παρῆς ἔνθα ἔδει σε παρεῖναι, ἀλλ' ἀπῆς ὅπου οὐκ ὤφειλες. 385. Ἐκπλεύσῃς ἔχων] λείπει ὅπλα. 389. Κοὐκ αἰτιῶμαι κεῖνον] καὶ οὐ μέμφομαι τοσοῦτον τῷ Ὀδυσ-

σεῖ

Tradere arma, quæ mea ſunt, me inſcio?
Ipſe autèm Ulyſſes dixit, (propè enim erat)
Næ, puer, hi dederunt jure ea *mihi*,
Ego enim præſens ea ſervavi eumque *ſimul*.
Et ego ſtatim irâ incenſus, impetebam *eum* malis
Omnibus, nihil omittens,
Si mea ille arma eriperet mihi.
Ille autèm huc progreſſus, licèt iræ temperans,
Morſus *ſcilicet* auditis, ſic reſpondit,
Non eras, ubi nos; ſed aberas ubi non oportuit [*abeſſe*;
Et hæc quoniam jam dicis ferocitèr,
Nunquam Scyron navigabis *ea tecum* ferens.
His auditis, et turpi laceſſitus probro,
Navigo domum meis ſpoliatus
A peſſimo peſſimiſque orto Ulyſſe.
Nec eum reprendo, quantum ipſos principes:
Urbs enim tota pendet ex principibus [mortales,
Exercituſq. ſimul omnis: qui verò perperàm agunt
Magiſtrorum ſermonibus fiunt mali.
Rem totam dixi; qui vero Atridas odit,
Mihique paritèr et Diis ſit amicus.

σεῖ ὅσον τοῖς περὶ Ἀγαμέμνονα. αὐτοὶ γὰρ πόλιν κρατοῦσι, καὶ ἐν αὐτοῖς ἦν τὸ ἐμὲ τὰ ὅπλα λαβεῖν. 391. Ἀκοσμοῦντες] ἄτακτα ἐργαζόμενοι. οἱ δὲ κακῶς φρονοῦντες, ὥσπερ ὁ Ὀδυσσεὺς κακῶς φρονεῖ, κἀκεῖνον ἐδίδαξαν εἶναι κακόν. ἐπὰν γὰρ οἱ βασιλεῖς κακῶς φρονῶσι, κακῶς δηλονότι καὶ οἱ ὑπήκοοι.

Digitized by Google

Χο. Ὀρεστέρα παμβῶτι Γᾶ,
Μᾶτερ αὐτοῦ Διὸς,
Ἃ τὸν μέγαν Πακτωλὸν εὔχρυσον νέμεις,
Σὲ κἀκεῖ μᾶτερ πό-
τνι' ἐξηυδώμαν,
Ὅτ' ἐς τόνδ' Ἀτρειδᾶν
Ὕβρις πᾶσ' ἐχώρει,
Ὅτε τὰ πάτρια τεύ-
χεα παρεδίδοσαν.
Ἰὼ μάκαιρα ταυρο-
κτόνων λεόντων ἔφε-
δρε, τῷ Λαερτίου
Σέβας ὑπέρτατον.—

Φιλ. Ἔχοντες, ὡς ἔοικε, σύμβολον σαφὲς
Λύπης, πρὸς ἡμᾶς, ὦ ξένοι, πεπλεύκατε.
Καί μοι προσᾴδεθ' ὥστε γινώσκειν, ὅτι
Ταῦτ' ἐξ Ἀτρειδῶν ἔργα κἀξ Ὀδυσσέως.
Ἔξοιδα γάρ νιν παντὸς ἂν λόγου κακοῦ

395. Ὀρεστέρα] ὀρεία. ἡ αὐτὴ δέ ἐστι ἡ Ῥέα καὶ γῆ. ὀρεία δὲ ὅτι ἐν τοῖς ὄρεσι τὰ μυστήρια αὐτῆς ἐπετελεῖτο. Ib. Παμβῶτι γᾶ] πολύτροφε, πάντας τρέφουσα. παρὰ τὸ Ὁμηρικὸν· ζείδωρος ἄρουρα· διὰ δὲ τὸ ταύτην τὴν θεὸν τιμᾶσθαι παρὰ Φρυξὶ, πρὸς αὐτὴν τὸν λόγον ποιεῖται. 396. Μᾶτερ αὐτοῦ Διὸς] ὅτι αὕτη ἐστὶ Ῥέα καὶ γῆ. 397. Ἃ τὸν μέγαν Πακτωλὸν] Πακτωλὸς, ποταμὸς Λυδίας, ἔνθα ἡ Ῥέα τιμᾶται. χρυσᾶ δὲ ψήγματα ἀπὸ τοῦ Τμώλου τοῦ ὄρους διὰ τοῦ Πακτωλοῦ καταφέρεται. λέγει δὲ πρὸς τὴν Ῥέαν. 398. Σὲ κἀκεῖ μᾶτερ] ἤγουν, καὶ τό-
τε



Digitized by Google

### ANTISTROPHICA STROPHE.

*Ch.* O montibus insignis, omnium nutrix Tellus,
Mater ipsius Jovis,
Quæ magnum Pactolum auriferum colis,
Illic quoque *ad te*, Mater
Veneranda, exclamavi,
Ubi huic ab Atridis
Injuria omnis illata est,
Ubi paterna arma
Tradidere
(O beata, taurorum cæsoribus
Leonibus quæ insides)
Laertis filio
Summum honoris insigne.

### IAMBI.

*Ph.* Habentes, ut videtur, argumenta manifesta
Doloris ad nos, O hospites, navigastis,
Et mihi concinitis, quòd arbitramini
Hæc Atridarum *esse* opera et Ulyssis.
Pernovi enim eum, quòd omnibus dictis fallacibus

τι σε ἐπικαλέμην ἢ ἐπικαλεσάμην τιμωρήσασθαι τὺς περὶ Ἀγαμέμνονα, ὅτι προεδίδοσαν τὰ ὅπλα τῦ Ἀχιλλέως· κ) νῦν δὲ καλῶ ἵνα τύτυς τιμωρήσῃς. 402. Ὅτε τὰ πάτρια] τὸ ἑξῆς, ὅτε τὰ πατρικὰ ὅπλα παρεδίδοσαν, τῷ Λαερτίυ υἱῷ δηλονότι. 404. Μάκαιρα ταυροκτόνων λ. ἐπὶ ἅρματος γὰρ λεόντων ὀχεῖται ἡ Ῥέα. 406. Σέβας ὑπέρτατον] ὦ Ῥέα, ἤγυν ἡ ὑπερτάτην τιμὴν ἔχυσα. ἢ νοητέον τῦτο ἐπὶ τῶν ὅπλων. 410. Προσάδετε, συμφωνεῖτε.

 420. Ὁ

Γλώσσῃ θιγοῦσαν, καὶ πανουργίας, ἀφ' ἧς
Μηδὲν δίκαιον ἐς τέλος μέλλει ποιεῖν.
Ἀλλ' οὔτι τοῦτο θαῦμ' ἔμοιγ'· ἀλλ' εἰ παρὼν
Αἴας ὁ μείζων ταῦθ' ὁρῶν ἠνείχετο.
Νε. Οὐκ ἦν ἔτι ζῶν, ὦ ξέν'. οὐ γὰρ ἄν ποτε
Ζῶντός γ' ἐκείνου ταῦτ' ἐσυλήθην ἐγώ.
Φιλ. Πῶς εἶπας; ἀλλ' ἦ χ' οὗτος οἴχεται θανών;
Νε. Ὡς μηκέτ' ὄντα κεῖνον ἐν φάει νόει.
Φιλ. Οἴμοι τάλας· ἀλλ' οὐχ ὁ Τυδέως γόνος,
Οὐδ' οὑ 'μπολητὸς Σισύφου Λαερτίου,
Οὐ μὴ θάνωσι· τούσδε γὰρ μὴ ζῆν ἔδει.
Νε. Οὐ δῆτ'· ἐπίστω τοῦτόγ'· ἀλλὰ καὶ μέγα
Θάλλοντες εἰσὶ νῦν ἐν Ἀργείων στρατῷ.
Φιλ. Τί δ' ὃς παλαιὸς κἀγαθὸς φίλος τ' ἐμὸς,
Νέστωρ ὁ Πύλιος ἐστιν; οὗτος γὰρ τάγε
Κείνων κάκ' ἐξήρυκε βουλεύων σαφῶς.
Νε. Κεῖνός γε πράσσει νῦν κακῶς· ἐπεὶ θανὼν
Ἀντίλοχος, αὐτῷ φροῦδος, ὅσπερ ἦν γόνος.
Φιλ. Οἴμοι, δύ' αὐτὼς δεῖν' ἔλεξας, οἷν ἐγὼ
Ἥκιστ' ἂν ἠθέλησ', ὀλωλότοιν κλύειν·
Φεῦ φεῦ, τί δῆτα δεῖ σκοπεῖν, ὅθ' οἵδε μὲν

421. Ὁ Τυδέως γόνος] σὺν Ὀδυσσεῖ γὰρ αὐτὸν ἐξέβαλε Διομήδης. 422. Σισύφου Λαερτίου] ἐκ Σισύφου γὰρ κύουσα ἡ Ἀντίκλεια ἡ τοῦ Ὀδυσσέως μήτηρ ἐγαμήθη Λαέρτῃ· καὶ διὰ τοῦτο φησιν αὐτὸν ὥσπερ πεπράσθαι, ἐπειδὴ Λαέρτης πολλὰ δοὺς χρήματα, ἠγάγετο τὴν Ἀντίκλειαν. τὸ Χ δὲ, ὅτι πάλιν Λαερτίου κτητικὸν ἀντὶ πρωτοτύπου Λαέρτου. 428. Κείνων κάκ' ἐξήρυκε] γράφεται, κἀξεκήρυξεν. 430. Ὅς περ ἦν μόνος] οἱ μὲν γράφοντες μόνος, παρ' ἱστορίαν φασίν· εἶχε γὰρ καὶ ἄλλους.

οἱ

Et aſtutiis linguam exacuat, quâ
Nihil æqui prorsùs efficit.
Quin hoc nihil miri eſt mihi, id *magis miror* quî præſens
Ajax major hæc cernens paſſus ſit.
*Ne.* Non ampliùs vivebat, O hoſpes; neque enim un-[quam,
Eo vivente, hiſce ſpoliatus fuiſſem.
*Ph.* Quid dicis? an abiit et ille mortuus?
*Ne.* Scito eum non ampliùs intereſſe luci.
*Ph.* Hei mihi miſero! at haud Tydei natus *Di*-[*omedes*,
Nec Laertis, ille a Siſypho divenditus
Moriuntur: hos enim non decebat vivere.
*Ne.* Non ſanè: hoc certò ſcias: ſed et maximè
Jam florent in Argivorum exercitu.
*Ph.* Quid verò, qui vetus et bonus eſt mihi amicus,
*Quid* Neſtor Pylius agit? ille enim hæc
Eorum mala prædixit ſapienter conſulens.
*Ne.* Ille quidem nunc malè affectus eſt, poſtquam mortuus
Antilochus ab eo diſceſſit, qui illi filius erat.
*Ph.* Hei mih! duo ſimùl acerba dixiſti, hos *enim* ego quidem
Minime vellem perditos audire.
Heu, heu! quid jam cogitandum eſt, quando hi

οἱ δὲ γόνος, τῷ ποιητῇ ἀκολουθοῦντες λέγουσιν. 431. Δύ' αὐτὸς δύ' ἔλεξας] γράφεται δύ' αὐτὼ δ' ἐξέδειξας, δυϊκῶς.

ΣΧΟΛ. ΤΡΙΚΛ. 416. Αἴας ὁ μείζων] ἤγουν ὁ Τελαμώνιος. 424. Οὐ δῆτ', ὄπισω τοῦτο] τὸ ὄπισω κατὰ πάθος ἐστίν· ἀπὸ γὰρ τοῦ ὀπίσσω γίνεται ὄπισω κατὰ ἀφαίρεσιν τοῦ Σ, ὡς καὶ ἀπὸ τοῦ ἐτίθεσο τὸ ἐτίθου, καὶ τοῦ ἔθεσο τὸ ἔθου.



Digitized by Google

Τεθνᾶσ'. Ὀδυσσεὺς δ' ἐστὶν αὖ κἀνταῦθ' ἵνα
Χρῆν ἀντὶ τούτων αὐτὸν αὐδᾶσθαι νεκρόν;
Νε. Σοφὸς παλαιστὴς κεῖνος· ἀλλὰ χ' αἱ σοφαὶ
Γνῶμαι Φιλοκτῆτ' ἐμποδίζονται θαμά.
Φιλ. Φέρ' εἰπὲ πρὸς θεῶν· ποῦ γὰρ ἦν ἐνταῦθά σοι
Πάτροκλος, ὅς σοι πατρὸς ἦν τὰ φίλτατα;
Νε. Χ' οὗτος τεθνηκὼς ἦν· λόγῳ δέ σε βραχεῖ
Τοῦτ' ἐκδιδάξω· πόλεμος οὐδέν' ἄνδρ' ἑκὼν
Αἱρεῖ πονηρὸν, ἀλλὰ τοὺς χρηστοὺς ἀεί.
Φιλ. Ξυμμαρτυρῶ σοι· καὶ κατ' αὐτὸ τοῦτό γε,
Ἀναξίου μὲν φωτὸς ἐξερήσομαι,
Γλώσσῃ δὲ δεινοῦ καὶ σοφοῦ· τί νῦν κυρεῖ;
Νε. Ποίου τε τούτου, πλὴν γ' Ὀδυσσέως ἐρεῖς;
Φιλ. Οὐ τοῦτον, εἶπον· ἀλλὰ Θερσίτης τις ἦν,
Ὃς οὐκ ἂν εἵλετ' εἰσάπαξ εἰπεῖν ὅπου
Μηδεὶς ἐῴη· τοῦτον οἶσθ' εἰ ζῶν κυρεῖ;
Νε. Οὐκ εἶδον αὐτὸν, ᾐσθόμην δ' ἔτ' ὄντα νιν.
Φιλ. Ἔμελλ'· ἐπεὶ οὐδέπω κακόν γ' ἀπώλετο.
Ἀλλ' εὖ περιστέλλουσιν αὐτὰ δαίμονες.
Καί πως τὰ μὲν πανοῦργα καὶ παλιντριβῆ,
Χαίρουσ' ἀναστρέφοντες ἐξ ᾅδου, τὰ δὲ
Δίκαια καὶ τὰ χρήστ' ἀποστέλλουσ' ἀεί.
Ποῦ χρὴ τίθεσθαι ταῦτα, ποῦ δ' αἰνεῖν, ὅταν

434. Τεθνᾶσ', Ὀδυσσεὺς δ' ἐστὶν αὖ κἀνταυθ'] ἐν τοῖς ζῶσι. 436. Σοφὸς παλαιστὴς] σοφὸς μέν ἐστιν, ἀλλ' οὐ διόλου ἔσται. αἱ γὰρ τοιαῦται γνῶμαι καταβάλλονται πολλάκις. 448. Ὃς οὐκ ἂν εἵλετο] ἀντὶ τοῦ, ἃ οὐκ ἤθελέ τις εἰς ἅπαξ ἀκοῦσαι, ταῦτα πολλάκις ἔλεγε. 449. Μηδεὶς ἐὰν] γράφεται ἐῴη. 450. Ἠσθόμην δ' ἔτ' ὄντα νιν] τοῦτο παρ' ἱστορίαν. λέγεται γὰρ ὑπὸ Ἀχιλλέως ἀνῃρῆσθαι, καθ' ὃν χρόνον καὶ τὴν

Πεν-

Digitized by Google

Sunt mortui; Ulyſſes verò ſupereſt ibi, ubi
Oportuit pro hiſce ipſum nunciari mortuum?

*Ne.* Prudens ille luctator: ſed et prudentia
Conſilia, Philoctete, impediuntur crebro.

*Ph.* Age dic per Deos, ubinam tunc erat tibi
Patroclus *ille*, qui tuo patri erat chariſſimus?

*Ne.* Et ille mortuus erat: verbiſque te paucis
Hoc edocebo. Bellum neminem hominem lubens
Perimit malum, ſed optimos ſemper.

*Ph.* Aſſentior tibi; et juxta hoc idem *dictum*,
De homine quidèm indigno interrogabo,
Linguâ autèm acri et ſolerti. Quid nunc agit?

*Ne.* An quopiam de alio quàm Ulyſſe rogas?

*Ph.* Non hunc volui. Sed Therſites quidam erat,
Qui optaret plus ſemel dicere, quod quidem
Nemo pateretur ſemel dictum: noſtine hunc, an adhuc vivit?

*Ne.* Non eum vidi, ſed audivi eum ſuperſtitem eſſe.

*Ph.* Sic *ſcilicet* futurum erat: quoniàm nihil adhuc mali periit.
Sed pulchre ea curant Dii:
Et ſi quid malitioſum et fraudulentum eſt,
Id libenter defendunt ab orco,
Juſta verò et proba eò ſemper demittunt.
Quò ſunt hæc locanda? quînam laudare poſſum Deorum facta,

Πειθεσίλειαν ἀνεῖλε· φονευθείσης γὰρ ὑπὸ Ἀχιλλέως τῆς Πειθεσιλείας, ὁ Θερσίτης δόρατι ἔπληξε τὸν ὀφθαλμὸν αὐτῆς· διὸ ὀργισθεὶς ὁ Ἀχιλλεὺς κονδύλοις αὐτὸν ἀνεῖλε. λέγεται καὶ μετὰ θάνατον ἐρασθῆναι αὐτῆς. 145. Ἐπεὶ οὐ] συνίζησις. 453. Καὶ παλιντριβῆ] τετριμμένα τοῖς κακοῖς. 454. Ἀναστρέφοντες ἐξ ᾅδου σώζουσιν ἐξ ᾅδου τοὺς ἐπιτρίπτους καὶ δολερούς. 456. Ταῦτα] τὰ γιγνόμενα.

459. Τὰ

Τὰ θεῖ' ἐπαινῶν, τοὺς θεοὺς εὕρω κακούς;  
Νε. Ἐγὼ μὲν, ὦ γένεθλον Οἰταίου πατρὸς,  
Τολοιπὸν ἤδη τηλόθεν τό, τ' Ἴλιον  
Καὶ τοὺς Ἀτρείδας εἰσορῶν φυλάξομαι.  
Ὅπου γ' ὁ χείρων τἀγαθοῦ μεῖζον σθένει,  
Κἀποφθίνει τὰ χρηστὰ, χὠ δεινὸς κρατεῖ,  
Τούτους ἐγὼ τοὺς ἄνδρας οὐ στέρξω ποτέ.  
Ἀλλ' ἡ πετρία Σκῦρος ἐξαρκοῦσά μοι  
Ἔσται τολοιπὸν, ὥστε τέρπεσθαι δόμῳ.  
Νῦν δ' εἶμι πρὸς ναῦν, καὶ σὺ, Ποίαντος τέκνον,  
Χαῖρ' ὡς μέγιστα, χαῖρε· καί σε δαίμονες  
Νόσου μεταστήσειαν, ὡς αὐτὸς θέλεις.  
Ἡμεῖς δ' ἴωμεν· ὡς ὁπηνίκ' ἂν θεὸς  
Πλοῦν ἡμῖν εἴκῃ, τηνικαῦθ' ὁρμώμεθα—  
Φιλ. Ἤδη τέκνον στέλλεσθε;

Νε. Καιρὸς γὰρ καλεῖ  
Πλοῦν μὴ 'ξ ἀπόπτου μᾶλλον ἢ 'γγύθεν σκοπεῖν.  
Φιλ. Πρός νύν σε πατρὸς πρός τε μητρὸς, ὦ τέκνον,  
Πρός τ', εἴ τι σοι κατ' οἶκόν ἐστι προσφιλὲς,  
Ἱκέτης ἱκνοῦμαι, μὴ λίπῃς μ' οὕτω μόνον  
Ἔρημον ἐν κακοῖσι τοῖς δ' οἵοις ὁρᾷς,  
Ὅσοισί τ' ἐξήκουσας ἐνναίοντά με·  
Ἀλλ' ἐν παρέργῳ θοῦ με. δυσχέρεια μὲν

457. Τὰ θεῖ'] ἔργα δηλονότι· νοσῶν δὲ δυσφημεῖ. 458. Οἰταίου πατρὸς] ὄρος τῆς Τραχῖνος ἡ Οἴτη· Τραχίνιος δὲ ὁ Φιλοκτήτης ἦν, καὶ Μηλιεύς. 461. Ὅπου γ' ὁ χείρων] ὅπου ὁ κακὸς πλέον ἰσχύει. 462. Χὠ δεινὸς κρατεῖ] καὶ ὁ κακὸς νικᾷ τὸν ἀγαθόν. Ἡσίοδος, Βλάπτει δ' ὁ κακὸς τὸν ἀρείονα φῶτα. καὶ Ὅμηρος, Ἐπεὶ τὰ χερείονα νικᾷ. 468.

Μετα-

Cum Deos ipſos invenio malos?
*Ne.* Ego quidem, O nate Œtæi patris *Pæantis*,
In poſterum jam procul Iliumque
Et Atridas intuens cavebo.
Ubi enim deterior bono plus poteſt,
Et pereunt frugifera, et improbus regnat,
Hos ego viros non unquam amavero.
Sed ſaxoſa Scyros ſuffecerit mihi
In poſterum, ut me meæ domi oblectem.
Nunc autem eo ad navem; at tu, Pœantis filî,
Vale quàm maximè, vale; et te Dii
Morbo liberent, ut ipſe vis.
Nos verò abimus, ut, quando Deus
*Secundum* nobis ventum concedit, ilicet *navim* [ſolvamus.
*Ph.* Jamne filî, abire paratis?
*Ne.* Tempus enim monet, [propè.
Diſceſſum ut ſpectemus non procul magis quàm
*Ph.* Nunc *ergo* te per patrem perq. matrem, O filî,
Perque ſiquid tibi domi eſt charum,
Supplex rogo, ne relinquas me ſolum, adeò
Malis in hiſce deſertum, quæ vides,
Quibuſque me inaudiſti cohabitare.
Sed quovis in loco abjice me: moleſtia quidèm

Μεταστήσειαν] ἀπαλλάξειαν. 470 Πλοῦν ἡμῖν εἴκῃ] διδῷ, συγχωρήσῃ. 473. Μᾶλλον ἢ 'γγύθεν] καιρὸς καλεῖ (φησὶν) μᾶλλον ἐκ τοῦ σύνεγγυς, μὴ ἐξ ἀπόπλου τὸν πλοῦν σκοπεῖν, ἤγουν μακρόθεν. 478. Ὅσοισί τ' ἐξήκουσας] κακοῖς δηλονότι. 479 Ἀλλ' ἐν παρέργῳ] ὅ ἐστιν, οὐκ ἐν τετιμημένῳ μέρει τῆς νεὼς με θοῦ, ἀλλ' ὅπῃ βούλει. δηλοῖ δὲ ταῦτα ἐν τοῖς ἑξῆς. 482.

Digitized by Google

(Ἔξοιδα) πολλὴ τοῦδε τοῦ φορήματος.
Ὅμως δὲ τλῆθι· τοῖσι γενναίοισί τοι
Τό, τ' αἰσχρὸν ἐχθρὸν, καὶ τὸ χρηστὸν εὐκλεές.
Σοὶ δ' ἐκλιπόντι τοῦτ', ὄνειδος οὐ καλόν·
Δράσαντι δ' ὦ παῖ, πλεῖστον εὐκλείας γέρας,
Ἐὰν μόλω 'γὼ ζῶν πρὸς Οἰταίαν χθόνα,
Ὅθ' ἡμέρας τοι μόχθος οὐχ ὅλης μιᾶς.
Τόλμησον, ἐμβαλοῦ μ' ὅπη θέλεις ἄγων,
Ἐς ἀντλίαν, ἐς πρῷραν, ἐς πρύμναν θ', ὅποι
Ἥκιστα μέλλω τοὺς ξυνόντας ἀλγυνεῖν.
Νεῦσον πρὸς αὐτοῦ Ζηνὸς ἱκεσίου, τέκνον·
Πείσθητι. προσπίτνω σε γόνασι, καί περ ὢν
Ἀκράτωρ ὁ τλήμων χωλός· ἀλλὰ μή μ' ἀφῇς
Ἔρημον οὕτω χωρὶς ἀνθρώπων στίβου·
Ἀλλ' ἢ πρὸς οἶκον τὸν σὸν ἔκσωσόν μ' ἄγων,
Ἢ πρὸς τὰ χαλκώδοντος Εὐβοίας σταθμά.
Κἀκεῖθεν οὔ μοι μακρὸς εἰς Οἴτην στόλος,
Τραχινίαν τε δειράδα, καὶ τὸν εὔροον
Σπερχειὸν ἔσαι, πατρί μ' ὡς δείξῃς φίλῳ·
Ὃν δὴ παλαιὸν ἐξότου δέδοικ' ἐγὼ
Μή μοι βεβήκοι· πολλὰ γὰρ τοῖς ἱκμένοις
Ἔστελλον αὐτὸς ἱκεσίους πέμπων λιτὰς,
Αὐτόστολον πέμψαντά μ' ἐκσῶσαι δόμοις.

481. Ὅμως δὲ τλῆθι] ὅμως δὲ σῶσόν με κἂν πολλὴ δυσχέρειά ἐστι τῷ πράγματι. γιγνώσκων ὅτι τοῖς εὐγενέσι τὸ αἰσχρὸν ἐχθρόν ἐστι, καὶ τὸ καλὸν ἔνδοξον. 488. Εἰς ἀντλίαν, εἰς πρώραν.] τὸ ἐν παρέργῳ τοῦτο νῦν ἐνεφάνισεν, ὅπερ προείρηκεν, Ἀλλ' ἐν παρέργῳ θοῦ με. 492. Ἀκράτωρ] ἀσθενὴς, κρατεῖν ἐμαυτοῦ μὴ δυνάμενος. 494. Χαλκώδοντος]

Digitized by Google

(Sat ſcio) gravis erit hujus oneris;
Tamèn perfer: Generoſis ſanè
*Omne* turpe eſt odio, et honeſtum decori.
Tibi verò, ſi me reliqueris, hoc erit probrum turpe: [præmium,
Facienti autem *quæ volo*, O filî, ſummum gloriæ
Si vivus ego venero ad Œtæam terram,
Age diei non unius integri onus *ero.*
Aude, injice me in quemvis *locum* abductum,
In ſentinam, in proram, inque puppem, ubi
Minime futurus ſum ſimul navigantibus moleſtus.
Annue per ipſum Jovem ſupplicum vindicem, filî:
Sine te exorem; advolvor ad tua genua, licèt ſim
Infirmus, miſer, claudus: at ne me relinquas
Deſertum adeo, ubi hominum nulla ſunt veſtigia.
Sed vel ad domum tuam ſalvum me abducas,
Vel ad Chalcodontis Eubœæ portum;
Unde non longa mihi ad Œten navigatio,
Trachiniumque jugum, et pulchrè fluentem
Sperchium erit, ut patri me exhibeas meo,
Quem jampridèm metuo ego
Ne a me abierit. Multa enim *huc* venientibus
Mandata dedi ipſe, ſupplices mittens preces,
Ut ipſe nave miſsâ me reduceret domum.

κώδοντος] καὶ Ὅμηρος, Χαλκωδοντιάδης μεγαθύμων ἀρχὸς Ἀβάντων. 501. Ὃν δὴ πάλαι ἂν] δι' ὃν δὴ πρὸ πολλοῦ χρόνου ηὐλαβήθην μὴ τεθνηκὼς ᾖ. 502. Τοῖς ἱγμένοις] ἀντὶ τοῦ διὰ τῶν ἱγμένων καὶ πεπορευμένων· ἐγὼ γὰρ αἰτήσεις ἐποιούμην. ἢ τοῖς ἱγμένοις καὶ ἀφιγμένοις ἐνταῦθα.



Digitized by Google

Ἀλλ' ἢ τέθνηκεν, ἢ τὰ τῶν διακόνων
Ὡς εἰκὸς οἶμαι, τοὐμὸν ἐν σμικρῷ μέρει
Ποιούμενοι, τὸν οἴκαδ' ἤπειγον στόλον.
Νῦν δ' (εἰς σὲ γὰρ πομπόν τε κ' αὐτὸν ἄγγελον
Ἥκω) σὺ σῶσον· σύ μ' ἐλέησον, εἰσορῶν
Ὡς πάντα δεινὰ κἀπικινδύνως βροτοῖς
Κεῖται, παθεῖν μὲν εὖ, παθεῖν δὲ θάτερα.
Χρὴ δ' ἐκτὸς ὄντα πημάτων, τὰ δείν' ὁρᾶν·
Χὤταν τις εὖ ζῇ, τηνικαῦτα τὸν βίον
Σκοπεῖν μάλιστα μὴ διαφθαρεὶς λάθῃ.

Χο. Οἴκτειρ' ἄναξ· πολλῶν δ' ἔλε-
ξεν δυσοίστων πόνων
Ἆθλ', ὅσσα μηδεὶς τῶν ἐμῶν τύχοι φίλων·
Εἰ δὲ πικροὺς ἄναξ,
Ἔχθεις Ἀτρείδας,
Ἐγὼ μὲν τὸ κείνων
Κακὸν τῷδε κέρδος
Μέγα τιθέμενος, ἔν-
θά περ ἐπιμέμονεν,
Ἐπ' εὐστόλου ταχείας
νεὼς πορεύσαιμ' ἂν ἐς
Δόμους, τὰν ἐκ θεῶν

507. Σὺ σῶσον] σῶσόν με, γιγνώσκων τὰ ἀνθρώπινα πράγματα μεταβαλλόμενα. 514. Δυσοίστων] ἀφορήτων, δυσυπομονήτων. 518. Ἐγὼ μὲν τὸ κείνων κακὸν] τὸ ἐκείνους λυπεῖν, τούτῳ κέρδος καὶ ὠφέλειαν μετᾳποιῶν. ἢ τὸ κακὸν τὸ ἀπὸ τῶν Ἀτρειδῶν μετατιθέμενος τῷ Φιλοκτήτῃ.

Sed vel mortuus est, vel ministri
(Ut fieri solet arbitror) mei nullam curam
Habentes, domum redire properârunt. [nuncium
Nunc autèm (ad te enim reductoremque et ipsum
Venio) tu me serva, tu mei miserere, considerans
Quam cuncta atrocia, et in periculo mortalibus
Jaceant, nunc quidèm feliciter agunt, nunc autèm
secùs. [spicere:
Oportet autem nullis afflictum malis, acerba re-
Et cum quis lautè vivit, tunc vitam
Tueri maximè, ne imprudens pereat.

ANTISTROPHE I.

*Ch.* Miserere, O Rex, multorum enim
Recensuit vix tolerabilium laborum
Certamina, quanta nullus O meorum subeat ami-
Si verò acerbos, O Rex, [corum.
Oderis Atridas,
Ego sanè illorum
Malum in hujus lucrum
Ingens convertens,
Quandoquidem *ipse* vehementer cupit,
In instructâ benè et celeri
Nave reducerem
Domum, Deorum

λοκτήτῃ, ἀλλ' εἰς ἀγαθὸν μεταποιῶν, καὶ μεταβάλλων καὶ ἐπανορθῶν. λέγει γὰρ ὅτι, βοηθήσω αὐτῷ ἵνα ἐκείνους λυπήσω, ἐπανορθῶν αὐτῷ τὴν συμφορὰν τὴν ὑπὸ τῶν Ἀτρειδῶν γεγονυῖαν.

Νέμεσιν ἐκφυγών.—

Νε. Ὅρα σὺ μὴ νῦν μέν τις εὐχερὴς παρῇς·
Ὅταν δὲ πλησθῇς τῆς νόσου ξυνουσίᾳ,
Τότ' οὐκέθ' αὑτὸς τοῖς λόγοις τούτοις φανῇς.
Χο. Ἥκιστα· τοῦτ' οὐκ ἔσθ' ὅπως ποτ' εἰς ἐμὲ
Τοὔνειδος ἕξεις ἐνδίκως ὀνειδίσαι.
Νε. Ἀλλ' αἰσχρὰ μέντοι, σοῦ γέ μ' ἐνδεέστερον
Ξένῳ φανῆναι πρὸς τὸ καίριον πονεῖν.
Ἀλλ' εἰ δοκεῖ πλέωμεν, ὁρμάσθω ταχύς.
Χἠ ναῦς γὰρ ἄξει, κοὐκ ἀπαρνηθήσεται.
Μόνον θεοὶ σώζοιεν ἔκ γε τῆσδε γῆς
Ἡμᾶς, ὅποι τ' ἐνθένδε βουλοίμεσθα πλεῖν.
Φιλ. Ὦ φίλτατον μὲν ἦμαρ, ἥδιστος δ' ἀνὴρ,
Φίλοι δὲ ναῦται, πῶς ἂν ὑμὶν ἐμφανὴς
Ἔργῳ γενοίμην ὥς μ' ἔθεσθε προσφιλῆ;
Ἴωμεν, ὦ παῖ, προσκύσαντες τὴν ἔσω
Ἄοικον εἰσοίκησιν, ὥς με καὶ μάθῃς
Ἀφ' ὧν διέζων, ὥς τ' ἔφυν εὐκάρδιος.
Οἶμαι γὰρ οὐδ' ἂν ὄμμασιν μόνην θέαν
Ἄλλον λαβόντα πλὴν ἐμοῦ, τλῆναι τάδε.
Ἐγὼ δ' ἀνάγκῃ προὔμαθον στέργειν τάδε.

531. Ἀλλ' αἰσχρὰ μέντοι] ἀλλ' αἰσχρόν ἐστιν ἐνδεέστερόν σου εἶναί με ἐν τῷ βοηθεῖν τοῖς φίλοις. ἢ οὕτως· αἰσχρόν ἐστιν εἰ ἐνδεέστερόν σου διατεθήσομαι περὶ τὴν εἰς τοὺς ξένους εὐεργεσίαν· οὐ παραιτήσομαι οὖν. 538. Πῶς ἂν ὑμῖν] πῶς ἂν ἀποδοίην τὰς εὐεργεσίας ὑμῖν ὡς ἐφιλήσατέ με; ἢ πῶς ἂν τῷ ἔργῳ εὖ πράξαιμι καὶ τῷ λόγῳ ὑμᾶς; 540. Προσκύσαντες τὴν ἔσω] ἀσπασάμενοι τὴν ἑστίαν. 541. Ἄοικον] δύσοικον, ὥσπερ ἄτυχον, ὁ δυστυχής. 542. Εὐκάρδιος] καρτερικός. 543. Οἶμαι γὰρ] ἐγὼ

Digitized by Google

Vindictam effugiens.

### IAMBI.

*Ne.* Vide tu, ne nunc quidem facilior *æquo* sis;
Ubi verò morbi impletus eris consortio,
Tunc non amplius hisce dictis consentias.
*Ch.* Minimè: non erit unquàm ut id mihi
Culpæ habeas jure objectandum.
*Ne.* At turpe est sanè mihi me inferiorem
Te hospite inveniri, ad opem opportunè fe-
Sed si videtur navigemus; veniat illicò, [rendam.
Navis enim eum vehet, et non denegabitur.
Solùm Dii salvos ducant ex hâc terrâ
Nos, huc quo volumus navigare.
*Ph.* O charissima dies, suavissimus vir,
Charique nautæ, quomodò vobis
Re ostendam, quàm me reddidistis obstrictum?
Eamus, O filî, priùs venerati illam intùs
Habitationem inhabitabilem, ut et scias
Queis vixerim, quámque fuerim animi fortis.
Arbitror enim ne oculis quidèm solum spectacu-
Alium capientem præter me, posse pati hæc. [lum
Ego verò coactus diu didici hæc amare.

ἐγὼ γὰρ ὑπολαμβάνω μηδένα ἄλλον τὴν θέαν τῶν ἐνθάδη ἀνέξειν. πόσῳ μᾶλλον τὴν οἴκησιν; 545. Στέργειν τάδε] γράφεται, σέργειν κακά.

ΣΧΟΛ. ΤΡΙΚΛ. 526. Ὅρα σὺ] ὃν ἡμεῖς εὔκολον, τοῦτον εὐχερῆ λέγουσιν, ὥσπερ καὶ τὸν δύσκολον, δυσχερῆ. ὅρα οὖν (φησὶ) μὴ ταυῦν εὐχερὴς φαινόμενος ἐπὶ τῷ ἀπαγαγεῖν τὸν Φιλοκτήτην, ὕστερον δυσχερὴς γένῃ, ὅτε τῇ συνουσίᾳ τῆς νόσου πλησθῇς ἐν τῇ νηί.

Χο. Ἐπίσχετον, μάθωμεν· ἄνδρε γὰρ δύω,
Ὁ μὲν, νεὼς σῆς ναυβάτης, ὁ δ' ἀλλόθρους,
Χωρεῖτον, ὧν μαθόντες, αὖθις εἴσιτον.

Εμ. Ἀχιλλέως παῖ, τόνδε τὸν ξυνέμπορον,
Ὃς ἦν νεὼς σῆς σὺν δυοῖν ἄλλοιν φύλαξ,
Ἐκέλευσ' ἐμοί σε ποῦ κυρῶν εἴης φράσαι,
Ἐπείπερ ἀντέκυρσα, δοξάζων μὲν οὔ,
Τύχῃ δέ πως πρὸς ταυτὸν ὁρμισθεὶς πέδον.
Πλέων γὰρ ὁ ναύκληρος οὐ πολλῷ στόλῳ
Ἀπ' Ἰλίου πρὸς οἶκον ἐς τὴν εὔβοτρυν
Πεπάρηθον, ὡς ἤκουσα τοὺς ναύτας, ὅτι
Σοὶ πάντες εἶεν οἱ νεναυστοληκότες,
Ἔδοξέ μοι, μὴ σῖγα, πρὶν φράσαιμί σοι,
Τὸν πλοῦν ποιεῖσθαι, προστυχόντι τῶν ἴσων.
Οὐδὲν σύ που κάτοισθα τῶν σαυτοῦ πέρι,
Ἃ τοῖσιν Ἀργείοισιν ἀμφί σ' οὕνεκα
Βουλεύματ' ἐστί· κοὐ μόνον βουλεύματα,
Ἀλλ' ἔργα δρώμεν', οὐκέτ' ἐξαργούμενα —

Νε. Ἀλλ' ἡ χάρις μὲν τῆς προμηθείας, ξένε,
Εἰ μὴ κακὸς πέφυκα, προσφιλὴς μενεῖ.
Φράσον δ' ἅπερ γ' ἔλεξας, ὡς μάθω τί μοι
Νεώτερον βούλευμ' ἀπ' Ἀργείων ἔχεις.

549. Ἀχιλλέως παῖ, τόνδε τὸν ξυνέμπορον] Οὗτος ὁ ἔμπορος διαπέπλασται ὑπὸ Ὀδυσσέως, ναύκληρος, πραγματευτὴς, εἰωθὼς τοῖς Ἕλλησι τὰ ἐπιτήδεια ἐπάγειν. ἔοικε δὲ καὶ οὗτος αὐτὸν διαπλάττεσθαι πραγματευτήν. 552. Δοξάζων μὲν οὔ, τύχῃ δέ πως] ἀντὶ τοῦ, οὐκ ἐπίτηδες ἦλθον ἐνταῦθα, ἀλλὰ πλέων ἐπὶ τὴν πατρίδα, ἰδὼν ὥρμησα. οὐκ οἰόμενος, (φησὶ) συντεύξεσθαι, κατὰ τύχην δέ. 555. Εὔβοτρυν Πεπάρηθον] Πεπ-

Digitized by Google

*Ch*. Manete, diſcamus, viri enim duo,
Hic quidèm navis tuæ ſocius, ille verò alienus
Accedunt, quos cum audieritis, poſtea ingredi-
*Me*. Achillis filî, hunc tuum ſocium, [mini.
Qui erat navis tuæ cum duobus aliis cuſtos,
Juſſi mihi, ubi *locorum* tu eſſes, dicere,
Quandoquidêm incidi in te, non conſultò,
Sed forte fortunâ ad eundem appulſus portum.
Navigans enim cum claſſe non magnâ
Ab Ilio domum ad feracem uvarum
Peparethum, ubi audivi, nautæ
Quod tibi omnes hîc eſſent, [tibi *quædam*)
Viſum eſt mihi non ſilentio (priusquàm dicerem
Præternavigare, ut qui venerim ad pares, *nautas*,
Nihil tu enim noſti de tuis rebus, [*ſcilicet*.
Quæ Argivis de te
Conſilia ſunt, et non ſolùm conſilia,
Sed facta ipſa, nec dilationem habitura.
*Ne*. At gratia *tibi* quidem propter monitionem, hoſ-
Niſi malus ſum, jucunda repoſta erit. [pes,
Dic ergò *clariùs*, quæ modò dixiſti, ut ſciam
Novi conſilii ab Argivis affers. [quid mihi

Πεπάρηθος, δῆμος τῆς Ἀττικῆς, καὶ μία τῶν Κυκλάδων νήσων. 559. Προςτυχόντι τῶν ἴσων] ἀντὶ τοῦ, εὑρόντι τοὺς σοὺς ναύτας τοὺς ἐμοὶ ἴσους, τοὺς τὴν αὐτὴν μοι τέχνην μετερχομένους. ἢ τῶν ἴσων, ἀντὶ τοῦ ἐκ τῶν ἴσων, παραλέλειπται γὰρ ἡ Ἐξ. βούλεται γὰρ λέγειν, ἐκ τῶν ἴσων. 563. Ἐξειργασμένα] ἀναβολὴν ἔχοντα. 564. Ἀλλ' ἡ χάρις μὲν] ἔσται σοὶ χάρις τῆς προμηθείας ὕστερον.

568.

Εμ. Φροῦδοι διώκοντές σε ναυτικῷ στόλῳ,
Φοίνιξ θ' ὁ πρέσβυς, οἵ τε Θησέως κόροι.
Νε. Ὡς ἐκ βίας μ' ἄξοντες, ἢ λόγοις πάλιν;
Εμ. Οὐκ οἶδ'· ἀκούσας δ' ἄγγελος πάρειμί σοι.
Νε. Ἦ ταῦτα δὴ Φοῖνιξ τε χ' οἱ ξυνναυβάται
Οὕτω καθ' ὁρμὴν δρῶσιν Ἀτρειδῶν χάριν;
Εμ. Ὡς ταῦτ' ἐπίσω δρώμεν', οὐ μέλλοντ' ἔτι.
Νε. Πῶς οὖν Ὀδυσσεὺς πρὸς τάδ' οὐκ αὐτάγγελος
Πλεῖν ἦν ἕτοιμος; ἢ φόβος τις εἶργέ νιν;
Εμ. Κεῖνός γ' ἐπ' ἄλλον ἄνδρ', ὁ Τυδέως τε παῖς,
Ἔστελλον ἡνίκ' ἐξανηγόμην ἔσω.
Νε. Πρὸς ποῖον ἂν τόνδ' αὐτὸς οὑ'δυσσεὺς ἔπλει;
Εμ. Ἦν δή τις. ἀλλὰ τόνδε μοι πρῶτον φράσον,
Τίς ἐστιν. ἂν λέγῃς δὲ, μὴ φώνει μέγα.
Νε. Ὅδ' ἔσθ' ὁ κλεινός σοι Φιλοκτήτης ξένε.
Εμ. Μή νύν μ' ἔρῃ τὰ πλείον', ἀλλ' ὅσον τάχος
Ἔκπλει σεαυτὸν ξυλλαβὼν ἐκ τῆσδε γῆς.
Φιλ. Τί φησιν, ὦ παῖ, τί με κατὰ σκότον ποτὲ
Διεμπολᾷ λόγοισι πρός σ' ὁ ναυβάτης;
Νε. Οὐκ οἶδά πω τί φησι· δεῖ δ' αὐτὸν λέγειν
Εἰς φῶς ὃ λέξει πρός σε κἀμὲ, τούς δέ τε.
Εμ. Ὦ σπέρμ' Ἀχιλλέως, μή με διαβάλλῃς στρατῷ,
Λέγονθ' ἃ μὴ δεῖ. πολλ' ἐγὼ κείνων ὕπο

568. Φροῦδοι] ἀφανεῖς. 569. Οἵ τε Θησέως κόροι] Ἀκάμας καὶ Δημοφῶν· ὧν οὐ μέμνηται Ὅμηρος ἐν τῷ καταλόγῳ. 586. Διεμπολᾷ] λάθρα ἀπατᾷ. 589. Μή με διαβάλῃς] μὴ διαβάλῃς με (φησὶ) τῷ τῶν Ἑλλήνων στρατῷ. εὐεργετήθη γὰρ ὑπ' αὐτῶν πολλά. 590. Πόλλ'

ἐγὼ

*Me.* Abiere, qui persequuntur te nauticâ classe,
Phœnixque senex, Theseique filii.
*Ne.* Vine me reducturi, an verbis?
*Me.* Non novi: quod audivi, ejus adsum tibi nuncius.
*Ne.* An ista Phœnixque et nautici socii
Adeò strenuè agunt propter Atridas?
*Me.* Hæc scito facturos nec ampliùs protrahunt *moras.*
*Ne.* Cur ergò Ulysses non ad hæc ipse [prohibuit?
Navigare erat paratus? an metus aliquis illum
*Me.* Ille quidèm ad alium virum, Tydeiq. filius *Dio-*
Navigabant, quando ego solvebam rates. [*medes*
*Ne.* Ad quemnam ipse Ulysses navigabat?
*Me.* Erat aliquis. Sed mihi primùm dic
Hic quis sit, sed altâ voce ne dixeris.
*Ne.* Hic est inclytus ille tibi Philoctetes, hospes.
*Me.* Ne nunc me plura roges, sed quàm ocyssimè
Enaviga et proripe te ex hâc terrâ.
*Ph.* Quid dicit, O filî? quid me in tenebris ità
Vendit obscuris dictis apud te nauta? [dicere
*Ne.* Nondum scio quid dicit: oportet autèm eum
Perspicuè, quod dicet ad me, et te, et hos quoque.
*Me.* O nate Achillis, ne me prodas exercitui, [ab eis
Loquentem, quæ non convenit *eloqui.* multis ego

ἐγὼ κείνων ὕπο] ὑπ' ἐκείνων εὐεργετούμενος, ἀντευεργετῶ αὐτοὺς ὡς δύναται πένης εὐεργετεῖν, δηλονότι ὑπηρετῶν. λέγεται δὲ τὸ πάσχειν καὶ ἐπὶ ἀγαθοῦ.



Digitized by Google

Δρῶν ἀντιπάσχω χρηστά γ', οἷ' ἀνὴρ πένης.
Νε. Ἐγώ 'μ' Ἀτρείδαις δυσμενής· οὗτος δέ μοι
Φίλος μέγιστος, οὕνεκ' Ἀτρείδας στυγεῖ.
Δεῖ δή σ' ἔμοιγ' ἐλθόντα, προσφιλῆ λόγον
Κρύψαι πρὸς ἡμᾶς μηδέν' ὧν ἀκήκοας.
Εμ. Ὅρα τί ποιεῖς, παῖ.
Νε. Σκοπῶ κἀγὼ πάλαι.
Εμ. Σὲ θήσομαι τῶνδ' αἴτιον.
Νε. Ποιοῦ λέγων;
Εμ. Λέγω, 'πὶ τοῦτον ἄνδρε τώδ' ὥσπερ κλύεις,
Ὁ Τυδέως παῖς, ἥτ' Ὀδυσσέως βία,
Διώμοτοι πλέουσιν, ἦ μὴν ἢ λόγῳ
Πείσαντες ἄξειν ἢ πρὸς ἰσχύος κράτος.
Καὶ ταῦτ' Ἀχαιοὶ πάντες ἤκουον σαφῶς
Ὀδυσσέως λέγοντος· οὗτος γὰρ πλέον
Τὸ θάρσος εἶχε θατέρου, δράσειν τάδε. —
Νε. Τίνος δ' Ἀτρεῖδαι τοῦδ' ἄγαν οὕτω χρόνῳ
Τοσῷδ' ἐπεστρέφοντο πράγματος χάριν,
Ὅν τ' εἶχον ἤδη χρόνιον ἐκβεβληκότες;
Τίς ὁ πόθος αὐτοὺς ἵκετ', ἢ θεῶν βία,
Καὶ νέμεσις, οἵπερ ἔργ' ἀμύνουσιν κακά;
Εμ. Ἐγώ σε τοῦτ' (ἴσως γὰρ οὐκ ἀκήκοας)
Πᾶν ἐκδιδάξω· μάντις ἦν τις εὐγενής,

596. Ὅρα τί ποιεῖς, παῖ] ταῦτα πλαγίως νοητέον. 598. Σὲ θήσομαι τῶνδ' αἴτιον] αἴτιόν σε ποιήσω τῶν πραττομένων. 599. Ποιοῦ λέγων] ποιοῦ με αἴτιον ὧν μέλλεις λέγειν; 600. Ἄνδρε τώδε] οὗτοι οἱ ἄνδρες οἵτινες * ἀκούεις. 602. Ἦ μὴν] ὄντως μήν. 606. Τὸ θάρσος εἶχε θατέρου] τοῦ Διομήδους, εὐτολμότερος γὰρ ἦν εἰς τὸ δρᾶσαι ταῦτα. 607. Τίνος δ' Ἀ-

Digitized by Google

Pro meâ operâ beneficiis affectus ſum, ut pauper.
*Ne.* Ego ſum Atridis infenſus: ille autem mihi
Amicus maximus, quia Atridas odit.
Oportet ergò te, cum mei cauſsâ huc veneris,
Celare nos nihil ex iis, quæ audiſti. [gratum
*Me.* Vide quid agis, filî.
*Ne.* Jampridem ego id conſidero.
*Me.* In te hujus rei culpam transferam.
*Ne.* Transfer, modo dic.
*Me.* Dico, ad hunc duo hi viri, quemadmodum audiſti,
Tydei filius *Diomedes*, Ulyſſiſque violentia
Jurati navigant, certi vel verbis
Perſuaſum abducere, vel virium potentiâ.
Et hæc Achivi omnes audierunt clarè
Ulyſſem dicentem: ille enim plus
Audaciæ habuit altero, ad hæc efficienda.
*Ne.* Quam ob rem verò Atridæ hujus adeò longa
Poſt tempora curam gerebant,
Quem jam multò ante ejecerant?
Quod deſiderium eos inceſſit, vel Deorum vis
Et ira, qui opera puniunt mala?
*Me.* Ego te hoc (fortaſſe enim non audiſti)
Omne edocebo: Vates erat quidam nobilis,

δ' Ἀτρεῖδαι] τίνος πράγματος χάριν οὕτω διὰ τοσούτου χρόνου ἐπεστράφησαν καὶ φροντίδα ἐποιήσαντο τοῦ Φιλοκτήτου οἱ Ἀτρεῖδαι, τοῦ πάλαι ἐξ αὐτῶν ἀποβληθέντος; τίς πόθος εἰς τοῦτο αὐτοὺς ἐκίνησεν, ἀπαγαγεῖν αὐτὸν δηλονότι εἰς Τροίαν;

Πριάμου μὲν υἱὸς, ὄνομα δ' ὠνομάζετο
Ἕλενος, ὃν οὗτος νυκτὸς ἐξελθὼν μόνος
Ὁ πάντ' ἀκούων αἰσχρὰ καὶ λωβητ' ἔπη
Δόλιος Ὀδυσσεὺς εἷλε· δέσμιόν τ' ἄγων,
Ἔδειξ' Ἀχαιοῖς ἐς μέσον θήραν καλήν.
Ὅς δὴ τά τ' ἄλλ' αὐτοῖσι πάντ' ἐθέσπισε,
Καὶ τἀπὶ Τροίᾳ Πέργαμ' ὡς οὐ μή ποτε
Πέρσοιεν, εἰ μὴ τόνδε πείσαντες λόγῳ
Ἄγοιντο νήσου τῆσδ' ἐφ' ἧς ναίει τανῦν.
Καὶ ταῦθ' ὅπως ἤκουσεν ὁ Λαέρτου τόκος
Τὸν μάντιν εἰπόντ', εὐθέως ὑπέσχετο
Τὸν ἄνδρ' Ἀχαιοῖς τόνδε δηλώσειν ἄγων.
Οἴοιτο μὲν μάλισθ' ἑκούσιον λαβών·
Εἰ μὴ θέλοι δ', ἄκοντα· καὶ τούτων, κάρα
Τέμνειν ἐφεῖτο τῷ θέλοντι, μὴ τυχών.
Ἤκουσας, ὦ παῖ, πάντα· τὸ σπεύδειν δέ σοι
Καὐτῷ παραινῶ, κεἴ τινος κήδῃ πέρι.

**Φιλ.** Οἴμοι τάλας· ἦ κεῖνος ἡ πᾶσα βλάβη
Ἐμ' εἰς Ἀχαιοὺς ὤμοσεν πείσας στελεῖν;
Πεισθήσομαι γὰρ ὧδε κἀξ ᾅδου θανὼν
Πρὸς φῶς ἀνελθεῖν, ὥσπερ οὑκείνου πατήρ.

**Ἐμ.** Οὐκ οἶδ' ἐγὼ ταῦτ'· ἀλλ' ἐγὼ μὲν εἶμ' ἐπὶ
Ναῦν, σφῷν δ' ὅπως ἄριστα συμφέροι θεός.

616. Ὁ πάντ' ἀκούων αἰσχρὰ] ὁ ὑπὸ πάντων ὑβριζόμενος. 618. Θήραν καλὴν] οὐχ ἁπλῶς εἶπε τὴν θήραν καλὴν, ἀλλὰ διὰ τὴν πόρθησιν τῆς Ἰλίου. αὐτὸς γὰρ ἑρμηνεύει τὸν τρόπον τῆς πορθήσεως. 625. Δηλώσειν] δείξειν. 628. Τέμνειν ἐφεῖτο] ὑπέσχετο, ἐπηγγείλατο. 632. Στελεῖν] πέμψειν. 634. Ὥσπερ οὑκείνου πατὴρ] ὁ Σίσυφος. μέλλων γὰρ

Priami quidèm filius, nomine verò vocatus est
Helenus, quem ille noctu egressus solus,
Ille qui omnia audit turpia et probrosa dicta,
Fraudulentus Ulysses cepit, captivumque ducens
Monstravit Achivis palàm prædam opimam.
Qui et alia ipsis omnia vaticinatus est,
Et ut Trojæ Pergama non unquàm essent
Diruturi, nisi hunc inductum verbis
Abducerent ab hâc insulâ, in quâ nunc habitat.
Idque simul ac audivit Laertæ filius *Ulysses*
Vatem dicere, statim promisit
Virum hunc Achivis adductum ostendere.
Sperat quidèm se maximè volentem accepturum,
Sin renuat, invitum; et hæc si non præstiterit,
Permisit caput cuilibet suum præcidere.
Audiisti, nate, omnia. properè autem abire et te
Ipsum moneo, et siquis alius tibi curæ est.

*Ph.* Hei mihi misero! illene totus scelestus
Me ad Achivos juravit persuasione adducturum?
Nempe sic persuadebor, ut ab inferis mortuus
Ad lucem redeam, quemadmodum illius *rediit*
pater *Sisyphus*.

*Me.* Ego ista nescio: Sed ego quidèm eo ad
Navem, vobis autèm optima conferat Deus.

γὰρ τελευτᾶν παρήγγειλε τῇ γυναικὶ αὐτοῦ, ἄταφον αὐτὸν καταλιπεῖν. ϗ κατελθὼν εἰς ᾅδου τῶν νενομισμένων μὴ τυχὼν, κατηγόρησε τῆς γυναικὸς παρὰ τῷ Ἀϊδωνεῖ. ἠξίου τε ἀνελθεῖν αὖθις, ϗ τὴν γυναῖκα τιμωρήσασθαι. ἀνελθὼν δὲ, οὐκ ἔτι ὑπέστρεψεν, ἕως μετ' ἀνάγκης κατῆλθεν. ἐκ πατρὸς οὖν πανοῦργος ὁ Ὀδυσσεύς.

637.

Digitized by Google

Φιλ. Οὔκουν τάδ', ὦ παῖ, δεινὰ, τὸν Λαερτίου
Ἔμ' ἐλπίσαι πότ' ἂν λόγοισι μαλθακοῖς
Δεῖξαι νεὼς ἄγοντ' ἐν Ἀργείοις μέσοις;
Οὔ· θᾶσσον ἂν τῆς πλεῖστον ἐχθίστης ἐμοὶ
Κλύοιμ' ἐχίδνης, ἥ μ' ἔθηκεν ὧδ' ἄπουν.
Ἀλλ' ἔστ' ἐκείνῳ πάντα λεκτὰ, πάντα δὲ
Τολμητά· καὶ νῦν οἶδ' ὅθ' οὕνεχ' ἵξεται.
Ἀλλ', ὦ τέκνον, χωρῶμεν· ὡς ἡμᾶς πολὺ
Πέλαγος ὁρίζει τῆς Ὀδυσσέως νεώς.
Ἴωμεν· ἤτοι καίριος σπουδὴ, πόνου
Λήξαντος, ὕπνον κἀνάπαυλαν ἤγαγεν—
Νε. Οὐκοῦν ἐπειδὰν πνεῦμα τοὐκ πρώρας ἀγῇ,
Τότε στελοῦμεν· νῦν γὰρ ἀντιοστατεῖ.
Φιλ. Ἀεὶ καλὸς πλοῦς ἔσθ' ὅταν φεύγῃς κακά.
Νε. Οὔκ. ἀλλὰ κἀκείνοισι ταῦτ' ἐναντία.
Φιλ. Οὐκ ἔστι λῃσταῖς πνεῦμ' ἐναντιούμενον,
Ὅταν παρῇ κλέψαι τε χ' ἁρπάσαι βίᾳ.
Νε. Ἀλλ' εἰ δοκεῖ, χωρῶμεν, ἔνδοθεν λαβὼν
Ὅτου σε χρεία καὶ πόθος μάλιστ' ἔχει.
Φιλ. Ἀλλ' ἔστιν ὧν δεῖ, καί περ οὐ πολλῶν ἄπο.
Νε. Τί τοῦθ' ὃ μὴ νεώς γε τῆς ἐμῆς ἔνι;
Φιλ. Φύλλον τί μοι πάρεστιν, ᾧ μάλιστ' ἀεὶ
Κοιμῶ τόδ' ἕλκος, ὥστε πραΰνειν πάνυ.

637. Οὔκουν τάδε] ἀποφατικῶς ἢ ἐρωτηματικῶς. 640. Οὔ· θᾶσσον] τάχιον ἂν πεισθείην τῇ ἐχίδνῃ ἢ τῷ Ὀδυσσεῖ. 647. Ὁρίζει] διΐστησιν. 646. Ἤτοι καίριος σπουδὴ] τὸ ἐγκαίρως σπουδάζειν, ἀνάπαυλαν ἄγει ὕστερον. 648. Τοὐκ πρώρας ἀγῇ] ἤγουν, ἐπὰν παύσηται ὁ ἄνεμος ἐναντιούμενος. 649. Ἀντιοστατεῖ] ἐναντίον πνέει. 651. Οὐκ· ἀλλὰ κ.] μὴ

εὐλα-

*Ph.* Nonne hoc, O filî, acerbum eſt, quòd iſte Laer-
Sperat me unquam verbis mollibus [tis *filius*
Nave abductum oſtendere Achivos inter omnes?
Non *fiet*, citiùs inviſiſſimæ mihi
Auſcultarem viperæ, quæ me reddidit ita claudum.
Sed ille omnia dicit, omniaque
Audet; et nunc ſcio quod hujus gratiâ *alicubi* de-
At, O filî, abeamus, ut nos longè [liteſcit.
Pelagus ſeparet ab Ulyſſis nave.
Eamus, opportuna ſanè feſtinatio, labore
Deſinente, ſomnum et quietem adducere ſolet.
*Ne.* Tunc, cum ventus ſecundus erit,
Navigabimus, nunc enim adverſus ſpirat.
*Ph.* Secunda ſemper navigatio eſt, cum fugis mala.
*Ne.* Ne *metue.* quippe et hæc illis contraria ſunt *fla-*
*Ph.* Non eſt ventus prædonibus contrarius, [*mina.*
Cum furari et rapere vi licet.
*Ne.* Si placet igitur, eamus intus ſumptis,
Quorum tibi opus et deſiderium maximè eſt.
*Ph.* Sunt quibus opus habeo, admodum ex paucis
*Ne.* Quid illud quod non in mea navi ineſt? [licet.
*Ph.* Folium mihi quoddam eſt, quo maximè
Sedare ſoleo hoc ulcus mitigareque admodum.

εὐλαβηθῇς (φησὶ) κἀκείνοις γὰρ τὰ πνεύματα ταῦτα ἐναντία, ἀντὶ τῦ, τὰ ἡμᾶς ὑπέχοντα κἀκείνυς ἐπέχει. πρὸς ὃ ἐπάγει, 652. Οὐκ ἔςι λῃςαῖς] τοῖς γὰρ κακύργοις ὐκ ἔςιν ἐναντίος ὁ ἄνεμος. ἐν τῇ συγχύσει γὰρ μᾶλλον ἰσχύυσι. 657. Τί τῦθ' ὅ] τί ἔχεις ὅπερ ἡ ἐμὴ ναῦς ὐκ ἔχει; ἀντὶ τῦ, ὐδὲν ἡμῖν λείπει. 659. Κοιμᾷ] κατακοιμίζω, πραΰνω. 662.

Νε. Ἀλλ' ἔκφερ' αὐτό· τί γὰρ ἔτ' ἄλλ' ἐρᾷς λαβεῖν;
Φιλ. Οἴμοι, τί τόξων τῶνδ' ἀπημελημένον
Παρερρύηκεν; ὡς λίπω μή τῳ λαβεῖν.
Νε. Ἦ ταῦτα γὰρ τὰ κλεινὰ τόξ' ἃ νῦν ἔχεις;
Φιλ. Ταῦτ'· οὐ γὰρ ἄλλα γ' ἔσθ' ἃ βαστάζω χεροῖν.
Νε. Ἆρ' ἔστιν ὥστε κἀγγύθεν θέαν λαβεῖν,
Καὶ βαστάσαι με, προσκύσαι θ' ὥσπερ θεόν;
Φιλ. Σοί γ', ὦ τέκνον, καὶ τοῦτο, κἄλλο τῶν ἐμῶν
Ὁποῖον ἄν σοι ξυμφέρῃ γενήσεται.
Νε. Καὶ μὴν ἐρῶ γε· τὸν δ' ἔρωθ' οὕτως ἔχω·
Εἴ μοι θέμις, θέλοιμ' ἄν· εἰ δὲ μή, πάρες·
Φιλ. Ὅσιά τε φωνεῖς, ἔστι τ' ὦ τέκνον θέμις,
Ὅς γ' ἡλίου τόδ' εἰσορᾶν ἐμοὶ φάος
Μόνος δέδωκας, ὃς χθόν' Οἰταίαν ἰδεῖν,
Ὃς πατέρα πρέσβυν, ὃς φίλους, ὃς τῶν ἐμῶν
Ἐχθρῶν μ' ἔνερθεν ὄντ' ἀνέστησας πέρα.
Θάρσει· παρέσται ταῦτά σοι καὶ θιγγάνειν,
Καὶ δόντι δοῦναι, κἀξεπεύξασθαι βροτῶν
Ἀρετῆς ἕκατι τῶνδ' ἐπιψαῦσαι μόνον.
Εὐεργετῶν γὰρ κ' αὐτὸς αὔτ' ἐκτησάμην.
Οὐκ ἄχθομαί σ' ἰδών τε καὶ λαβὼν φίλον.
Ὅστις γὰρ εὖ δρᾶν εὖ παθὼν ἐπίσταται,
Παντὸς γένοιτ' ἂν κτήματος κρείσσων φίλος.
Νε. Χωροῖς ἂν εἴσω.

662. Παρερρύηκε] παρεμπέπτωκεν. 674. Ὃς τῶν ἐμῶν ἐχθρῶν] ὃς ἐποίησάς με τῶν ἐμῶν ἐχθρῶν ὑπερέχειν, ὥστε αὐτῶν ἐλάττω κ.
677.

Digitized by Google

*Ne.* Effer ergo illud: nunquid et aliud assumere cupis?
*Ph.* Hei mihi! quid de arcu hoc neglectum
Mente excidit? assumam eum nequis relictum
hic auferat.
*Ne.* An celebrem illum arcum quem nunc habes?
*Ph.* Eundem: non enim alius est quem gero manibus.
*Ne.* Eumne licet mihi contemplari propè,
Et gestare, & osculari tanquam Deum?
*Ph.* Et hoc tibi, O nate, et aliud rerum mearum,
Quod tibi utile sit, continget.
*Ne.* Cupio quidem; sed ea est mea cupido;
Si fas mihi, vellem, sin minus, omitte.
*Ph.* Pia loqueris, et fas est tibi,
Qui solis hoc jubar mihi videre
Solus dedisti, qui terram Œtæam conspicere,
Qui patrem senem, qui amicos, qui meis
Pressum ab inimicis, me superiorem fecisti:
Confide, licet tibi hunc contrectare,
Et danti reddere, et gloriari inter mortales
Virtutis causâ quòd solus attrectaveris:
Beneficiis enim ipse hunc paravi,
Nec gravor si tu quoque videas
Et sumas amicus. Qui enim
Beneficiis affectus vicissim
Benefacere novit, omni thesauro
Præstantior erit amicus.
*Ne.* Ingredere nunc.

677. Καὶ δόντι δοῦναι] ἀντὶ τοῦ, ἀποδοῦναί μοι τῷ δόντι σοι. 679. Εὐεργετῶν γὰρ] αὐτὸς γὰρ ὑφῆψε τὴν πυρὰν τοῦ Ἡρακλέους. 686.

Φιλ. Καί σέ γ' εἰσάξω. τὸ γὰρ
Νοσοῦν ποθεῖ σε ξυμπαραστάτην λαβεῖν.

Χο. Λόγῳ μὲν ἐξήκουσ', ὄπωπα δ' οὐ μάλα,
Τὸν πελάταν λέκτρων
Ποτὲ τοῦ Διὸς Ἰξίονα κατ' ἄμπυκα
Δρομάδα δέσμιον, ὡς
Ἔλαβ' ὁ παγκρατὴς Κρόνου·
Ἄλλον δ' οὔτιν' ἔγω-
γ' οἶδα κλύων, οὐδ' ἐσίδον μοίρᾳ
Τοῦδ' ἐχθίονι συντυχόντα θνατῶν,
Ὃς οὔτ' ἔρξας τίν', οὔτε νοσφίσας,
Ἀλλ' ἴσος ἐν ἴσοις ἀνὴρ,
Ὤλλυθ' ὧδ' ἀναξίως.
Τόδε θαῦμ' ἔχει με,
Πῶς ποτε, πῶς ποτ' ἀμφιπλήκτων
Ῥοθίων μόνος κλύζων, πῶς
Ἄρα πανδάκρυτον οὕτω βιοτὰν κατέσχεν.

Ἵν' αὐτὸς ἦν πρόσουρος, οὐκ ἔχων βάσιν,

686. Λόγῳ μὲν] ἀκούω (φησὶ) τὸ τοῦ Ἰξίονος πάθος ὅτι τροχάζεται, ὃν ἔδησεν ὁ Ζεύς· οὐ μέντοι ἑώρακα μείζονα τῆς Φιλοκτήτου νόσον. πελάτην δὲ αὐτὸν λέγει τῶν λέκτρων τοῦ Διὸς, ὡς πειρᾶν ἐπιχειρήσαντα τὴν ὁμόλεκτρον τοῦ Διὸς Ἥραν. 688. Κατ' ἄμπυκα] κατὰ τροχόν. 689. Δρομάδα δέσμιον] τὸν περιφερόμενον ἐν τῷ δρόμῳ δεδεμένον. 692. Μοίρᾳ τοῦδ'] τύχῃ, δυστυχίᾳ συγκριτικῇ καὶ ἐχθίονι. 694. Οὔτε νοσφίσας] ἀποστερήσας. 695. Ἐν ἴσοις] ἐν δικαίοις. 697.

Τόδε

*Ph*. Et te introducam.

Morbi enim mei aſperitas te miniſtrum accipere cupit.

### ANTISTROPHICA. STROPHE I.

*Ch*. Famâ quidem audivi, non tamen vidi,
Qui lecto olim Jovis inſidias ſtruxit, Ixionem
Ad rotam verſatilem ligatum,
Ut omnipotens Saturni filius cepit;
Alium neminem ego audivi mortalium,
Neque vidi fato pejore implicatum,
Quàm hunc hominem, qui cum
Male nil fecerit, nec quenquam
Fraudarit, verum æquus vir
Vixerit æquiſſimè, perit adeo indigne.
Hoc autem demiror, quo pacto tandem,
Quo pacto, inquam, utrinque alliſis fluctibus
Solus pulſus, quomodo lachrymabilem
Adeo vitam ſuſtentaret.

### ANTISTROPHE I.

Ubi ipſe ventis erat expoſitus, firmum gradum non habens,

Τόδε θαῦμ' ἔχει με] θαυμάζω πῶς ὑπέμεινεν, ἀεὶ κλυζομένην κύμασιν ἔχων καταγωγὴν, καὶ ἔρημον παντάπασιν. 698. Ἀμφιπλήκτων] ἑκατέρωθεν πληττόντων· τὰ γὰρ κύματα κλύζονται κατὰ ἀμφοτέρας ὄχθας τῆς θαλάσσης. 701. Ἵν' αὐτὸς] ὅπου αὐτὸς μόνος ἦν ὑπὸ ἀνέμων βαλλόμενος, ἢ πρὸς ἄνεμον τετραμμένος. Ib. Βάσιν] πόδα. 702. Οὐδέ τιν' ἐγχώρων] λείπει, ἔχων.

Οὐδέ τιν' ἐγχώρων,
Κακογείτονα παρ' ᾧ στόνον ἀντίτυπον
Βαρυβρῶτ' ἀποκλαύ-
σειεν αἱματηρόν· οὐ-
δ' ὃς τὰν θερμοτάταν
Αἱμάδα κηκιομένων ἑλκέων
Ἐνθήρου ποδὸς ἠπίοισι φύλλοις
Κατευνάσειεν, εἴτις ἐμπέσοι
Φορβάδος ἔκ γε γᾶς ἑλεῖν.
Ἕρπει ἄλλοτ' ἄλλα γὰρ,
Τότ' ἂν εἰλυόμενος
Παῖς ἄτερ ὡς φίλας τιθήνας,
Ὅθεν εὐμάρει' ὑπάρχει
Πόρων, ἀνίκ' ἐξανίῃ δακέθυμος ἄτα.—

Οὐ φορβὰν ἱερᾶς
Γᾶς, σπόρον οὐκ ἄλλων
Αἴρων, τῶν νεμόμε-

703. Κακογείτονα] οὐ μόνον ὅπου καλὸν οὐκ εἶχε τινὰ τῶν ἐγχωρίων γείτονα, ἀλλὰ οὐδὲ κακὸν, παρ' οὗ ἀμοιβαῖον λόγον στενάζων ἀκούσειε. τὸ δὲ ἑξῆς οὕτω δεῖ λαβεῖν, οὐδέ τινα ἐγχώρων ἔχων παρ' ᾧ δὴ τὸν αἱματηρὸν αὐτοῦ στόνον ἀποκλαύσειε. τὸ κακογείτονα γὰρ, οὐ πρὸς τοὺς ἐνοικοῦντας, ἀλλ' εἴπερ τις ἐτύγχανεν αὐτῷ συνοικῶν, ὁ τούτου στόνος κακογείτων ἂν ἦν ἐκείνῳ. Ib. Ἀντίτυπον] ἀμοιβαῖον. 705. Οὐδ' ὃς τὰν θερμοτάταν] κατὰ συνεκδοχὴν τὸ ἔχων. οὐδὲ ἔχων τινὰ (φησὶν) ὃς τὴν θερμοτάτην καὶ ἀγρίαν αἱμάδα, ἤτοι τὴν τοῦ αἵματος ῥύσιν ἀναδιδομένην ἐκ τῶν ἑλκῶν τοῦ θηριοδήκτου ποδὸς, ἠπίοις φύλλοις κατευνάσειεν, εἴ τις ἐμπέσοι. 707. Αἱμάδα κηκιομένων ἑλκέων] παρὰ τὸ, — μέλαν δ' ἀνεκήκιεν αἷμα. 708. Φύλλοις κατευνάσειεν] ἀντὶ τοῦ, ὅλως οὐκ ἔχων οὐδὲ ὅστις ἕλοι φύλλον αὐτῷ ἐκ τῆς γῆς, ἢ ὄρνιν τοξευθέντα ὑπὸ Φιλοκτήτου, καὶ πεσόντα εἰς τὴν γῆν. 712. Εἰλυόμενος] κυλιόμενος, χερσὶν ἐπερειδόμε-
ος,

Nec quenquam indigenam,
Nec malum vicinum, apud quem ploraret,
Vehementer edacem
Sanguineum morbum, mutuo gemitu:
Nec qui vehementissimum fluxum
Saucii pedis ulceribus manantem
Lenibus foliis
Sopiret, si quis forte
Incidat qui folium capiat ex terra altrice.
Serpit enim ipse aliàs alio,
Se convolvens
Ut puer chara sine nutrice:
Ubi ut incedere possit via facilis est, quando
Remittit paulùm excrucians animam morbus.

STROPHE II.

Non ex sacra terra cibum,
Nec ullum semen capiens,
Queis vitam producimus

ας, καὶ ἕλκων τὰ σκέλη ὡς νήπιος παῖς ἄνευ τιθήνης τετραποδηδὸν βαδίζων· ὡς αὐτὸς ἐν τοῖς ἀνωτέρω ἔφη, — πρὸς δὲ τοῦθ᾽, ὅ μοι βάλοι Νευροσπαδὴς ἄτρακτος, αὐτὸς ἂν τάλας, Εἰλυόμενος δύστηνος ἐξέλκων πόδα. τὸ δὴ ἑξῆς, τότε γὰρ ἥνικα ἐξανίησι δακέθυμος ἄτα, ἕρπει πόρον ἄλλοτ᾽ ἄλλον εἰλυόμενος, ὥσπερ παῖς ἄνευ φίλης τιθήνης, ὅταν ἂν ὑπάρξῃ αὐτῷ εὐμάρεια πόρων, ἤγουν ὅπου εὐμαρές ἐστιν αὐτῷ πορευθῆναι. οὐ φορβὰν ἱερᾶς γᾶς σπόρον αἴρων, ἤγουν οὐ τροφὴν ἔχων ἐκ τῶν σπερμάτων τῆς γῆς· οὐκ ἄλλο ὃ νεμόμεσθα ἄνδρες ἀλφησταί. τουτέστιν, οὐ Δημητριακὸν καρπὸν, οὐδέ τι τῆς συνήθους ἀνθρώπων διαίτης, ἀλλὰ διὰ τῶν πτηνῶν οἰστῶν, τὴν διὰ τῶν ὀρνέων τροφὴν προσφερόμενος. 714. Ὅθεν εὐμάρεια] ὅπου εὐμαρές ἐστιν αὐτῷ ἀπιέναι. 715. Ἐξανήσιν] ἐκδίδωσι. Ib. Δακέθυμος ἄτα] ἡ νόσος. 717. Γᾶς σπόρον] σῖτον. 718. Τῶν νεμόμεσθα] τουτέστιν ἀφ᾽ ὧν τρεφόμεθα.



Digitized by Google

σθ' ἀνέρες ἀλφησαί·
Πλὴν ἐξ ὠκυβόλων εἴ ποτε τόξων
Πτανῶν, πτανοῖς ἀνύσειε γαστρὶ φορβάν.
Ὦ μελέα ψυχά,
Ὃς μηδ' οἰνοχύτου πώματος ἥ-
σθη δεκέτη χρόνον· λεύσσων δ' ὅπου
Γνοίη στατὸν εἰς ὕδωρ αἰεὶ προσενώμα.—

Νῦν δ' ἀνδρῶν ἀγαθῶν
Παιδὸς ὑπαντήσας,
Εὐδαίμων ἀνύσει,
Καὶ μέγας ἐκ κείνων.
Ὅς νιν ποντοπόρῳ δούρατι, πλήθει
Πολλῶν μηνῶν πατρῴαν ἄγει πρὸς αὐλὰν
Μηλιάδων νυμφᾶν,
Σπερχειοῦ τε παρ' ὄχθαις, ἵν' ὁ χάλ-
κασπις ἀνὴρ θεοῖς πλάθει πᾶσι
Θείῳ πυρὶ παμφαὴς, Οἴτας ὑπὲρ ὄχθων.

Νε. Ἕρπ' εἰ θέλεις· τί δή ποθ' ὧδ' ἐξ οὐδενὸς
Λόγου σιωπᾷς, κἀποπλήκτως ὧδ' ἔχῃ;

720. Πλὴν ἐξ ὠκυβόλων] πτερωτῶν τόξων. ἤτοι, πλὴν εἰ που τοῖς πτηνοῖς βέλεσιν ἐξ ὠκυβόλων τόξων ἀνύσῃ φορβήν. 721. Πτηνῶν] τουτέστιν ὀρνέων· λείπει δὴ ἡ Ἀπὸ, ἵν' ᾖ, ἀπὸ τῶν πτηνῶν. 723. Οἰνοχύτου πώματος ἥσθη] τουτέστιν, οἴνου (περιφραστικῶς) ἐνεπλήσθη, ἢ οὐδὲ οἴνου μετείληφε. ἐπορεύετο δὲ ἀεὶ ἐπὶ στατὸν ὕδωρ. στατὸν δὲ ἢ τὸ ἐξ ὄμβρου συνεστηκὸς ὕδωρ, ἢ πηγαῖον, ἢ λιμναῖον παρὰ τὸ ἠρεμεῖν, καὶ μὴ ὑπὸ ἀνέμων κινεῖσθαι. 725. Προσενώμα] ἑαυτὸν ἐκίνει, ἤγουν ἐπορεύετο. 727. Παιδὸς ὑπαντήσας] τυχὼν Νεοπτολέμου. 728. Εὐδαίμων ἀνύσει.] εὐδαι-

Homines induſtrii :
Præter eum quem ſibi cibum
Ex velocibus telis acquirit, alatas volucres dejiciens.
O miſera anima, quæ toto
Non uſa eſt decennio jucundo vino,
Sed circumſpiciens ſicubi animadvertat
Immotam aquulam, ſemper prorepebat.

### Antistrophe II.

Nunc autem boni viri
Filium nactus
Feliciter aget in poſterum,
Et magnus erit ex illis malis;
Qui ipſum pontivagâ nave
Poſt multos menſes in patriam vehet,
Scilicet ad nymphas Meliadas,
Spercheique ad ripas, ubi Hercules
Divino igne lucens tranſiit ad Deos omnes
Œtes in vertice.

### Trimetri Iambici.

*Ne.* Age, repe, ſi vis; quid tandem ita nullâ
De causâ taces, et quaſi attonitus ſtupes?

εὐδαιμονήσει. τὸ ἑξῆς, εὐδαίμων καὶ μέγας ἀνύσει. 729. Ἐκείνων] λείπει, ἔσαι, τῶν κακῶν δηλονότι. 731. Πατρῴαν ἄγει πρὸς αὐλὰν] εἰς τὴν πατρίδα. 732. Μηλιάδων νυμφᾶν] ἀντὶ τοῦ Τραχινίων. περὶ τὴν Τραχῖνα γὰρ οἱ Μηλιεῖς. 733. Ἵν' ὁ χάλκασπις] ὅπου ὁ ἐκθεωθεὶς ἀνὴρ πελάζεται πᾶσι τοῖς θεοῖς. λέγει δὲ τὸν Ἡρακλέα. 734. Πλάθει πᾶσιν] ἐπιφαίνεται λαμπρὸς ὢν ὡς πῦρ. 736. Ἕρπ' εἰ θέλεις. τί δή ποθ' ὧδ'] τοῦτο φησὶν ὁρῶν τῇ νόσῳ πληττόμενον, καὶ σιωπῶντα.

738.

Φιλ. Ἆ ἆ ἆ ἆ.
Νε. Τί ἐστιν;
Φιλ. Οὐδὲν δεινόν· ἀλλ' ἴθ', ὦ τέκνον.
Νε. Μῶν ἄλγος ἴσχεις τῆς παρεστώσης νόσου;
Φιλ. Οὐ δῆτ' ἔγωγ'· ἀλλ' ἄρτι κουφίζειν δοκῶ.
Ἰὼ θεοί.
Νε. Τί τοὺς θεοὺς οὕτως ἀναστένων καλεῖς;
Φιλ. Σωτῆρας αὐτοὺς ἠπίους θ' ἡμῖν μολεῖν.
Ἆ ἆ ἆ ἆ.
Νε. Τί ποτε πέπονθας; οὐκ ἐρεῖς, ἀλλ' ὧδ' ἔσῃ
Σιγηλός; ἐν κακῷ δέ τῳ φαίνῃ κυρῶν.
Φιλ. Ὄλωλα, τέκνον, κοὐ δυνήσομαι κακὸν
Κρύψαι παρ' ὑμῖν· ἀτταταῖ· διέρχεται,
Διέρχεται δύστηνος· ὦ τάλας ἐγώ.
Ἀπόλωλα, τέκνον, βρύχομαι τέκνον· παπαῖ.
Παπᾶ, παπᾶ, παπᾶ, παπᾶ, παπᾶ, παπαῖ·
Πρὸς θεῶν πρόχειρον εἴ τι σοι, τέκνον, πάρα
Ξίφος χεροῖν, πάταξον εἰς ἄκρον πόδα·
Ἀπάμησον ὡς τάχιστα· μὴ φείσῃ βίου.
Ἴθ', ὦ παῖ.
Νε. Τί δ' ἐστιν οὕτω νεοχμὸν ἐξαίφνης, ὅτου
Τοσήνδ' ἰϋγὴν καὶ στόνον σαυτοῦ ποιεῖς;
Φιλ. Οἶσθ', ὦ τέκνον;

738. Ἆ ἆ ἆ ἆ] τὸ ἆ ἆ φησὶν ὁ Φιλοκτήτης. ἐνοχλεῖ γὰρ αὐτῷ ἡ συνήθης νόσος. θέλει δὲ κρατῆσαι ἑαυτοῦ. διὸ προσποιεῖται ὅταν λέγῃ, Ἀλλ' ἄρτι κουφίζειν δοκῶ. 743. Ἰὼ θεοὶ] ὁ Φιλοκτήτης διὰ τὴν εἰς οἶκον ἀνακομιδὴν ἀπαγορεύει τὰς γιγνομένας ὀδύνας· καὶ λέγει, ἰὼ θεοὶ, ὡς χαίρων διὰ τὸν Νεοπτόλεμον. οὐ δύναται δὲ ἀληθῶς. 746. Ἆ ἆ] ἀναστενάζει λοιπὸν τῆς νόσου πλεοναζούσης. 748. Ἐν κακῷ δέ τῳ φαίνῃ

*Ph.* Ah, ah, ah.

*Ne.* Quid eſt?

*Ph.* Nihil mali; ſed vade, fili.

*Ne.* Morbine præſentis dolorem reprimis?

*Ph.* Non ſane ego, ſed jam videor mihi leviùs habere.
O Dii!

*Ne.* Quid ita gemens Deos invocas?

*Ph.* Vt ſervatores nobiſque propitii veniant.
Ah, ah, ah.

*Ne.* Quid accidit tibi? Non dices? ſed eris ſic
Taciturnus: Videris enim in malo quopiam
Eſſe.

*Ph.* Perii, fili, nec potero malum
Celare hoc a vobis. Perii, fili,
Conficior miſer: Heu mihi,
Papæ, papæ, papæ, per Deos
Si quis tibi in promptu eſt gladius,
Ferito ſummum pedem,
Amputa quàm celerrimè,
Ne meæ peperceris vitæ, age, rogo, O fili.

*Ne.* Quid adeo novi accidit derepente
Quare tam altum clamites,
Et gemitus tantos cieas?

*Ph.* Scis, O nate?

φαίνῃ κυρῶν] ἀντὶ τοῦ ἔοικάς μοι ὀδυνᾶσθαι. 752. Βρύχομαι] ἐσθίομαι, καταναλίσκομαι. 756. Ἀπάμησον] θέρισον, κόψον. 759. Ἰϋγὴν] ὀξεῖαν βοήν. 760. Οἶσθ' ὦ τέκνον] βούλεται μὲν εἰπεῖν τὴν ἐς οἶκον ἀνακομιδὴν· ἐν τῷ λαμβάνων μήπως καταλείψει αὐτὸν ὁ Νεοπτόλεμος. οὐ λέγει δὲ διὰ τὸ πάθος.



Digitized by Google

Νε. Τί ἐστιν;
Φιλ. Οἶσθ' ὦ παῖ;
Νε. Τί σοι;
Φιλ. Οὐκ οἶδα.
Νε. Πῶς οὐκ οἶσθα;
Φιλ. Παππὰ, παππὰ, παῖ.
Νε. Δεινόν γε τοὐπείσαγμα τοῦ νοσήματος.
Φιλ. Δεινὸν γὰρ, οὐδὲ ῥητόν· ἀλλ' οἴκτειρέ με.
Νε. Τί δῆτα δράσω;
Φιλ. Μή με ταρβήσας προδῷς.
Ἥκει γὰρ αὕτη διὰ χρόνου πλάνοις ἴσως
Ὡς ἐξεπλήσθη· φεῦ.
Νε. Ἰὼ δύστηνε σύ.
Δύστηνε δῆτα διὰ πόνων πάντων φανείς·
Βούλει λάβωμαι δῆτα καὶ θίγω τί σου;
Φιλ. Μὴ δῆτα τοῦτό γ'· ἀλλά μοι τὰ τόξ' ἑλὼν
Τάδ' ὥσπερ ᾔτου μ' ἀρτίως, ἕως ἀνῇ
Τὸ πῆμα τοῦτο τῆς νόσου τὸ νῦν παρὸν,
Σῶζ' αὐτὰ, καὶ φύλαττε· λαμβάνει γὰρ οὖν
Ὕπνος μ' ὅταν περ τὸ κακὸν ἐξίῃ τόδε·
Κοὐκ ἔστι λῆξαι πρότερον· ἀλλ' ἐᾷν χρεὼν
Εὔκηλον εὕδειν· ἢν δὲ τῷδε τῷ χρόνῳ
Μόλωσ' ἐκεῖνοι, πρὸς θεῶν ἐφίεμαι
Ἑκόντα μήτ' ἄκοντα, μή τε τῳ τέχνῃ

767. Τοὐπείσαγμα] ἡ ἐπείσοδος, ἡ προσθήκη. 771. Ἥκει γὰρ αὕτη διὰ χρόνου πλάνοις] ὁδοιπορίαις. ἥκει ἡ νόσος ἴσως ὅτε ἐκορέσθη πλανωμένη. ὡς ἐπὶ θηρὸς δὲ ποιεῖται τὸν λόγον. 777. Ἡιτοῦ μ' ἀρτίως] ἠξίωσας, ᾔτεις. Ib. Ἕως ἀνῇ] ἐνδῷ. 779. Σῶζ' αὐτὰ, καὶ φύλασ-

Digitized by Google

*Ne.* Quid eſt ?
*Ph.* Scis, O nate ?
*Ne.* Quid eſt tibi ?
*Ph.* Haud ſcio equidèm.
*Ne.* Et quî neſcias ?
*Ph.* Papæ, papæ, puer.
*Ne.* Gravis profecto eſt hujus morbi acceſſus.
*Ph.* Gravis ſane nec effabilis : at miſerere mei.
*Ne.* Quid ergo faciam ?
*Ph.* Ne me exterritus prodas :
Peſtis enim per intervalla, erronum inſtar,
Abit quando ſaturata eſt. Heu.
*Ne.* O nimis miſer, miſer ſane in omnibus
Doloribus viſus, vin' te prehendam
Atque contingam manu ?
*Ph.* Non hoc volo, ſed hunc cape arcum
Ut prius rogaſti, donec remittat
Se morbi gravis ſævitia, quæ me nunc opprimit:
Cuſtodi eum et ſerva, me enim capit
Somnus, hoc cum malum exierit ;
Nec prius deſino male habere:
Quapropter ſine dormiam tranquillus.
Atque ſi interea loci venerint illi,
Peto abs te per Deos, ne ſponte

φύλασσε] φύλασσε (φησὶν) αὐτὰ τὰ τόξα. ἅμα γὰρ τῷ πάθει τούτῳ ὕπνος μοι ἐπέρχεται. καὶ οὕτω παύομαι τῆς νόσου. 781. Κοὐκ ἔστι λῆξαι] οὐκ ἔστι τῆς ὀδύνης παύσασθαι πρότερον πρὶν κοιμηθῆναι. 783. Μόλωσ' ἐκεῖνοι] οἱ περὶ Ὀδυσσέα.

Κείνοις μεθεῖναι ταῦτα· μὴ σαυτόνθ' ἅμα,
Κἄμ' ὄντα σαυτοῦ πρόστροπον, κτείνας γένῃ.
Νε. Θάρσει· προνοίας οὕνεκ' οὐ δοθήσεται,
Πλὴν σοί τε κἀμοί· ξὺν τύχῃ δὲ πρόσφερε.
Φιλ. Ἰδοὺ δέχου, παῖ, τὸν φθόνον δὲ πρόσκυσον·
Μή σοι γένηται πολύπον' αὐτά· μηδ' ὅπως
Ἐμοί τε καὶ τῷ πρόσθ' ἐμοῦ κεκτημένῳ.
Νε. Ὦ θεοί, γένοιτο ταῦτα νῷν· γένοιτο δὲ
Πλοῦς οὔριός τε καὶ εὐσταλής, ὅποι ποτὲ
Θεὸς δικαιοῖ, χὡ στόλος πορσύνεται.—
Φιλ. Ἀλλ' οὖν δέδοικα μή μ' ἀτελὴς εὐχή, τέκνον.
Στάζει γὰρ αὖ μοι φοίνιον τόδ' ἐκ βυθοῦ
Κηκῖον αἷμα, καί τι προσδοκῶ νέον.
Παπαῖ, φεῦ.
Παπαῖ μάλ'· ὦ πούς, οἷά μ' ἐργάσῃ κακά.
Προσέρπει,
Προσέρχεται τόδ' ἐγγύς· οἴμοι μοι τάλας.
Ἔχετε τὸ πρᾶγμα· μὴ φύγητε μηδαμῇ.
Ἀτταταί.
Ὦ ξένε Κεφαλλήν, εἴθε σοῦ διαμπερὲς
Στέρνων ἔχοιτ' ἄλγησις ἥδε· φεῦ, παπαί.
Παπαῖ μάλ' αὖθις· ὦ διπλοῖ στρατηλάται,
Ἀγάμεμνον, ὦ Μενέλαε, πῶς ἂν ἀντ' ἐμοῦ
Τὸν ἴσον χρόνον τρέφοιτε τήνδε τὴν νόσον;
Ὤ μοι μοι.

786. Πρόστροπον] ἱκέτην. 789. Τὸν φθόνον δὲ πρόσκυσον] ἱλάσκου τὸν φθόνον, ὥστε αὐτὰ μὴ γενέσθαι σοι πολύπονα καὶ πολύστονα, ἤτοι πικρὰ καὶ πολλῶν αἴτια κακῶν. 790. Μὴ δ' ὅπως] μηδ' ὁμοίως. 791.

Τῷ

Digitized by Google

Vel nolens, vel ullis artibus petitus
Illis tela permittas mea,
Ne pariter et te meque ſupplicem tuum perdas.
*Ne.* Bono ſis animo, curam quod attinet ad hanc:
Nemini dabitur præterquam tibi & mihi,
Proinde, quod bene vertat, eum mihi tradito.
*Ph.* Eum accipe, fili, livorem autem adora,
Ne tibi fiat laboris cauſa, ut fuerunt
Mihi Herculique qui tenuit prius.
*Ne.* O Dii, rata hæc nobis ſint, fiatque
Secunda & expedita navigatio, [tendit.
Quo navigare Deus nos juſtum putat claſſiſque
*Ph.* At metuo ne votum hoc ſit irritum, fili.
Manat enim iterum mihi ſanguis ater
Bulliens ex profundo, atque aliquid expecto novi:
Hei mihi! papæ, papæ, iterum, O pes,
Quali me crucias malo, accedit, advenit
Propius, hei mihi miſero!
Habetiſne rem? ne quæſo deſeratis me.
At at a. O hoſpes Cephallenie, utinam hic dolor
In intimis viſceribus hæreat tibi. Hei mihi papæ!
Papæ, oppidò iterum: O gemini exercitûs duces
Agamemnon, O Menelae, quomodo pro me
Aleretis hunc morbum tot annos?
Hei mihi!

Τῷ πρόσθεν ἐμοῦ κεκτημένῳ] τῷ Ἡρακλεῖ δηλονότι. 797. Κηκῖον αἷμα] ἀναῤῥέον, ἀναδιδόμενον. Ὅμηρος, πολὺς δ' ἀνεκήκιεν ἱδρώς. 804. Ὦ ξένε Κεφαλλὴν, ὦ Ὀδυσσεῦ. 808. Τρέφοιτε] λάβοιτε ἀντὶ ἐμοῦ. 813.

Ὦ θάνατε, θάνατε, πῶς ἀεὶ καλούμενος
Οὕτω κατ᾽ ἦμαρ, οὐ δύνῃ μολεῖν ποτέ;
Ὦ τέκνον, ὦ γενναῖον, ἀλλὰ συλλαβὼν
Τῷ Λημνίῳ τῷδ᾽ ἀνακαλουμένῳ πυρὶ,
Ἔμπρησον, ὦ γενναῖε· κἀγώ τοι ποτὲ
Τὸν τοῦ Διὸς παῖδ᾽ ἀντὶ τῶνδε τῶν ὅπλων
Ἃ νῦν σὺ σώζεις, τοῦτ᾽ ἐπηξίωσα δρᾷν.
Τί φῄς, παῖ;
Τί φῄς; τί σιγᾷς; ποῦ ποτ᾽ ὢν τέκνον κυρεῖς;—

Νε. Ἀλγῶ πάλαι δὴ τἀπὶ σοὶ στένων κακά.

Φιλ. Ἀλλ᾽, ὦ τέκνον, καὶ θάρσος ἴσχ᾽ ὡς ἥδε μοι
Ὀξεῖα φοιτᾷ, καὶ ταχεῖ᾽ ἀπέρχεται·
Ἀλλ᾽ ἀντιάζω μή με καταλίπῃς μόνον.

Νε. Θάρσει· μενοῦμεν·

Φιλ. Ἦ μενεῖς;

Νε. Σαφῶς φρόνει.

Φιλ. Οὐ μήν σ᾽ ἔνορκόν γ᾽ ἀξιῶ θέσθαι, τέκνον.

Νε. Ὡς οὐ θέμις γ᾽ ἐμοί ᾽στι σοῦ μολεῖν ἄτερ.

Φιλ. Ἔμβαλλε χειρὸς πίστιν.

Νε. Ἐμβάλλω μενεῖν.

Φιλ. Ἐκεῖσε νῦν μ᾽ ἐκεῖσε.

Νε. Ποῖ λέγεις;

Φιλ. Ἄνω.

813. Τῷ Λημνίῳ τῷ δ᾽ ἀνακαλουμένῳ πυρὶ] παρακαλοῦντι· ἐν γὰρ Λήμνῳ ἐργαστήριον τοῦ Ἡφαίστου, ἔνθα καὶ κρατῆρες πυρός. 814. Κἀγώ τοι ποτὲ] ὅτε τὴν πυρὰν τοῦ Ἡρακλέους ἀνῆψα. 816. Τοῦτ᾽ ἐπηξίωσα δρᾷν] τὸ κατακαῦσαι. 818. Τί σιγᾷς] λαβὼν γὰρ τὰ τόξα ὁ Νεοπτόλεμος,

Digitized by Google

O mors, mors, quomodo toties vocata
Quotidie, nunquam potes ad me venire?
O fili, O generoſe, quin me acceptum
Lemnio hoc vocato igne
Incende, O generoſe, ut & ego quoque
Hiſce pro armis quæ tu ſervas,
Eandem operam dedi Jovis filio.
Quid dicis, nate? Quid dicis? Quid taces?
Ubi gentium es, O nate?

*Ne.* Doleo tuam vicem, propter tua gemens mala.

*Ph.* At, O fili, bono ſis animo: morbus enim hic mihi
Acute accedit, et celeriter abit;
Sed obſecro te ne me relinquas ſolum.

*Ne.* Confide, manebimus.

*Ph.* Verene manebis?

*Ne.* Id liquido ſcias.

*Ph.* Non ſane auſim te
Jurejurando obligare, fili.

*Ne.* Certe non fas eſt mihi abſque te decedere.

*Ph.* Cedo ergo manum fidei pignus.

*Ne.* Do manum me manſurum.

*Ph.* Illuc rogo, illuc me duc.

*Ne.* Quorſum inquis?

*Ph.* Surſum.

Πόλεμος, ἐσιώπησεν, ἀπορῶν τί ἄρα ποιήσειεν. 827. Σὺ μολεῖν] πρὸς τὴν ὑπόθεσιν καὶ τοῦτό φησι, διὰ τὸ τὸν χρησμὸν εἶναι, μηδέτερον αὐτῶν μόνον πορθήσειν τὸ Ἴλιον. 830. Ἐκεῖσε νῦν μ' ἐκεῖσε] διὰ τοῦτο νῦν ἔοικεν ὁ Φιλοκτήτης παραφρονεῖν ὑπὸ τῆς νόσου.

Νε. Τί παραφρονεῖς αὖ; τί τὸν ἄνω λεύσσεις κύκλον;
Φιλ. Μέθες, μέθες με.
Νε. Ποῖ μεθῶ;
Φιλ. Μέθες ποτέ.
Νε. Οὔ φημ' ἐάσειν.
Φιλ. Ἀπό μ' ὀλεῖς, ἢν προσθίγῃς.
Νε. Καὶ δὴ μεθίημί σε· τί δὴ πλέον φρονεῖς;
Φιλ. Ὦ γαῖα, δέξαι θανάσιμόν μ' ὅπως ἔχω.
Τὸ γὰρ κακὸν τόδ' οὐκέτ' ὀρθοῦσθαί μ' ἐᾷ.
Νε. Τὸν ἄνδρ' ἔοικεν ὕπνος οὐ μακροῦ χρόνου
Ἕξειν· κάρα γὰρ ὑπτιάζεται τόδε.
Ἱδρώς γέ τοι νιν πᾶν καταστάζει δέμας.
Μέλαινά τ' ἄκρου τις παρέῤῥωγεν ποδὸς
Αἱμοῤῥαγὴς φλέψ· ἀλλ' ἐάσωμεν φίλοι
Ἕκηλον αὐτὸν, ὡς ἂν εἰς ὕπνον πέσῃ.

Χο. Ὕπν' ὀδυνας ἀδαὴς, ὕπνε δ' ἀλγέων,
Εὐαὴς ἡμῖν ἔλθοις·
Εὐαίων εὐαίων ἄναξ.
Ὄμμασι δ' ἀντέχοις
Τάνδ' αἴγλαν, ἃ τέταται τανῦν.
Ἴθι ἴθι μοι παιών.

833. Τί παραφρονεῖς] τί ἐκτὸς φρενῶν γέγονας; 839. Τί δὴ πλέον φρονεῖς;] ἀντὶ τοῦ ὠφελιμώτερον ἐμοῦ. 841. Τὸ γὰρ κακὸν τόδ'] εἰπὼν τάδε, ἐκοιμήθη. 842. Τὸν ἄνδρ' ἔοικεν] ἔοικεν ὁ ὕπνος τὸν ἄνδρα οὐκ εἰς μακρὰν καταλήψεσθαι. 843. Ὑπτιάζεται] κλίνεται, ἢ ὀπίσω ῥίπτεται. 845. Μέλαινά τ' ἄκρου] νεῦρον ῥαγὲν ἀπὸ τοῦ ἄκρου ποδὸς, αἷμα ἀνίησιν. 848. Ὑπν' ὀδύνας ἀδαὴς, ὕπν' ἀλγέων] ἀπὸ κοινοῦ τὸ ἀδαής. ἤγουν ἄπειρε. 849. Εὐαὴς ἡμῖν

*Ne.* Quid iterum desipis?
Quid supernum contueris circulum?
*Ph.* Omitte, omitte me.
*Ne.* Quò omittam?
*Ph.* Omitte, quæso.
*Ne.* Non omittam.
*Ph.* Enecabis me, si attigeris.
*Ne.* Jam verò te omitto.
Numquid amplius sapis? [sum affectus:
*Ph.* O terra, cape me moribundum, quemadmodum
Malum enim hoc non ampliùs me erigi sinit.
*Ne.* Somnus hominem brevi tempore videtur cap-
Caput enim jam resupinat, [turus;
Sudorque totum per corpus manat,
Nigraque in extremo pede dirupta est vena;
Unde sanguis profluit; sed sinamus, amici, ut in somnum incidat.

## EPODICA. STROPHE I.

*Ch.* Somne doloris, Somne ærumnarum ignare,
Feliciter aspirans nobis venias,
Vitam qui nobis dulcem facis, rex placidissime.
Et ob oculos detineas hanc lucem quæ jam præ-
Age veni, medice Somne. [tenditur:

ἡμῖν ἔλθοις] εὔπνυς. 850. Εὐαίων, ὦ ἄναξ] εὐμενὴς, καλῶς ἄγων ἡμῖν τὸν αἰῶνα. 851. Ὄμμασι δ' ἀντέχοις] ἐναντιωθείης τοῖς ὄμμασι τῦ Φιλοκτήτυ, κ̀ μὴ ἐάσῃς αὐτὸν βλέψαι νῦν. ἢ κάτεχε τὸ ὁρατικὸν, ὅπερ νῦν ἥπλωται κ̀ διαχεῖται τῇ τῦ ὕπνυ ἀχλύϊ. τὴν τοιαύτην δὲ αἴγλην, ἥτις νῦν τέταται ἐν τοῖς ὄμμασιν, ἀντέχοις. λέγει δὲ τὸν ὕπνον ἐὸν γινόμενον αὐτῷ παραχρῆμα· ὡς ἐςὶν αὐτῷ αἴγλη κ̀ φῶς.

Ὦ τέκνον, ὅρα γε ποῦ στάσῃ,
Ποῖ δὲ βάσῃ· πῶς δέ μοι
Τἀντεῦθεν φροντίδος ὁρᾷς·
Ἤδη πρὸς τί μένομεν πράσσειν;
Καιρός τοι πάντων γνώμαν ἴσχων,
Πολὺ παρὰ πόδας κράτος ἄρνυται.—

Νε. Ἀλλ᾽ ὅδε μὲν κλύει οὐδέν· ἐγὼ δ᾽ ὁρῶ οὕνεκα θήραν
Τήνδ᾽ ἁλίως ἔχομεν τόξων, δίχα τοῦδε πλέοντες.
Τοῦδε γὰρ ὁ στέφανος, τοῦτον θεὸς εἶπε κομίζειν.
Κομπεῖν δ᾽ ἔργ᾽ ἀτελῆ σὺν ψεύδεσιν αἰσχρὸν ὄνειδος.

Χο. Ἀλλά, τέκνον, τάδε μὲν θεὸς ὄψεται·
Ὧν δ᾽ ἂν ἀμείβῃ σύ μ᾽ αὖθις,
Βαιάν μοι, βαιάν, ὦ τέκνον,
Πέμπε λόγων φάμαν·
Ὡς πάντων ἐν νόσῳ εὐδρακὴς
Ὕπνος ἄϋπνος λεύσσειν.
Ἀλλ᾽ ὅ,τι δύναιο μάκιστον·
Κεῖνό μοι γὰρ μέγιστον·
Λάθρ᾽ ἐξιδοῦ ὅ,τι πράξεις·

854. Ὅρα γε ποῦ στάσῃ] ποῦ στήσῃ τῆς γνώμης. ποίας γνώμης κρατήσεις. 856. Τἀντεῦθεν φροντίδος] τὰ μετὰ ταῦτα πῶς ὁρᾷς φροντίδος; ἀντὶ τοῦ ἐννοεῖς; 858. Καιρός τοι πάντων] ἐπεὶ ἡ μετὰ εὐκαιρίας σύνεσις, πολλῶν ἐπικράτειαν ἐν ἑτοίμῳ καρποῦται. ὁ δὲ νοῦς, ὁ καιρὸς ἐκεῖνα· ὁ εὐκαίρως ἐπιτελούμενος, πολλοῖς εὐδοξίαν σύνεργος παρέχει. 859. Παρὰ πόδα] πλησίον. Ib. Ἄρνυται] ἀποφέρεται. 861. Τήνδ᾽ ἁλίως ἔχομεν] τὴν θήραν τῶν τόξων μάτην ἔχομεν, χωρὶς τοῦ Φιλοκτήτου πλέοντες. 863. Κομπεῖν δ᾽ ἔς᾽ ἀτελῆ] εὐτελῆ· ἐννοεῖν δὲ καὶ ἐπαγγέλλεσθαι ἀτέλεστα ψευδόμενον, αἰσχρὸν ὄνειδος. 866. Βαιάν μοι, βαιάν]

μικρὰ

Digitized by Google

Tu verò, O fili, vide ubi conſiſtas,
Et quo proficiſcaris: quid verò mihi curas
Quod poſtea eſt agendum.
Quid enim jam expectamus ampliùs?
Occaſio enim omnia complectens conſilia
Magnam vim in promptu habet.

### Hexametri.

*Ne.* Ille jam nihil audit, ſed, ego video, fruſtra cepimus
Hanc prædam arcuum, ſi ſine hoc abierimus:
Corona enim ei debetur, hunc Apollo juſſit adducere.
Mendaciter verò jactare quæ non feceris, turpiſſimum eſt opprobrium.

### Antistrophe.

*Ch.* Hæc, nate, quidem Deus ipſe viderit.
Quæ verò mihi pòſt reſponderis,
Ea parva, O fili, parva voce
Reſponde, ægrotantibus enim omnibus
Brevis eſſe ſolet ſomnus,
Rurſus ut evigilent; ſed maximum
Quod ſit, hoc enim mihi maximum,
Id occultè, quantum potes, diſpice.

μικρὰ καὶ ἥμερά μοι (φησὶ) διαλέγου, μήποτε ἀκούσῃ κοιμώμενος. 868. Ὡς πάντων ἐν νόσῳ εὐδερκὴς] ἀντὶ τοῦ ἐλαφρὸς πρὸς τὸ ταχὺ ἀναβλέψαι καὶ ἐγερθῆναι· ἀντὶ τοῦ, ὁ ὕπνος ἐν τῇ νόσῳ ταχέως βλέπει. ἢ ὁ νοσῶν ταχέως ἐκ τοῦ ὕπνου ἀνίσταται. λείπει δὲ τὸ Ὡς. βούλεται γὰρ λέγειν, ὥστε λεύσσειν ὁ ὕπνος. ὡς μὴ ἡγεῖσθαι τοῦτον ὕπνον ὑπάρχειν. 870. Μάκιστον] μέγιστον, εὐσύμβουλον, σύμφορον. 872. Ἐξιδοῦ ὅ, τι πράξεις] θεώρησον, βλέψον, πλεονάζει γὰρ ἡ Ἐξ. καθάπερ καὶ ἐπὶ τούτων, ἀνεπίστασο, ἀντὶ τοῦ ἐπίστασο, καὶ ἐνδίδαξον, ἀντὶ τοῦ δίδαξον.

Οἶσθ', οἶσθ' ὅντιν' αὐδῶμαι, εἰ ταύταν
Τούτῳ γνώμαν ἴσχεις, μάλα τοι
Ἄπορα πυκινοῖς ἐνιδεῖν πάθη. —

Οὖρός τοι, τέκνον, οὖρος, ἀνὴρ
Ὅδ' ἀνόμματος,
Οὐδ' ἔχων ἀρωγὰν ἐκτέταται νύχιος,
Ἀλέης ὕπνος ἐσθλὸς,
Οὐ χερὸς, οὐ ποδὸς,
Οὔτινος ἄρχων.
Ἀλλ' ὥς τις Ἀΐδᾳ παρακείμενος
Ὁρᾷ, βλέπει, καίρια φθέγγει.
Τὸ δ' ἁλώσιμον ἐμᾷ φροντίδι, παῖ,
Πόνος ὁ μὴ φοβῶν κράτιστος. —

Νε. Σιγᾶν κελεύω, μηδ' ἀφεστάναι φρενῶν,
Κινεῖ γὰρ ἀνὴρ ὄμμα, κἀνάγει κάρα.
Φιλ. Ὦ φέγγος ὕπνου διάδοχον, τό, τ' ἐλπίδων
Ἄπιστον οἰκούρημα τῶνδε τῶν ξένων.
Οὐ γάρ ποτ', ὦ παῖ, τοῦτ' ἂν ἐξηύχησ' ἐγώ,

873. Οἶσθ', οἶσθ' ὅντιν' αὐδ'.] γινώσκεις (φησὶν) ὃν αὐδῶμαι, ἀντὶ τοῦ αὐδῶ καὶ λέγω, ἤγουν τὸν Φιλοκτήτην· διὰ μέσου τοῦτο εἴρηκε. Ib. Εἰ ταυτὰν τούτῳ γνώμαν] εἰ τὴν αὐτὴν τῷ Ὀδυσσεῖ γνώμην ἔχεις, ὥστε αἱρεῖν τὸν Φιλοκτήτην ἐντεῦθεν. 875. Ἄπορα πυκινοῖς] ἄπορόν ἐστι καὶ τοῖς συνετοῖς ἰδεῖν τὸ πρακτέον. λείπει ἐν ὁ Και. γράφεται πυκινοῖσιν, ἐν ἢ ἐν πράγμασι πυκινοῖς συνιδεῖν τὸ πρακτέον, ἄπορον. 876. Οὖρός τοι] ἐπιτήδειος καιρός. 877. Ἀνόμματος] ἐστέρηται τοῦ φωτός. 878. Ἐκτέταται νύχιος] ἐπεὶ κατὰ νύκτα καθεύδουσι. παρὰ τοῦτο δὲ εἶπε τὴν ἡμέραν νύκτα ἄγων, ἀντὶ τοῦ κοιμώμενος. τὸ δὲ ἑξῆς, ἐκτέταται νύχιος, οὐ χε-

Nosti, nosti quem dico, si ejusdem fortè sententiæ es
Cum illo, difficile est admodum etiam sapientibus
Providere quid agendum.

## EPODOS.

Nunc tibi felix, nate, aspirat ventus.
Vir ille nihil videt, et nil habens auxilii
Seu noctu extentus jacet:
Somnus in aprico commodus est.
Non manûs, non pedis, nullius membri dominus,
Sed velut quidam Orco demissus
En videt, cernit, commodè loquitur:
Qui verò capi possit, curæ committas meæ, O fili:
Labor enim absque metu periculi est optimus.

## IAMBI.

*Ne.* Tacere te jubeo, nec animo deficere:
Movet enim homo oculos, erigitque caput.
*Ph.* O lux somni vices excipiens, ultraque spem omnem
Fidelis horum hospitum custodia!
Non enim unquam, O nate, hoc ego credere potui

ὐδὲ χειρὸς, ὐ ποδὸς ἄρχων, ἀντὶ τῦ, ὐδὲν τῶν μελῶν δυνάμενος κινεῖν, ὐδὲ
βλέπειν. 879. Ἀλέης ὕπνος ἐσθλὸς] ὁ ὕπνος ὁ ὑπὸ τὴν ἀλέαν καὶ τὴν
θέρμην τῦ ἡλίυ ἀγαθός. Ἢ, ἀλεὴς θερμός· παρὰ τὴν ἀλέαν. καὶ Ὅμη-
ρος· ἀλέη τε γένηται. τῦτο δὲ, καθ᾽ ἑαυτόν φησιν, ὕπνος σύμφορος
ἡμῖν ἐςὶ καὶ τοῖς πράγμασιν ἀγαθός. 884. Τὸ δ᾽ ἁλώσιμον] τὸ δὲ
ἀγρεύσιμον, ὅ ἐςι πέρας, ἀνάκειται τῇ ἐμῇ φροντίδι. 885. Πόνος ὁ
μὴ φοβῶν] ὁ πόνος ὁ μὴ φόβον ἔχων, κράτιςός ἐςιν, ὁ μὴ πρὸς κίνδυνον
ὁρῶν. ἀντὶ τῦ, μὴ φοβηθῶμεν. πάντα γὰρ ἀνύσομεν. 889. Οἰκύρημα]
φυλακὴ, παρυσία. 890. Ἐξηύχησ᾽ ἐγὼ] ἐνόμισα.



Digitized by Google

Τλῆναι σ' ἐλεινῶς ὧδε τἀμὰ πήματα
Μεῖναι παρόντα καὶ ξυνωφελοῦντά μοι.
Οὔκουν Ἀτρεῖδαι τοῦτ' ἔτλησαν εὐπόρως
Οὕτως ἐνεγκεῖν οἱ 'γαθοὶ στρατηλάται.
Ἀλλ' εὐγενὴς γὰρ ἡ φύσις, κἀξ εὐγενῶν,
Ὦ τέκνον, ἡ σή· πάντα ταῦτ' ἐν εὐχερεῖ
Ἔθου, βοῆς τε καὶ δυσοσμίας γέμων.
Καὶ νῦν ἐπειδὴ τοῦδε τοῦ κακοῦ δοκεῖ
Λήθη τις εἶναι κἀνάπαυλα δή, τέκνον,
Σύ μ' αὐτὸς ἆρον, σύ με κατάστησον, τέκνον,
Ἵν' ἡνίκ' ἂν κόπος μ' ἀπαλλάξῃ ποτέ,
Ὁρμώμεθ' ἐς ναῦν, μηδ' ἐπίσχωμεν τὸ πλεῖν. —
Νε. Ἀλλ' ἥδομαι μέν σ' εἰσιδὼν παρ' ἐλπίδα,
Ἀνώδυνον βλέποντα κἀμπνέοντ' ἔτι·
Ὡς οὐκέτ' ὄντος γὰρ τὰ συμβόλαιά σου
Πρὸς τὰς παρούσας ξυμφορὰς ἐφαίνετο.
Νῦν δ' αἶρε σαυτόν· εἰ δέ σοι μᾶλλον φίλον,
Οἴσουσί σ' οἵδε· τοῦ πόνου γὰρ οὐκ ὄκνος.
Ἐπείπερ οὕτω σοί τ' ἔδοξ' ἐμοί τε δρᾶν. —
Φιλ. Αἰνῶ τάδ', ὦ παῖ, καί μ' ἔπαιρ' ὥσπερ νοεῖς.
Τούτους δ' ἔασον, μὴ βαρυνθῶσιν κακῇ
Ὀσμῇ πρὸ τοῦ δέοντος· οὐ 'πὶ νηὶ γὰρ
Ἅλις πόνος τούτοισι συνναίειν ἐμοί. —
Νε. Ἔστω τάδ'· ἀλλ' ἵστω τε, κἀυτὸς ἀντέχου.

896. Ἐν εὐχερεῖ] ἐν ἐλαχίστῳ. 897. Καὶ δυσοσμίας γέμων] πεπληρωμένος σὺ τῆς ἐμῆς δυσοσμίας. 898. Ἐπειδὴ τοῦδε τοῦ κακοῦ] ὅταν με ὁ κάματος ἀφῇ. 901. Κόπος μ' ἀπαλλάξῃ] γράφεται κόπου

Digitized by Google

Te laturum ita misericorditer meas calamitates,
Præstò manentem, & opem mihi ferentem.
Næ, Atridæ, boni illi duces,
Non hoc sustinuissent ita facilè pati.
Sed generosa est natura & ex generosis tua,
O fili; omnia hæc levia duxisti,
Clamoribusque & fœtore licet plenus *meo*.
Et nunc quando hujus mali videtur
Aliqua esse oblivio, & requies, fili,
Tu me ipse tolle, tu me in pedes statue, fili,
Ut cum languor hic me reliquerit,
Eamus ad navem, nec inhibeamus cursum.

*Ne.* Gaudeo equidem te videre supra spem
Doloris vacuum, videntem, et adhuc spirantem:
Tui enim tanquam mortui signa
Præter præsentes calamitates apparebant.
Nunc ergo temet erige; quòd si tibi magis placet,
Portabunt te isti, hic enim labor non gravabit illos,
Quando tibi mihique ita visum est facerent.

*Ph.* Laudo hæc, O nate, & me erige, ut cogitas;
Hos autem missos face, ne graventur tetro
Odore ante *tempus* debitum; in navi enim
Sat erit his molestiæ mecum unà habitare.

*Ne.* Sit ita: sed consiste et teipsum sustine.

που ἀπαλλαχθῶμεν. 912. Οὐ 'πὶ νηῒ γὰρ] ἱκανὸς αὐτοῖς γενήσεται ὁ πόνος, ἐπὶ τῇ νηῒ συνεῖναί μοι, καὶ συνναίειν ἐμοί. 914. 'Αλλ' ἵςω τε κ' αὐτὸς] ἵςασο καὶ ἀντιλαμβάνε.

Φιλ. Θάρσει· τὸ τοι συνῆθες ὀρθώσει μ' ἔθος.
Νε. Παπαῖ· τί δῆτα δρῶμ' ἐγὼ τοὐνθένδε γε;
Φιλ. Τί δ' ἐστιν, ὦ παῖ; ποῖ ποτ' ἐξέβης λόγῳ;
Νε. Οὐκ οἶδ' ὅποι χρὴ τἄπορον τρέπειν ἔπος.
Φιλ. Ἀπορεῖς δὲ τοῦ σύ; μὴ λέγ', ὦ τέκνον, τάδε.
Νε. Ἀλλ' ἐνθάδ' ἤδη τοῦδε τοῦ πάθους κυρῶ.
Φιλ. Οὐ δή σε δυσχέρεια τοῦ νοσήματος
    Ἔπεισεν, ὥστε μή μ' ἄγειν ναύτην ἔτι;
Νε. Ἅπαντα δυσχέρεια, τὴν αὑτοῦ φύσιν
    Ὅταν λιπών τις, δρᾷ τὰ μὴ προσεικότα.
Φιλ. Ἀλλ' οὐδὲν ἔξω τοῦ φυτεύσαντος σύ γε
    Δρᾷς, οὐδὲ φωνεῖς, ἐσθλὸν ἄνδρ' ἐπωφελῶν.
Νε. Αἰσχρὸς φανοῦμαι· τοῦτ' ἀνιῶμαι πάλαι.
Φιλ. Οὔκουν ἐν οἷς γε δρᾷς· ἐν οἷς δ' αὐδᾷς, ὀκνῶ.
Νε. Ὦ Ζεῦ, τί δράσω; δεύτερον ληφθῶ κακὸς,
    Κρύπτων θ' ἃ μὴ δεῖ, καὶ λέγων αἴσχιστ' ἐπῶν;
Φιλ. Ἀνὴρ ὅδ', εἰ μὴ 'γὼ κακὸς γνώμην ἔφυν,
    Προδούς μ' ἔοικε, κἀκλιπὼν, τὸν πλοῦν στελεῖν.
Νε. Λιπὼν μὲν οὐκ ἔγωγε· λυπηρῶς δὲ μὴ
    Πέμπω σε μᾶλλον, τοῦτ' ἀνιῶμαι πάλαι.
Φιλ. Τί ποτε λέγεις, ὦ τέκνον; ὡς οὐ μανθάνω.
Νε. Οὐδέν σε κρύψω· δεῖ γὰρ ἐς Τροίαν σε πλεῖν

916. Παπαί. τί δῆτα] ὁ Νεοπτόλεμος ἀδημονεῖ, ἐννοῶν ὅτι μέλλει ἐξαπατᾷν τὸν Φιλοκτήτην, καὶ ἀπάγειν εἰς τὴν Ἴλιον, οὐκ ἐπὶ τὴν πατρίδα, καθάπερ ἐπηγγείλατο. 920. Πάθους κυρῶ] πάθους λέγει, τῆς ἀπορίας. ἀντὶ τοῦ ἀπορῶν τυγχάνω. 922. Μή μ' ἄγειν ναύτην ἔτι;] ἐρωτηματικῶς. 923. Τὴν αὑτοῦ φύσιν. λείπει ἡ εἰς, ἵν' ᾖ, εἰς τὴν ἑαυτοῦ φύσιν. ἐκείνην (φησὶ) λέγω δυσχέρειαν προσεῖναι τῷ ἀνδρὶ τῷ ξένον τι τῆς ἑαυτοῦ διανοίας διαπραττομένῳ. 925. Τοῦ φυτεύσαντος

I

*Ph.* Bono sis animo: Solito me meo more erigam.
*Ne.* Papæ! Quid ergo post hæc ego faciam?
*Ph.* Quidnam est, O fili? quod tibi verbum excidit?
*Ne.* Nescio quo dubiam oportet convertere sententiam.
*Ph.* Quid autem tu dubitas? ne istud dicas, nate.
*Ne.* At nunc hoc ipso laboro incommodo.
*Ph.* Anne te difficultas morbi [navitam?
Eò impulit, ut me non ampliùs velis abducere
*Ne.* Omnia difficilia sunt, quoties ingenio suo
Quispiam relicto facere parat sibi incongrua.
*Ph.* At nihil patre alienum tuo tu quidem
Facis, neque dicis, bonum si adjuveris virum.
*Ne.* Turpis deprendar. Hoc me macerat jamdiu.
*Ph.* Non hercle in his quæ facis; in his autem quæ loqueris, dubito.
*Ne.* O Jupiter, quid agam? iterum deprendar malus,
Celandoque ea quæ non convenit, et verba dicendo turpissima. [videtur?
*Ph.* Vir hic (nisi ego male conjicio) proditurus me
Meque hic relicto navigationem adornaturus.
*Ne.* Non ego sane, te relicto, abiturus sum: sed ne cum
Te tuo abducam, hoc me macerat magis. [dolore
*Ph.* Quid tandem dicis, O fili? non enim ista intelligo.
*Ne.* Nihil te celabo, oportet enim ad Trojam te navigare

τεύσαντος] τῦ Ἀχιλλέως. 928. Ἐν οἷς γε δρᾷς] ἐν οἷς πράττεις, ὐκ ἔσῃ αἰσχρός· ἐν οἷς δὲ φωνεῖς, φοβῦμαι. 930. Κρύπτων θ' ἃ μὴ δεῖ] τὰ ἀληθῆ. Ib. Καὶ λέγων αἴσχισ' ἐπῶν] ἀπατῶν. 932. Εἰ μὴ κἀγὼ κακὸς] εἰ μὴ κακῶς κ̣ ἀνοήτω; βυλεύομαι, προδώσει με ὗτος ὁ ἀνήρ. 933. Λιπὼν μὲν ὐκ ἔγωγε] ὐκ ὅτι καταλείψω σε ἄχθομαι, ἀλλ' ὅτι λυπηρῶς κ̣ ὐ κατὰ τὴν σὴν γνώμην μέλλω σε ἄγειν. ἐπὶ Τροίαν δέ φησι.

Πρὸς τοὺς Ἀχαιοὺς, καὶ τὸν Ἀτρειδῶν στόλον.
Φιλ. Οἴμοι· τί εἶπας;
Φε. Μὴ στέναζε πρὶν μάθῃς.
Φιλ. Ποῖον μάθημα; τί με νοεῖς δρᾶσαί ποτε;
Νε. Σῶσαι κακοῦ μὲν πρῶτα τοῦδ', ἔπειτα δὲ
Ξὺν σοὶ τὰ Τροίας πεδία πορθῆσαι μολών.
Φιλ. Καὶ ταῦτ' ἀληθῆ δρᾷν νοεῖς;
Φε. Πολλὴ κρατεῖ
Τούτων ἀνάγκη· καὶ σὺ μὴ θυμοῦ κλύων.
Φιλ. Ἀπόλωλα τλήμων, προδέδομαι. τί μ', ὦ ξένε,
Δέδρακας; ἀπόδος ὡς τάχος τὰ τόξα μοι.
Νε. Ἀλλ' οὐχ οἷόν τε· τῶν γὰρ ἐν τέλει κλύειν,
Τό, τ' ἔνδικόν με καὶ τὸ συμφέρον ποιεῖ.
Φιλ. Ὦ πῦρ σὺ, καὶ πᾶν δεῖμα, καὶ πανουργίας
Δεινῆς τέχνημ' ἔχθιστον, οἷά μ' εἰργάσω,
Οἷ' ἠπάτηκας· οὐδ' ἐπαισχύνῃ μ' ὁρῶν
Τὸν προστρόπαιον, τὸν ἱκέτην, ὦ σχέτλιε;
Ἀπεστέρηκας τὸν βίον, τὰ τόξ' ἑλών.
Ἀπόδος, ἱκνοῦμαί σ', ἀπόδος, ἱκετεύω, τέκνον.
Πρὸς θεῶν πατρῴων, τὸν βίον μή μ' ἀφέλῃς.
Ὤμοι τάλας· ἀλλ' οὐδὲ προσφωνεῖ μ' ἔτι,
Ἀλλ' ὡς μεθήσων μή ποθ' ὧδ' ὁρᾷ πάλιν.
Ὦ λιμένες, ὦ προβλῆτες, ὦ ξυνουσίαι
Θηρῶν ὀρείων, ὦ καταρρῶγες πέτραι,

944. Πολλὴ κρατεῖ] πολλὴ γάρ ἐστιν ἀνάγκη ταῦτα διαπράξασθαι. 948. Τῶν γὰρ ἐν τέλει] τῶν κρατούντων γὰρ φροντίζω μᾶλλον ἢ σοῦ. διὸ οὐ δώσω σοι ταῦτα. 950. Ὦ πῦρ σὺ] παρὰ τὸ ὄνομα τοῦτο λέγει.

Πύῤῥης

Ad Achivos, et Atridarum claſſem.
*Ph.* Hei mihi! quid dixiſti?
*Ne.* Ne gemas antequam audias.
*Ph.* Quid audiam? quid mecum facere tandem paras?
*Ne.* Eripere te malo ex hoc imprimis, et deinde
Tecum profectus Trojæ campos devaſtare.
*Ph.* Et iſta ſerio facere cogitas?
*Ne.* Magna cogit [diens.
Huc me neceſſitas, quare ne irâ efferaris hæc au-
*Ph.* Perii miſer, proditus ſum. Cur mihi, O hoſpes,
Iſta feciſti? redde quamprimùm mihi arcum.
*Ne.* At non poteſt fieri, magiſtratibus enim auſcultare
Et jus me et utilitas cogunt.
*Ph.* O ignis tu, et totus formido, et aſtutiarum
Peſſimarum artifex inviſiſſime, qualia mihi feciſti?
Quibus me luſiſti dolis? non te diſpudet, cum me videas
Ad genua provolutum ſupplicem? O improbe,
Abſtuliſti mihi victum erepto arcu.
Redde, obſecro te, redde, quæſo, fili:
Per Deos patrios oro, victum ne mihi auferas.
Hei mihi miſero! ſed nec alloqui me jam dignatur,
Sed, velut nunquam dimiſſurus e manu iterum, aſ-
O portus, O rupes, O cœtus [picit.
Ferarum montanarum, O prærupta ſaxa,

Πύῤῥος γὰρ ἐκαλεῖτο ὁ πρώην Νεοπτόλεμος. 958. Ἀλλ᾽ ὡς μεθήσων] οὕτω μοι πάλιν προσέχει ἀναιδῶς, ὡς μὴ ἐάσων καὶ δώσων τὰ βέλη.

Ὑμῖν τάδ᾽· οὐ γὰρ ἄλλον οἶδ᾽ ὅτῳ λέγω·
Ἀνακλαίομαι παροῦσι τοῖς εἰωθόσιν,
Οἷ᾽ ἔργ᾽ ὁ παῖς μ᾽ ἔδρασεν οὑξ Ἀχιλλέως.
Ὀμόσας ἀπάξειν οἴκαδ᾽, ἐς Τροίαν μ᾽ ἄγει·
Προθείς τε χεῖρα δεξιὰν, τὰ τόξα μου
Ἱερὰ λαβὼν τοῦ Ζηνὸς Ἡρακλέους ἔχει,
Καὶ τοῖσιν Ἀργείοισι φήνασθαι θέλει,
Ὡς ἄνδρ᾽ ἑλών μ᾽ ἰσχυρὸν, ἐκ βίας ἄγει,
Κοὐκ οἶδ᾽ ἐναίρων νεκρὸν, ἢ καπνοῦ σκιὰν,
Εἴδωλον ἄλλως· οὐ γὰρ ἂν σθένοντά γε
Εἷλέν μ᾽· ἐπεὶ οὐδ᾽ ἂν ὧδ᾽ ἔχοντ᾽, εἰ μὴ δόλῳ.
Νῦν δ᾽ ἠπάτημαι δύσμορος. τί χρή με δρᾶν;
Ἀλλ᾽ ἀπόδος· ἀλλὰ νῦν ἔτ᾽ ἐν σαυτῷ γενοῦ.
Τι φής; σιωπᾷς; οὐδέν εἰμ᾽ ὁ δύσμορος.
Ὦ σχῆμα πέτρας δίπυλον, αὖθις αὖ πάλιν
Εἴσειμι πρός σε ψιλὸς, οὐκ ἔχων τροφήν.
Ἀλλ᾽ αὖ θανοῦμαι τῷδ᾽ ἐν αὐλίῳ μόνος,
Οὐ πτηνὸν ὄρνιν, οὐδὲ θῆρ᾽ ὀρειβάτην
Τόξοις ἐναίρων τοῖσδέ γ᾽· ἀλλ᾽ αὐτὸς τάλας
Θανὼν, παρέξω δαῖθ᾽ ὑφ᾽ ὧν ἐφερβόμην,
Καί μ᾽ οὓς ἐθήρων πρόσθε, θηράσουσι νῦν.
Φόνον φόνου δὲ ῥύσιον τίσω τάλας,
Πρὸς τοῦ δοκοῦντος οὐδὲν εἰδέναι κακόν.
Ὄλοιο μή πω, πρὶν μάθοιμ᾽, εἰ καὶ πάλιν

961. Ὑμῖν τάδ᾽· οὐ γὰρ ἄλλον] ὑμῖν ταῦτα λέγω· οὐ γὰρ οἶδα πρὸς ὅντινα μᾶλλον ἀποδύρωμαι. 969. Ἐναίρων νεκρὸν] σφάττων νεκρὸν, κατὰ τὴν παροιμίαν. 976. Πρός σε ψιλὸς] εἴσειμι (φησὶν) εἰς σὲ, τόξων γυμνὸς, τὴν διὰ τῶν τόξων μοι γιγνομένην οὐκ ἔχων τροφήν.

ἀπο

Digitized by Google

Vobis hæc, (non enim alium novi cui hæc loquar)
Conqueror præſentibus, et audire ſolitis,
Qualia facinora filius mihi fecerit Achillis,
Qui juravit ſe abducturum me domum, ad Trojam
ducere parat,
Dataque dextera, arcus meos ſacros acceptos,
Illos nempe Herculis Jove geniti, detinet,
Atque Argivis vult exhibere, meque
Ceu virum valentem ceperit, violenter abducit,
Neſcitq. ſe occidere jam mortuum, et fumi umbram,
Imo meram imaginem. Non enim valentem viribus
Cepiſſet unquam; quando ne ſic quidem affectum
potuit, ſine dolo. [agam?
Nunc autem fraude deceptus ſum miſer. Quid
At redde, quæſo, et jam ad ingenium tuum redi.
Quid ais? taces? occidi infelix.
O forma ſaxi biforis, iterum jam iterum
Ingredior ad te nudus, et cibo carens;
Sed aridus fiam hoc in antro ſolus,
Nec volucrem, nec feram monticolam
Arcubus perimens hiſce; ſed ipſe miſer [teà,
Mortuus præbebo eſcam iis, a quibus paſtus fui an-
Et me, quas antea venabar, jam venabuntur.
Cædemque illarum cæde meâ exſolvam miſer,
Ejus opera, quem putabam nihil mali noſſe.
Nondum tamen pereas, donec ſcivero an rurſus

ἄνευ τροφῆς εὖν ἀντὶ τοῦ ἄνευ τόξων. 977. Ἀλλ' αὖ θανοῦμαι] γράφεται, ἀλλ' αὖ αὐανοῦμαι. οἷ, ξηρανθήσομαι. 979. Τόξοις ἐναίρων] ἐγὼ δ εἰωθώς; ἐσθίειν τὰ θηρία, βρωθήσομαι νῦν ὑπ' αὐτῶν. 982. Φόνον δὲ ῥύσιον] ἐνέχυρον, ἀμοιβὴν ἐκτίσω. Ὅμηρος, ῥύσι' ἐλαυνόμενος.

985.

Γνώμην μετοίσεις· εἰ δὲ μή, θάνοις κακῶς.
Χο. Τί δρῶμεν ἐν σοί; καὶ τὸ πλεῖν ἡμᾶς ἄναξ
Ἤδη 'στι, καὶ τοῖς τοῦδε προσχωρεῖν λόγοις.
Νε. Ἐμοὶ μὲν οἶκτος δεινὸς ἐμπέπτωκέ τις
Τοῦδ' ἀνδρὸς, οὐ νῦν πρῶτον, ἀλλὰ καὶ πάλαι.
Φιλ. Ἐλέησον, ὦ παῖ, πρὸς θεῶν, καὶ μὴ παρῇς
Σαυτοῦ βροτοῖς ὄνειδος ἐκκλέψας ἐμέ.
Νε. Οἴμοι τί δράσω; μή ποτ' ὤφελον λιπεῖν
Τὴν Σκῦρον· οὕτω τοῖς παροῦσιν ἄχθομαι.
Φιλ. Οὐκ εἶ κακὸς σὺ, πρὸς κακῶν δ' ἀνδρῶν μαθὼν
Ἔοικας ἥκειν αἰσχρά· νῦν δ' ἄλλοισι δοὺς,
Οἷς εἰκὸς, ἔκπλει, τἀμά μοι μεθεὶς ὅπλα.
Νε. Τί δρῶμεν, ἄνδρες;
Οδ. Ὦ κάκιστ' ἀνδρῶν τί δρᾷς;
Οὐκ εἶ μεθεὶς τὰ τόξα ταῦτ' ἐμοὶ πάλιν;
Φιλ. Οἴμοι τίς ἀνήρ; ἆρ' Ὀδυσσέως κλύω;
Οδ. Ὀδυσσέως, σάφ' ἴσθ', ἐμοῦ γ', ὃν εἰσορᾷς.
Φιλ. Οἴμοι· πέπραμαι κἀπόλωλ'. ὅδ' ἦν ἄρα
Ὁ ξυλλαβών με, κἀπονοσφίσας ὅπλων.
Οδ. Ἐγὼ, σάφ' ἴσθ', οὐκ ἄλλος· ὁμολογῶ τάδε.
Φιλ. Ἀπόδος, ἄφες μοι, παῖ, τὰ τόξα.
Οδ. Τοῦτο μὲν
Οὐδ' ἢν θέλῃ δράσει ποτ'· ἀλλὰ καὶ σὲ δεῖ
Στείχειν ἅμ' αὐτοῖς, ἢ βίᾳ στελοῦσί σε.

985. Μετοίσεις] μετανοήσεις. 987. Προσχωρεῖν] πεισθῆναι. 995. Νῦν δ' ἄλλοισι δοὺς] νῦν δὲ ἄλλοις δοὺς τὰ κακὰ οἷς εἰκὸς, ἔκπλει, τὰ ἐμὰ ὅπλα ἐμοὶ δούς. 1002. Πέπραμαι] πεπραγμάτευμαι.

ΣΧΟΛ.

Sententiam mutaturus ſis in melius; ſin minus,
pereas male.

*Ch.* Quid agamus penes te eſt; et nobis navigare,
O Rex, jam licet, et hujus viri
Obtemperare, ſi libet, ſermonibus.

*Ne.* Mihi quidèm magna quædam incidit miſeratio
Hujus viri, non nunc primùm, ſed et anteà.

*Ph.* Miſerere mei, O nate, per Deos, neque inferas
In te hoc ab hominibus probrum, quòd me dece-
peris.

*Ne.* Hei mihi! quid agam? utinam nunquam reli-
Scyrum, ita rebus præſentibus triſtor. [quiſſem

*Ph.* Non tu quidem malus es, ſed a malis viris in-
ſtructus videris advenire
Ad turpia. Nunc fraudibus utere in alios,
In quos par eſt, et, armis meis mihi redditis, na-

*Ne.* Quid facimus, O viri? [viga hinc.

*Ul.* O peſſime omnium, quid agis?
Non abis, relictis hiſce mihi arcubus? [audio?

*Ph.* Hei mihi! quis hic vir? numnam ego Ulyſſem

*Ul.* Ulyſſem, certo ſcias, meque quem coram vides.

*Ph.* Hei mihi! dolo venditus ſum, et diſperii. hic
Qui me prehendit, & ſpoliavit armis. [fuit ergo,

*Ul.* Ego, certo ſcias, non alius. Iſta confiteor lubens.

*Ph.* Redde, relinque arcum mihi, nate.

*Ul.* Hoc quidem
Etiamſi velis maximè, facies nunquam. Sed et
te oportet
Unà cum armis diſcedere, aut vi te abſtrahent.

ΣΧΟΛ. ΤΡΙΚΛ. 907. Τί δρῶμεν ἄνδρες] Μεταvοήσας ὁ Νεοπτόλεμος ἤθελε δοῦναι τῷ Φιλοκτήτῃ τὰ ὅπλα αὐτοῦ· ἐλθὼν δ' ὁ Ὀδυσσεὺς καὶ θεασάμενος αὐτὸν ταῦτά φησιν, Οὐκ εἴ με θεὸς τὰ τόξα ταῦτ' ἐμοὶ πάλιν.

1013.

Digitized by Google

Φιλ. Ἐμ' ὦ κακῶν κάκιστε καὶ τολμίστατε,
Οἵδ' ἐκ βίας ἄξουσιν;
Οδ. Ἢν μὴ ἕρπῃς ἑκών.
Φιλ. Ὦ Λημνία χθὼν, καὶ τὸ παγκρατὲς σέλας
Ἡφαιστότευκτον· ταῦτα δῆτ' ἀνασχετὰ,
Εἴ μ' οὗτος ἐκ τῶν σῶν ἀπάξεται βίᾳ;
Οδ. Ζεύς ἐσθ' (ἵν' εἰδῇς) Ζεὺς ὁ τῆσδε γῆς κρατῶν,
Ζεὺς, ᾧ δέδοκται ταῦθ'· ὑπηρετῶ δ' ἐγώ.
Φιλ. Ὦ μῖσος, οἷα κἀξανευρίσκεις λέγειν,
Θεοὺς προτείνων, τοὺς θεοὺς ψευδεῖς τιθεῖς;
Οδ. Οὐκ· ἀλλ' ἀληθεῖς· ἥδ' ὁδὸς πορευτέα.
Φιλ. Οὔ φημ' ἔγωγε.
Οδ. Φημί· πειστέον τάδε.
Φιλ. Οἴμοι τάλας· ἡμᾶς μὲν ὡς δούλους σαφῶς
Πατὴρ ἄρ' ἐξέφυσεν, οὐδ' ἐλευθέρους.
Οδ. Οὐκ· ἀλλ' ὁμοίους τοῖς ἀρίστοισιν, μεθ' ὧν
Τροίαν σ' ἑλεῖν δεῖ, καὶ κατασκάψαι βίᾳ.
Φιλ. Οὐδέ ποτέ γ'· οὐδ' ἢν χρή με πᾶν παθεῖν κακὸν,
Ἕως ἂν ᾖ μοι γῆς τόδ' αἰπεινὸν βάθρον.
Τί δ' ἐργασείεις;
Φιλ. Κρᾶτ' ἐμὸν τόδ' αὐτίκα
Πέτρᾳ πέτρας ἄνωθεν αἱμάξω πεσών.
Οδ. Ξυλλάβετε τοῦτον· μὴ 'πὶ τῷ δ' ἔστω τάδε.
Φιλ. Ὦ χεῖρες, οἷα πάσχετ' ἐν χρείᾳ φίλης

1013. Τὸ παγκρατὲς σέλας Ἡφαιστότευκτον] τὸ Ἡφαίστειον πῦρ. ἐν γὰρ τῇ Λήμνῳ τὰ τοῦ Ἡφαίστου ἐργαστήρια, ἔνθα καὶ κρατηρές εἰσι πυρός. 1014. Ἐκ τῶν σῶν] λείπει κόλπων. 1024. Οὐκ· ἀλλ' ὁμοίους] ἀντὶ τοῦ, οὐ δοῦλόν σε ἔφυσεν, ἀλλ' ἄριστον καὶ μετὰ ἀρίστων τὴν Τροίαν δεῖ

σε

Digitized by Google

*Ph.* Me, O malorum pessime, atque audacissime,
Hinc per vim abducent?
*Ul.* Nisi volens iveris.
*Ph.* O Lemnia terra, & omnia domans jubar
Vulcanium! hæc prorsus intoleranda sunt,
Si me hic ex tuo sinu vi abducet. [natur;
*Ul.* Jupiter est (ut scias) Jupiter, qui terræ huic domi-
Jupiter, qui hæc decrevit, ego autem illi subser-
*Ph.* O odium, qualia commentus es dicta, [vio.
Deos prætexens, Deos mendacii auctores faciens?
*Ul.* Non. imo veraces, adeoque hæc via est eunda tibi;
*Ph.* Ego quidem pernego.
*Ul.* Ego affirmo; in hoc parendum est.
*Ph.* Hei mihi misero! Ergo me non liberum
Omnino, sed servum pater genuit.
*Ul.* Non: parem sed optimatibus, quibuscum
Troja tibi capienda est, et vi subruenda.
*Ph.* Nunquam profectò, ne mala quidem si oporteat
omnia pati,
Quamdiu suppetit mihi profundum hoc terræ
*Ne.* Quid ergo agere paras? [antrum.
*Ph.* Caput hoc meum illico
Saxis cruentabo, de saxo cadens. [tur, agere.
*Ul.* Prehendite illum, ne penes illum sit, quod mina-
*Ph.* O manus hoc a viro constrictæ, qualia sustinetis

σε πορθῆσαι· τοῦτο δὲ προτρεπτικόν. 1030. Πέτρα πέτρας] πρὸς τῇ πέτρᾳ ἐναιμάξω τὴν κεφαλήν μου, ἄνωθεν πεσὼν ἀπὸ πέτρας. 1031. Μὴ 'πὶ τῷδ' ἔστω] μὴ ἔστω ἐπὶ τῷ Φιλοκτήτῃ ἡ ἐξουσία τοῦ καταχρημνίζεσθαι. 1032. Ὦ χεῖρες] δεδεμένος ταῦτά φησι.

Νευρᾶς ὑπ' ἀνδρὸς τοῦδε συνθηρώμεναι.
Ὦ μηδὲν ὑγιὲς, μηδ' ἐλεύθερον φρονῶν,
Οἷός μ' ὑπῆλθες· ὥς μ' ἐθηράσω, λαβὼν
Πρόβλημα σαυτοῦ παῖδα τόνδ' ἀγνῶτ' ἐμοί·
Ἀνάξιον μὲν σοῦ, κατάξιον δ' ἐμοῦ.
Ὃς οὐδὲν ᾔδει πλὴν τὸ προσταχθὲν ποιεῖν.
Δῆλος δὲ καὶ νῦν ἐστιν ἀλγεινῶς φέρων
Οἷς τ' αὐτὸς ἐξήμαρτεν, οἷς τ' ἐγὼ 'παθον.
Ἀλλ' ἡ κακὴ σὴ διὰ μυχῶν βλέπουσ' ἀεὶ
Ψυχή νιν ἀφυῆ τ' ὄντα, κοὐ θέλονθ', ὅμως
Εὖ προυδίδαξεν ἐν κακοῖς εἶναι σοφόν.
Καὶ νῦν δέ μ', ὦ δύστηνε, συνδήσας, νοεῖς
Ἄγειν ἀπ' ἀκτῆς τῆσδ', ἐν ᾗ με προὐβάλου
Ἄφιλον, ἔρημον, ἄπολιν, ἐν ζῶσιν νεκρόν.
Φεῦ. Ὄλοιο· καί σοι πολλάκις τόδ' ηὐξάμην.
Ἀλλ' οὐ γὰρ οὐδὲν θεοὶ νέμουσιν ἡδύ μοι.
Σὺ μὲν γέγηθας ζῶν, ἐγὼ δ' ἀλγύνομαι
Τοῦτ' αὔθ', ὅτι ζῶ σὺν κακοῖς πολλοῖς τάλας,
Γελώμενος πρὸς σοῦ γε καὶ τῶν Ἀτρέως
Διπλῶν στρατηγῶν, οἷς σὺ ταῦθ' ὑπηρετεῖς.
Καί τοι σὺ μὲν κλοπῇ τε κἀνάγκῃ ζυγεὶς,
Ἔπλεις ἅμ' αὐτοῖς· ἐμὲ δὲ τὸν πανάθλιον
Ἑκόντα πλεύσανθ' ἑπτὰ ναυσὶ ναυβάτην,
Ἄτιμον ἔκβαλον, ὡς σὺ φής· κεῖνοι δὲ, σέ.

1033. Συνθηρώμεναι] ἁλοῦσαι καὶ συλλαμβανόμεναι. 1034. Ὦ μηδὲν ὑγιὲς] ὦ δόλιε Ὀδυσσεῦ. 1042. Ἀφυῆ τ' ὄντα] ἄκακον ἀπὸ φύσεως. 1046. Ἐν ζῶσι νεκρὸν] ἤτοι ὅτι κοιμώμενον αὐτὸν εἴασεν, ἢ διὰ τὸ πάθος, νεκρὸν λέγει. 1053. Κλοπῇ τε κἀνάγκῃ] ἀπάτῃ. καὶ Ὅμηρος, Κλέπτε νόῳ. Ib. Ζυγεὶς] ὑποταγείς. ὁ δὲ νοῦς. καίτοι σὺ μὲν ἀναγκασθεὶς στρατεύῃ. προσποιούμενον γὰρ αὐτὸν μαίνεσθαι, Παλαμήδης

Charis carentes arcubus? [sapis,
O qui nihil sanum, nec homine libero dignum
Quibus me fraudibus subruisti? quibus venatus es dolis? [gnito,
Subornato in tuum locum puero hoc mihi inco-
Tui quidem indigno, mei autem dignissimo,
Qui nihil novit præter mandata exequi;
Quem & nunc liquet ægrê ferre,
Propter ea, quæ in me deliquit, propterque ea, quæ ego patior;
Sed improba tua per latebras semper prospiciens
Anima, rudemque doli ipsum & nolentem tamen
Bene instituit, in malis esse callidum.
Et nunc me, O perdite, colligatum cogitas
Abducere ab hoc littore, in quo me prius abjecisti
Amicis orbum, desertum, exulem, inter vivos mortuum. [sum:
Heu! pereas malè, & tibi hoc sæpe imprecatus
Sed nihil quidem Dii jucundum mihi tribuunt.
Tu quidem lætus vivis, ego verò misere crucior
Ob hoc ipsum, quòd compluribus in malis vivo
Irrisus a te utique, & geminis Atridis [miser,
Ducibus, quibus tu ad hæc ministrum te præbes.
Atqui tu quidem doloque & necessitate adactus
Navigasti unà cum illis; me verò miserrimum,
Sponte navigantem, septem navium ducem,
Inhonoratum projecere (sicut tu narras) ipsi verò te auctorem prædicant.

λαμπήδης ἤλεγξεν. 1056. Ὡς σὺ φῂς] οἱ Ἀτρεῖδαί με ἐξέβαλον, ὡς σὺ λέγεις. Ib. Κεῖνοι δὲ, σέ.] οἱ δὲ σέ φασιν. σὺ μὲν (φησὶν) ἐκείνους αἰτιᾷ, ὑπὲρ τοῦ ῥιφῆναι ἐμέ. ἐκεῖνοι δέ σε λέγουσιν αἴτιον.

ΣΧΟΛ. ΤΡΙΚΛ. 1037. Ἀνάξιον μέν σου] Ἀνάξιος ἦν (φησὶ) συμπαλεῖν μετὰ σοῦ τοῦ δολεροῦ καὶ σκολιοῦ· ἄξιος δὲ μετ᾽ ἐμοῦ εἶναι τοῦ οὐκ ὄντος δολεροῦ.

Καὶ νῦν τί μ' ἄγετε; τί μ' ἀπάγετε; τοῦ χάριν;
Ὃς οὐδέν εἰμι, καὶ τέθνηχ' ὑμῖν πάλαι.
Πῶς, ὦ θεοῖς ἔχθιστε, νῦν οὐκ εἰμί σοι
Χωλὸς, δυσώδης· πῶς θεοῖς εὔξεσθ', ἐμοῦ
Πλεύσαντος, αἴθειν ἱερά; πῶς σπένδειν ἔτι;
Αὕτη γὰρ ἦν σοι πρόφασις ἐκβαλεῖν ἐμέ.
Κακῶς ὄλοισθ'· ὄλοισθε δ' ἠδικηκότες
Τὸν ἄνδρα τόνδε, θεοῖσιν εἰ δίκης μέλει.
Ἔξοιδα δ' ὡς μέλει γ'· ἐπεὶ οὔτ' ἂν στόλον
Ἐπλεύσατ' ἂν τόνδ' οὕνεκ' ἀνδρὸς ἀθλίου,
Εἰ μή τι κέντρον θεῖον ἦγ' ὑμᾶς ἐμοῦ.
Ἀλλ' ὦ πατρῴα γῆ, θεοί τ' ἐπόψιοι,
Τίσασθε, τίσασθ' ἀλλὰ τῷ χρόνῳ ποτὲ,
Ξύμπαντας αὐτοὺς, εἴ τι κἄμ' οἰκτείρετε,
Ὡς ζῶ μὲν οἰκτρῶς· εἰ δ' ἴδοιμ' ὀλωλότας
Τούτους, δοκοῖμ' ἂν τῆς νόσου πεφευγέναι.
Χο. Βαρύς τε καὶ βαρεῖαν ὁ ξένος φάτιν
Τήνδ' εἶπ' Ὀδυσσεῦ, κοὐχ ὑπείκουσαν κακοῖς.
Οδ. Πόλλ' ἂν λέγειν ἔχοιμι πρὸς τὰ τοῦδ' ἔπη,
Εἴ μοι παρείκοι· νῦν δ' ἑνὸς κρατῶ λόγου.
Οὗ γὰρ τοιούτων δεῖ, τοιοῦτός εἰμ' ἐγώ·
Χὤπου δικαίων κἀγαθῶν ἀνδρῶν κρίσις,
Οὐκ ἂν λάβοις μου μᾶλλον οὐδέν' εὐσεβῆ.
Νικᾶν γε μέντοι πανταχοῦ χρήζων ἔφυν,

1061. Πλεύσαντος, αἴθειν ἱερὰ] τοῦτο γὰρ προφασισαμένου Ὀδυσσέως, ὅτι οὐκ ἔστι θῦσαι τούτου ἐπιστενάζοντος, ἐξέθηκαν αὐτόν. 1064. Εἰ δίκης μέλει] εἰ φροντίς ἐστι τῆς δίκης τοῖς θεοῖς. 1068. Θεοί τ' ἐπόψιοι] οἱ ἐφορῶντές με δυστυχοῦντα. 1074. Οὐχ ὑπείκουσαν] οὐκ ἀνα-

δυομένη

Et nunc quid me ducitis, & abducitis? cujus
causâ me,
Qui nihil ſum, vobiſque jampridem mortuus?
Quare, O Diis inviſiſſime, jam non ſum tibi
Claudus, grave olens? quomodo Diis vovebitis,
me [ros amplius?
Simul navigante, ſacra crematuros? quî libatu-
Hic erat tibi prætextus, ut me ejiceres navi.
Malè pereatis, O pereatis, qui injuria affeciſtis
Virum hunc, ſiquid Deis juſtitia curæ eſt;
Pulchrè autem novi quòd ſit, alioqui claſſe
Non huc appuliſſetis virum ob miſerum, [leret.
Niſi ſtimulus aliquis divinus mei causâ vos impel-
At O paterna terra, Diique horum inſpectores,
Punite, punite, quæſo, tandem aliquando
Simul omnes iſtos, ſi quid mei miſeremini,
Qui vivo ſanè miſerè; quos ſi videre licuerit per-
Putaverim me jam morbo hoc defunctum. [ditos,
*Ch.* Acerbus hic hoſpes, & acerbum hunc ſermonem
Edidit, Ulyſſe, maliſque cedere neſcium.
*Ul.* Multa habeo quæ reſpondeam hujus ſermoni,
Si tempus ſineret, ſed nunc unicus præſtò eſt
mihi ſermo, [ſum;
Ubi enim hujuſmodi res agendæ ſunt, talis ego
Ubi verò de juſtis boniſque viris judicatur,
Neminem inveneris magis pium quàm ego.
Ubique enim vincere ſoleo,

δυσμένην ἐν τοῖς κακοῖς. 1076. Εἴ μοι παρείκοι] εἰ καιρὸς ἐπιτρέψειέ μοι, νῦν δὲ σιωπῶ. οἶδα γὰρ τοῦτο ποιῶν ὅπου δεῖ. νῦν γὰρ σιωπᾶν δεῖ. 1078. Κρίσις] δοκιμασία, ἐξέτασις. 1080. Χρήζων ἔφυν] γράφεται κρείσσων.

1086.

Πλέω εἰς σέ· νῦν δέ σοί γ' ἑκὼν ἐκστήσομαι.
Ἄφετε γὰρ αὐτὸν, μηδὲ προσψαύσητ' ἔτι.
Ἐᾶτε μίμνειν· οὐδέ σου προσχρῄζομεν,
Τά γ' ὅπλ' ἔχοντες ταῦτ'· ἐπεὶ πάρεστι μὲν
Τεῦκρος παρ' ἡμῖν, τήνδ' ἐπιστήμην ἔχων·
Ἐγώ θ', ὃς οἶμαί σου κάκιον οὐδὲν ἂν
Τούτων κρατύνειν, μηδ' ἐπιθύνειν χερί.
Τί δῆτά σου δεῖ; χαῖρε τὴν Λῆμνον πατῶν.
Ἡμεῖς δ' ἴωμεν· καὶ τάχ' ἂν τὸ σὸν γέρας
Τιμὴν ἐμοὶ νείμειεν ἥν σ' ἐχρῆν ἔχειν.—
Φιλ. Οἴμοι· τί δράσω δύσμορος; σὺ τοῖς ἐμοῖς
Ὅπλοισι κοσμηθεὶς ἐν Ἀργείοις φανῇ;
Οδ. Μή μ' ἀντιφώνει μηδὲν, ὡς στείχοντα δή.
Φιλ. Ὦ σπέρμ' Ἀχιλλέως, οὐδέ σου φωνῆς ἔτι
Γενήσομαι προσφθεγκτὸς, ἀλλ' οὕτως ἄπει;
Οδ. Χώρει σύ· μὴ πρόσλευσσε γενναῖός περ ὤν,
Ἡμῶν ὅπως μὴ τὴν τύχην διαφθερεῖς.
Φιλ. Ἦ καὶ πρὸς ὑμῶν ὧδ' ἔρημος, ὦ ξένοι,
Λειφθήσομ' ἤδη, κοὐκ ἐποικτερεῖτέ με;
Χο. Ὁδ' ἐστὶν ἡμῶν ναυκράτωρ ὁ παῖς· ὅσ' ἂν
Οὗτος λέγῃ σοὶ, ταῦτά σοι χ' ἡμεῖς φαμέν.
Νε. Ἀκούσομαι μὲν ὡς ἔφυν οἴκτου πλέως
Πρὸς τοῦδ'· ὅμως δὲ μείνατ', εἰ τούτῳ δοκεῖ,

1086. Ἐγώ θ', ὃς οἶμαι] οὐ μόνον ὁ Τεῦκρός ἐστι τοξότης, ἀλλὰ κἀγὼ ὑπολαμβάνω ἐμαυτὸν τούτων ἐμπειρον εἶναι οὐχ ἧττον σοῦ. καὶ Ὅμηρος, Εὖ μὲν τόξον οἶδα ἐΰξοον ἀμφαφάασθαι. 1087. Τούτων κρατύνειν] τῶν τόξων. 1088. Τί δῆτα σοῦ δεῖ] ἀντὶ τοῦ, Τίς σοῦ χρεία. Ib. Χαῖρε τὴν Λῆμνον πατῶν] ἤγουν, τῇ διατριβῇ τῆς Λήμνου. 1095. Προσφθεγκτὸς]

Digitized by Google

Nisi apud te: nunc autem lubens tibi cedam.
Dimittite ergo eum, neque attingatis ampliùs.
Sinite eum hic manere, neq. sanè tui indigemus,
Armis potiti tuis; adest enim
Teucer apud nos, qui hanc artem callet. [tu
Egoque *adsum*, qui me puto deteriùs nihilo quàm
Arma hæc tractare, fortiterque posse regere.
Quid ergo te opus est? Quin vale, Lemnum in-
Nos verò eamus, & tuum fortasse munus [cole.
Honorem mihi pepererit tibi destinatum.

*Ph.* Hei mihi! quid faciam infelix? tune meis
Armis ornatus inter Argivos enitesces?

*Ul.* Nihil mihi quicquam ultrà responde, utpote abitum paranti.

*Ph.* O semen Achillis, neque tu alloquio ampliùs tuo
Me dignaberis? et ità *durus* abis? [licet sis,

*Ul.* Discede tu ocyus, nec illum respice, generosus
Ne nostram fortunam *tuâ* corrumpas *culpâ*.

*Ph.* An & a vobis quoque, O hospites, ita desertus
Jam relinquar, nec vos miserebit mei? [cunque
Adolescens hic est *nostræ* classis gubernator, quæ-
Hic loquatur tibi, eadem tibi nos quoq. dicimus.

*Ne.* Arguar, scio, (ut naturâ sum) tanquam misericordiæ addictior [*Philoctetæ*,
Ab Ulysse; tamen manete, si ità visum est

φθεγκτὸς] προσφωνηθῆναι ἄξιος. 1098. Ἦ καὶ πρὸς ὑμῶν] ἄρα καὶ ὑμεῖς μισήσεσθε τούτους, καὶ ἀνηλεεῖς γενήσεσθε εἰς ἐμέ. 1102. Ἀκούσομαι μὲν] ἀκούσομαι πρὸς τοῦδε, ὡς εἰμὶ οἴκτου μεστός. ὅτι, καταγνωσθήσομαι ὡς ἥττων οἴκτου.

1104.

Χρόνον τοσοῦτον εἰς ὅσον τά τ' ἐκ νεὼς
Στείλωσι ναῦται, καὶ θεοῖς εὐξώμεθα.
Χ' οὗτος τάχ' ἂν φρόνησιν ἐν τούτῳ λάβοι
Λῴω τιν' ἡμῖν· νὼ μὲν οὖν ὁρμώμεθον·
Ὑμεῖς δ', ὅταν καλῶμεν, ὁρμᾶσθαι ταχεῖς.

Φιλ. Ὦ κοίλας πέτρας γύαλον
Θερμόν τε καὶ παγετῶδες, ὥς
Σ' οὐκ ἔμελλον ἄρ' ὦ τάλας
Λείψειν οὐδέποτ', ἀλλά μοι
Καὶ θνήσκοντι συνοίσῃ.
Ὤ μοι μοι μοι.
Ὦ πληρέστατον αὔλιον
Λύπας τᾶς ἀπ' ἐμοῦ τάλαν·
Τί ποτ' αὖ μοι τὸ κατ' ἦμαρ
Ἔσται; τοῦ ποτε τεύξομαι
Σιτονόμου μέλεος; πόθεν ἐλπίδος;
Εἴθ' αἰθέρος ἄνω
Πτωκάδες ὀξυτόνου διὰ πνεύματος

1104. Τά τ' ἐκ νεὼς] τὰ ἐπὶ τῆς νεώς. 1105. Στείλωσι] κοσμήσωσιν. 1106. Ἐν τούτῳ] ἐν τοσούτῳ. 1108. Ταχεῖς] γίγνεσθε δηλονότι. 1109. Ὦ κοίλας πέτρας γύαλον] ὦ σπήλαιον θερμὸν διὰ τὸν ἥλιον· ἢ διὰ τὸ ψύχος παγετῶδες. Ἢ οὕτως, ἐν θέρει ψυχρὸν, ἐν δὲ χειμῶνι θερμόν. ἀντὶ τοῦ, ἐπιτήδειον εἰς χειμῶνα καὶ θέρος. γύαλον δὲ, ἀντὶ τοῦ κεῦθος. κυρίως δὲ γύαλα, τὰ κοῖλα λέγεται· ἀλλ' ἐὰν οὕτω μεταφράσῃς, ἀπίθανον ἔσται τὸ κοῖλον κοίλωμα. διὸ δὴ τὸ κεῦθος ἡμεῖς ἀντὶ τοῦ ἄλσος μεταφράζομεν. 1112. Ἀλλά μοι καὶ θνήσκοντι συνοίσῃ] ἀντὶ τοῦ, καὶ ἀπολλυμένῳ μοι σύμφορον ἔσῃ καὶ ὠφέλιμον, καὶ δέξῃ με ἀποθανόντα· Ἢ οὕτω, σὺν ἐμοὶ ἔσῃ καὶ ὄψει με ἀποθανόντα. ὑπερβολικῶς. οἷον, καὶ μετὰ θάνατον συνιλεύσῃ μοι, καὶ οὐ καταλείψεις με. 1117.

Tantisper, donec res e navi . .
Componant navitæ, & Deos apprecemur.
Forte enim *fiat* intereà ut hic sententiam mutet
In melius nobis. Nos igitur duo jam abimus;
Vos autem, simul ac vocamus, adeste citi.

### ANTISTROPHICA. STROPHE I.

*Ph.* O cavæ rupis antrum
Calidumque *idem* et gelidum!
Ergo relicturus eram te
Miser nunquam, sed mihi
Etiam morienti inservies?
Hei mihi bis terque,
O casa plenissima
Doloris mei misera,
Quis, quæso, cibus posthac quotidianus
Erit? quem demum nanciscar
Altorem miser? unde spem?
Utinam per æthera sursum
Harpyiæ sonoro vento

1118. Τί ποτ' αὖ μοι τὸ κατ' ἦμαρ] τί ἄρα τρόφιμόν μοι καθ' ἡμέραν ἔσαι; ȣ̓ γὰρ ἐπικρατῶ ἐμαυτȣ̃. ἤ, ȣ̓ γὰρ ἔτι ἔχω ἐλπίδα. 1119. Σιτονόμȣ] ἀντὶ τȣ̃ σῖτον νέμοντος, ἤτοι τροφέως. Ib. Πόθεν ἐλπίδος; ἀπὸ ποίας ἐλπίδος; 1120. Εἴθ' αἰθέρος ἄνω πτωκάδες] τὸ ἑξῆς, εἴθε αἰθέρος ἄνω ἕλωσί με ὀξύτονοι δρομάδες διὰ πνεύματος. Τινὲς δὲ ȣ̃τω, μετὰ ὀξυτόνȣ πνεύματος ἕλωσί με. ὀξύτονον δὲ λέγει πνεῦμα, ἀπὸ τȣ̃ ὀξυτόνως βοᾶν. γράφεται δρομάδες, αἱ καταιγίδες· τινὲς δὲ γράφȣσι πλωχάδες, ἵνα τὰς Ἁρπυίας σημαίνωσι, διὰ τὸ ἀεὶ πεινῆν. 1111. Πτωκάδες] γράφεται πτωκάδες, πρωτάδες, πλωχάδες, δρομάδες. αἱ Ἅρπυιαι ἐπιθετικῶς, διὰ τὸ ἐπεμπίπτειν, ἢ διὰ τὴν φωνήν. εἰ δὲ γράφεται πλωχάδες, αἱ ἀεὶ πεινῶσαι· τȣ̃το γὰρ πάσχȣσιν οἱ πλωχοί.

Ἕλωσί μ'· οὐ γὰρ ἔτ' ἰσχύω.—

Χο. Σύ τοι, σύ τοι κατηξίω-
σας, ὦ βαρύποτμε·
Οὐκ ἄλλοθεν ἔχῃ τύχα
Τᾷδ' ἀπὸ μείζονος·
Εὖτέ γε παρὸν φρονῆσαι
Τοῦ λῴονος δαίμονος,
Εἵλου τὸ κάκιον αἰνεῖν.—

Φιλ. Ὦ τλάμων τλάμων ἄρ' ἐγὼ,
Καὶ μόχθῳ λωβατὸς, ὃς ἤ-
δη μετ' οὐδενὸς ὕστερον
Ἀνδρῶν εἰσοπίσω τάλας
Ναίων ἐνθάδ' ὀλοῦμαι.
(Αἶ αἶ αἶ αἶ)
Οὐ φορβὰν ἔτι προσφέρων,
Οὐ πτανῶν ἀπ' ἐμῶν ὅπλων
Κραταιαῖς μετὰ χερσὶν
Ἴσχων· ἀλλά μοι ἄσκοπα

1123. Σύ τοι, σύ τοι κατηξίωσας] σὺ σαυτῷ περιεποίησας τὴν νόσον. σὺ σαυτῷ τούτων πρόξενος καὶ αἴτιος γέγονας, ὦ δυστυχέστατε· σὺ σαυτῷ κατηξίωσας, καὶ οὐκ ἀπό τινος ταύτῃ τῇ τύχῃ ἐνέχῃ, ἢ συνέχῃ, ἀπὸ μείζονος σοῦ. διὸ μηδένα ἄλλον αἰτιῶ, ἀλλὰ σαυτόν. ἐξῆν γάρ σοι ἀκολουθήσαντι τὰ κακὰ διαφυγεῖν. 1127. Εὖτέ γε παρὸν φρονῆσαι] ὅτι γε παρόντος σοι φρονῆσαι τὸ λυσιτελὲς ἀπὸ λῴονος δαίμονος, τὸ κακίον εἵλου, τὸ μὴ ἐλθεῖν. λῴονος δὲ δαίμονος λέγει, τοῦ λυσιτελεστέρου καὶ συμφόρου. 1131. Λωβατὸς] ἐπίπονος. Ib. Ὃς ἤδη μετ' οὐδενὸς] τὸ ἑξῆς. ὃς ἤδη ἐνθάδε ὀλοῦμαι μετ' οὐδενὸς ὕστερον ἀνδρὸς εἰσοπίσω τάλας ναίων.

ὁ δὴ

Abripiant me: non enim valeo amplius.

STROPHE II.

*Ch.* Tu tibi, tu tibi accersisti
Hoc malum, infelix;
Non aliunde implicaris hoc infortunio,
Nec a potentiore quopiam.
Cum enim licuisset tibi sapere
Meliore *fruenti* fortunâ,
*Tu* elegisti habere pejus.

ANTISTROPHE I.

*Ph.* O miser, miser certè ego,
Et luctu confectus gravi, qui jam
Cum nemine amplius
Hominum posthac miser
Habitans hîc peribo,
Hei, hei!
Cum nec cibum amplius adferre valeam,
Nec volucres meis telis
Validisque manibus
Sistere; quippe me improvisa

ὁ δὲ νοῦς, ἄρα ἐγὼ δύστηνος ἐνταῦθα ἀπολοῦμαι ἀνθρώπων κεχωρισμένος. 1136. Οὐ φορβὰν ἔτι προσφέρων] ἀντὶ τοῦ προσφερόμενος. ἐνίοτε δὲ ἔμπαλίν φησι διακονούμενος, ἀντὶ τοῦ διακονῶν· καὶ σιτοδοποιούμενος ἀντὶ τοῦ σιτοδοποιῶν. 1139. Ἀλλά μοι ἄσκοπα] ἀπροσδόκητα, δόλια, ἃ οὐκ ἔστι προσκέψασθαι. γράφεται δὲ καὶ ἄψοφα, ἀπὸ τοῦ μὴ ψοφεῖν· ἀντὶ τοῦ λαθραῖα, ἀπὸ μεταφορᾶς τῶν κολυμβώντων. κρυπτὰ δὲ ἔπη φησὶ, τὰ τοῦ Ὀδυσσέως. Εἰς τὸ αὐτό. ἀλλά μοι τὰ ἀφανῆ καὶ κρυπτὰ δολίας φρενὸς ὑπέδυ με. τὸ δὲ ἑξῆς, ἀλλά μοι ὑπέδυ ἄσκοπα κρυπτά τε ἔπη δολερᾶς φρενός.

Κρυπτά τ' ἔπη δολερᾶς ὑπέδυ φρενός.
Ἴδοιμι δέ γέ νιν
Τὸν τάδε μησάμενον, τὸν ἴσον χρόνον
Ἐμὰς λαχόντ' ἀνίας. —

Χο. Πότμος σε δαιμόνων τάδε,
Οὐδὲ σέ γε δόλος ἔσχ' ὑπὸ
Χειρὸς ἐμᾶς· συγερὰν
Ἔχε δύσποτμον
Ἀρὰν ἀρὰν ἐπ' ἄλλοις.
Καὶ γὰρ ἐμοὶ τοῦτο μέλει
Μὴ φιλότητ' ἀπώσῃ.

Φιλ. Οἴμοι μοι· καί που πολιᾶς
Πόντου θινὸς ἐφήμενος
Γελᾷ μου, χερὶ πάλλων
Τὰν ἐμὰν μελέου τροφὰν,
Τὰν οὐδείς ποτ' ἐβάστασεν.
Ὦ τόξον φίλον, ὦ φίλων
Χερῶν ἐκβεβιασμένον,

1141. Ἰδοίμαν δέ νιν] ὡς κατευχόμενος φησὶ, γένοιτο δή μοι ἰδεῖν τὸν παραίτιον τούτων ὧν πάσχω, τὸν ἴσον χρόνον δυστυχῆσαι, τῆς ἐμῆς λαχόντα ἀνίας καὶ λύπης. ἤτοι τῆς νόσου. δεῖ δὲ καὶ κατὰ πληθυντικὸν ἀκούεσθαι, ἐμὰς λαχόντ' ἀνίας. ἀλλὰ τῆς ποιητικωτέρας ἡ τοιαύτη φράσις. 1144. Πότμος σε δαιμόνων] λείπει ἡ ἐξ. ἐκ θεῶν γὰρ τύχη τις τοῦτό σοι κεκλήρωκε, καὶ οὐχ ὑπ' ἐμοῦ δεδόλωσαι. κατὰ κοινοῦ δὲ τὸ ἔσχε. τὸ δὲ ἑξῆς, πότμος σε δαιμόνων τάδ' ἔσχεν, οὐδέ σε δόλος ἔσχεν ὑπὸ χειρὸς ἐμῆς. ὁ δὲ νοῦς. παῦσαι τῶν καταρῶν τούτων, ὦ Φιλοκτῆτα.

μὴ

Occultaque dicta fraudulentæ mentis clàm fefellere.
Utinam O ego videam illum,
Qui hæc machinatus est, tantum temporis spatium
Meas hasce sortientem miserias!

## ANTISTROPHE II.

*Ch.* Fatum te Deorum in hisce cepit,
Neutiquam dolus nostrâ
Manu structus; odiosas ergò
Serva et infaustas
Imprecationes aliis:
Hoc etenim curæ est mihi,
Ne benevolentiam abjicias *nostram*.

## STROPHE III.

*Ph.* Hei mihi! nunc alicubi cani
Littore ponti insidens
Ridet me, manu vibrans
Meum miseri altricem arcum,
Quem nemo unquam portavit,
O chare arcus, O charis
Extorte manibus,

μὴ διὰ τούτων κτήσῃ ἡμᾶς ἐχθρούς. Θεὸς γὰρ τῆς δυστυχίας ταύτης παραίτιος, οὐχ ἡμεῖς γεγόναμεν, οὔτε δόλῳ ὑπεισελθόντες, οὔτε ἄλλο τι πραγματευσάμενοι. 1148. Ἀρὰν ἀρὰν ἐπ' ἄλλοις] δεῖ ἀκέεσθαι ἐπὶ τῶν μάτην καταρωμένων. σαυτῷ γὰρ ἐγένου τούτων αἴτιος, ἰδικῶς οὖν καταρῶ τοῖς ἄλλοις, καὶ μὴ κοινῶς καὶ ἡμῖν. 1149. Καὶ γὰρ ἐμοὶ τοῦτο μέλει] μέλει μοι τὸ παραινέσαι σοι ἵνα μὴ ἀπώσῃ τὴν φιλίαν. οἷον, οὐ θέλω σε ἐχθρὸν ἡμῖν καταστῆσαι. καὶ διὰ τοῦτο παραινῶ μὴ ἀπώσασθαι τὴν φιλίαν ἡμῶν.



Digitized by Google

Ἦ που ἐλεεινὸν ὁρᾷς, φρένας εἴ τινας
Ἴσχεις, τὸν Ἡράκλειον
Ἄεθλον ὧδέ σοι
Οὐκέτι χρησόμενον τὸ μεθύστερον.
Ἀλλ' ἐν μεταλλαγᾷ
Πολυμηχάνου ἀνδρὸς ἐρέσσῃ,
Ὁρῶν μὲν αἰσχρὰς ἀπάτας,
Στυγνὸν δὲ φῶτ' ἐχθοδοπὸν
Μυρί' ἀπ' αἰσχρῶν ἀνατέλλον-
θ' ὅσ' ἐφ' ἡμῖν κάκ' ἐμήσατ' Ὀδυσσεύς.

Χο. Ἀνδρός τοι τὸ μὲν εὖ, δίκαιον εἰπεῖν.
Εἰπόντος δὲ, μὴ φθονερὰν
Ἐξῶσαι γλώσσας ὀδύναν·
Κεῖνος δ' εἷς ἀπὸ πολλῶν
Ταχθεὶς, τοῦδ' εὐφημοσύνᾳ
Κοινὰν ἤνυσεν
Ἐς φίλους ἀρωγάν. —

Φιλ. Ὦ πλαναὶ θῆραι, χαροπῶν

1159. Ἔχεις, τὸν Ἡράκλειον ἄθλον] ἀντὶ τοῦ ἐμὲ τὸν τοῦ Ἡρακλέους διάδοχον, ἢ ἐμὲ τὸν ἐπὶ τῷ Ἡρακλεῖ ἆθλον ποιήσαντα τὴν πυρὰν, καὶ ὑφάψαντα αὐτήν. 1168. Ἀνδρός τοι τὸ μὲν εὖ] ἀγαθοῦ μὲν ἀνδρός ἐστι, τὸ ἀληθὲς ἐν καιρῷ λέγειν, (δίκαιον γὰρ νῦν φησὶ τὸ ἀληθές· εὖ δὲ, τὸ ἐν καιρῷ.) ὀφείλει δὲ καὶ ὁ ἀκούων μὴ ἐκφαυλίζειν τὰ λεγόμενα. τοῦτο δέ φησιν ὅτι ὁ μὲν Νεοπτόλεμος τὸ ἀληθὲς εἶπεν, ὁ δὲ Φιλοκτήτης ἐξηυτέλισεν. Εἰς τὸ αὐτό. ἀγαθοῦ μὲν ἀνδρός ἐστι τὸ δίκαιον εἰπεῖν· εἰπόντα

δὲ

Certè nunc mœstum geris vultum, siquid mentis
Habes, cum Herculis
Compar ita te non amplius
In posterum sit usurus,
Sed, mutato domino,
Fraudulenti viri *manibus* tractaris,
Cernens quidem turpes fraudes
Virumque odiosum, hostem mihi,
Infinita dolis iisdem turpibus edentem mala,
Quanta in me machinatus est Ulysses.

## Strophe IV.

*Ch.* Boni quidem viri est justa eloqui,
Et cum dixerit alius, non invidiosum
Effundere linguæ dolorem;
Ille verò unus ab exercitu
Constitutus, hujus consilio usus
Communem tulit
Sociis opem.

## Antistrophe III.

*Ph.* O volucrum prædæ, O fulvarumque

δὲ, μὴ φθονεῖσθαι. φησὶ δὲ ὅτι ἐκ ἔδει σε τῷ Νεοπτολέμῳ φθονεῖν, εἰπόντι τὰ δίκαια. κατὰ κοινῦ δὲ τὸ δίκαιον, ὅτως, ἀγαθῦ ἀνδρός ἐςι, τὸ λέγειν τὸ δίκαιον. δίκαιον δὲ καί σε ὁμολογεῖν, ὅτι εὖ πέπρακται. ἀκέοντα δὲ τῦτο, μὴ φθονερόν τι ᾗ ὀδυνηρὸν ἐπιφθέγξασθαι. 1171. Εἷς ἀπὸ πολλῶν] εἷς ἀπὸ πολλῶν συμμάχων. 1172. Τῦδ' ἐφημοσύνᾳ] τὸ ἑξῆς, τῦδ' ἐφημοσύνᾳ ἤνυσε κοινὰν ἐς φίλυς ἀρωγάν. 1175. Ὦ πλαναὶ θῆραι] ἀντὶ τῦ· ὦ πτηνῶν ἄγραι. ἀγρεύει γὰρ ᾗ πτηνά. 1178.

Τ' ἔθνη θηρῶν, ὓς ὅδ' ἔχει
Χῶρος ὀρεσιβώτας,
Φυγᾷ μ' οὐκέτ' ἀπ' αὐλίων
Πελᾶτ', οὐ γὰρ ἔχω χεροῖν
Τὰν πρόσθεν βελέων ἀλκάν,
Ὦ δύστηνος ἐγὼ τανῦν·
Ἀλλ' ἀνέδην ὅδε χῶρος ἐρύκεται,
Οὐκέτι φοβητὸς ὑμῖν.
Ἕρπετε νῦν καλὸν
Ἀντίφονον κορέσαι στόμα πρὸς χάριν·
Τᾶς δ' αἰόλας σαρκός.
Ἀπὸ γὰρ βίον αὐτίκα λείψω.
Πόθεν γὰρ ἔσται βιοτά;
Τίς ὧδ' ἐν αὔραις τρέφεται,
Μηκέτι μηδενὸς κρατύνων
Ὅσα πέμπει βιόδωρος αἶα;

**Χο.** Πρὸς θεῶν εἴτι σέβῃ ξένον πέλασσον
Εὐνοίᾳ πάσᾳ πελάταν.
Ἀλλὰ γνῶθ' εὖ γνῶθ', ὅτι σοὶ

1178. Φυγᾷ μ' οὐκέτ' ἀπ' αὐλίων] ἀντὶ τοῦ οὐκέτι φεύξεσθέ με. οὐκέτι μετὰ φυγῆς καὶ φόβου προσπελάσετέ μου. 1182. Ἀλλ' ἀνέδην ὅδε χῶρος] ἀνειμένος καὶ ἡπλωμένος. ἢ ἐπ' ἐξουσίας ὁ τόπος ὑμῖν οὗτος ἀνεῖται. ἀντὶ τοῦ, ἀδείᾳ ὑπὸ τῶν θηρῶν ὁ τόπος κατασχεθήσεται. 1183. Φοβητὸς] φόβον ἐμποιῶν. 1186. Σαρκὸς αἰόλας] ποικίλης, διὰ τὰ τραύματα. 1189. Τίς ὧδ' ἐν αὔραις] τίς τρέφεται ἐξ ἀνέμων, ἢ τίς ἐν τοῖς ἀνέμοις ἀναστρέφεται καὶ διάγει, μηδενὸς τῶν ἐκ γῆς τροφίμων εὐπορῶν; 1190. Κρατύνων] ἐγκρατὴς ὤν, εὐπορῶν. 1192. Εἴτι σέβῃ ξένον] ἑαυτὸν φησιν ὁ χορός· ὅτι ἐμοὶ τῷ ξένῳ μετ' εὐνοίας

Gentes ferarum, quas hæc tenet
Regio monticolas,
Cum timore non amplius appropinquate, nec
fugite ab hoc antro,
Non enim habeo amplius præ manibus
Priſtinum telorum robur.
(O quam miſer nunc ſum!)
Verum hic locus præſidio vacat omni,
Non ampliùs metuendus vobis.
Accedite huc commodùm,
Ut veſtra viciſſim perimentia ora exſaturetis ad libitum
Carne meâ variâ:
Nam ſtatim vitam relinquam.
Unde etenim erit mihi victus?
Quis ità aurâ veſcitur,
Cùm non amplius habet victum
Ex his quæ terra altrix præbet?

ANTISTROPHE IV.

*Ph.* Per Deos oro, ſi quid colis hoſpitem,
Accedito omni cum benevolentia Neoptolemum ad hoſpitem.
Certo hoc ſcias velim, quòd tibi

εὐνοίας πρόσελθε. ἀντὶ τοῦ, φίλος ἡμῖν γενοῦ. 1194. Ἀλλὰ γνῶθ', εὖ γνῶθι] οὕτω τινὲς γίζουσιν, ἀλλὰ γνῶθ', εὖ γνῶθι. οἷ, τὰ ὄντα σοι μάνθανε τὰ περὶ τῆς νόσου. ὁ δὲ ἀλλὰ ἀντὶ τοῦ δέ· γνῶθι δέ. εἴη ἡ οὕτω, πρὸς θεῶν, εἴτι σέβῃ ξένον πελάται, πέλασον πάσῃ εὐνοίᾳ, γνῶθι ὅτι κῆρα τήνδ' ἀποφυγεῖν σοι πάρεστιν, εἰ πεισθείης ἡμῖν. ὅ ἐστι τὴν νόσον. οὗτος δὲ, ταῦτα λεγόντων, συνίησιν ὅτι παραινοῦσιν αὐτῷ εἰς Ἴλιον ἐλθεῖν. πρὸς ὃ ἀνακράζει τὸ πάλιν πάλιν. πάλιν τῶν τῆς Ἰλίου με τόπων ἀνέμνησας, ἢ τῶν οἰκείων κακῶν. ὑγιῶς δὲ ἔχει, περιστεύσης τῆς ἐν πρεσβύσεως.

Κῆρα τάνδ' ἀποφυγεῖν.
Οἰκτρὰ γὰρ βόσκειν· ἀδαὴς
Δ' ἔχειν μυρίον
Ἄχθος ᾧ ξυνοικεῖ.

Φιλ. Πάλιν πάλιν παλαιὸν
Ἄλγημ' ὑπέμνασάς με,
Ὦ λῷστε τῶν πρὶν ἐντόπων.
Τί μ' ὤλεσας; τί μ' εἴργασαι; —
Χο. Τί τοῦτ' ἔλεξας;
Φιλ. Εἰ σὺ τὰν ἐμοὶ στυγερὰν
Τρῳάδα γᾶν ἤλπισάς μ' ἄξειν.
Χο. Τόδε γὰρ νοῶ κράτιστον.
Φιλ. Ἀπό νῦν με λείπετ' ἤδη.
Χο. Φίλα μοι, φίλα ταῦτα
Παρήγγειλας ἑκόντι τε πράσσειν.
Ἴωμεν, ἴωμεν ναὸς ἵν' ἡμῖν τέτακται.
Φιλ. Μὴ πρὸς ἀραίου Διὸς ἔλθῃς ἱκετεύω.
Χο. Μετρίαζε.
Φιλ. Ὦ ξένοι, μείνατε πρὸς θεῶν.
Χο. Τί θροεῖς;
Φιλ. Αἶ αἶ αἶ αἶ· δαίμων, δαίμων,
Ἀπόλωλ', ὦ τάλας.
Ὦ πούς, πούς, τί σ' ἔτ' ἐν βίῳ

1201. Ὦ λῷστε τῶν πρὶν ἐντόπων] ὦ βέλτιστε τῶν πλησιασάντων μοι πρὶν, ἢ τῶν περὶ Ὀδυσσέα. 1204. Εἰ σὺ τὰν ἐμοὶ] λείπει ἡ εἰς ἣν ἤ, εἰς τὴν μισουμένην μοι. 1208. Φίλα μοι, φίλα] ἐμοὶ βουλομένῳ ἡδέως ἀποπλεῦσαι, φίλα ἐστὶν ἃ κελεύεις, καὶ ἡδέα. 1210. Ἴωμεν ναὸς ἵν' ἡμῖν] ὅπου ἡμῖν ἀφῖκται ἡ ναῦς. ἐπὶ τῆς ναὸς, ἀντὶ τοῦ εἰς τὴν ναῦν.

1211.

Calamitatem hanc effugere liceat.
Miserè enim victitare velle, cum nesciat
Ferre infinitum
Onus, cui tandem assidet viro?

## MONOSTROPHICA.

*Ph.* Iterum iterumque veteris doloris
Memoriam refricasti,
O optime hospes.
Cur me perdis? quid mihi facis?
*Ch.* Cur hoc dixisti?
*Ph.* An tu mihi invisam
Ad Troicam terram speras me ducturum?
*Ch.* Hoc enim optimum esse judico.
*Ph.* Ab hoc tempore me relinquite protinùs.
*Ch.* Gratam mihi, gratam rem
Mandasti, quam sponte volebam facere.
Eamus, eamus ad navem, uti nobis ante est mandatum.
*Ph.* Ne per Jovem supplicum præsidem abeas, obsecro.
*Ch.* Sis ergo moderatior.
*Ph.* O hospites, manete per Deos, oro.
*Ch.* Quid clamas?
*Ph.* Heu, heu, heu! Genius, Genius,
Perii miser.
O pes, pes, quid agam

1211. Μὴ πρὸς ἀραίου] ἀρὰ ἡ εὐχή. ἀραῖος δὲ ᾧ πάντες προσευχόμεθα, ἢ ὃν ἐπικαλούμεθα ἀρώμενοι. ὥσπερ δὲ ἱκέσιον λέγουσι τοῦ τοὺς ἱκέτας ἐποπτεύοντος, οὕτως ἀραίου τοῦ τοὺς ἀρωμένους ἐπισκοποῦντος. Ib. Ἔλθῃς] ἀντὶ τοῦ ἀπέλθῃς. 1218. Τὸ μετόπιν] μετὰ ταῦτα, μετόπισθεν.



Digitized by Google

Τεύξω τὸ μετόπιν τάλας;
Ὦ ξένοι, ἔλθετ' ἐπήλυδες αὖθις.
Χο. Τί ῥέξοντες ἀλλοκότῳ γνώμᾳ
Τῶν πάρος ὧν προὔφανες;
Φιλ. Οὔτοι νεμεσητὸν
Ἀλύοντα χειμερίῳ λύπᾳ,
Καὶ παρὰ νοῦν θροεῖν.
Χο. Βᾶθί νυν, ὦ τάλαν, ὥς σε κελεύομεν.
Φιλ. Οὐδέποτ', οὐδέποτ' (ἴσθι τόδ' ἔμπεδον)
Οὐδ' εἰ πυρφόρος ἀστεροπητὰς
Βρονταῖς αὐταῖς μ' εἶσι φλογίζων.
Ἐῤῥέτω Ἴλιον, οἵ θ' ὑπ' ἐκείνῳ
Πάντες, ὅσοι τόδ' ἔτλασαν ἐμοῦ ποδὸς
Ἄρθρον ἀπῶσ'· ἀλλ', ὦ ξένοι, ἕν γέ μοι
Εὖχος ὀρέξατε.
Χο. Ποῖον ἐρεῖς τόδ' ἔπος;
Φιλ. Ξίφος εἴ ποθεν,
Ἢ γένυν, ἢ βελέων τι, προπέμψατε.
Χο. Ὡς τίνα ῥέξειας παλάμαν ποτέ;
Φιλ. Κρᾶτ' ἀπὸ πάντα καὶ ἄρθρα τεμῶ χερί.
Φονᾷ, φονᾷ νόος ἤδη.
Χο. Τί ποτε;

1219. Ἐπήλυδες] αὐτόματοι. 1220. Τί ῥέξοντες] τί πράξοντες ἐναντίᾳ γνώμῃ ἕτερον παρὰ τὸ πρότερον; 1223. Χειμερίῳ λύπᾳ] ταραχώδει πάθει, μεταφορικῶς. οὐκ ἔστι (φησὶ) μεμπτὸν τῷ δυστυχοῦντι τὸ παραφθέγγεσθαι. 1226. Ἴσθι τόδ' ἔμπεδον] τοῦτο γίγνωσκε, ὅτι οὐκ ἔρχομαι; οὐδ' εἰ αὐτὸς ὁ Ζεὺς πυρφόρος μετέλθοι με ταῖς βρονταῖς τουτέστιν, οὐδ' εἰ κεραυνοῖ με ὁ Ζεὺς ἂν μὴ ἔλθω. γράφεται καὶ αὐταῖς, ταῖς

Tecum posthac in vitâ miser?
Quæso revertimini iterum, hospites.

*Ch.* Quid facturi sumus aliud,
Quàm quod antea ostendisti?

*Ph.* Non est indignè tolerandum,
Siquis oppressus tempestate doloris,
Et delirus vociferetur.

*Ch.* I nunc ergo, O miser, ut te jubemus.

*Ph.* Nunquam, nunquam, (hoc firmum scito.)
Ne si me ignifer Tonans
Ipsis cum fulminibus iret accensum.
Intereat Ilium, et omnes qui illic bellum gerunt,
Quotquot sustinuerunt mei pedis
Propter articulum me abjicere; at, O hospites,
Unum saltem mihi concedite votum.

*Ch.* Quidnam istud erit?

*Ph.* Si quis gladius,
Aut ascia, vel telorum aliquid vobis est, prius mittite.

*Ch.* Quam rem facturus es tandem?

*Ph.* Caput et membra omnia manu abscindam:
Mortem enim, jam mens mortem expetit.

*Ch.* Quid ita?

ταῖς βροντῶν αὐγαῖς ταῖς κεραυνίαις. ἔστι μὲν λαβεῖν καὶ βροντᾶς, ἀντὶ τοῦ βροντήσας. καθάπερ καὶ ἐν Ὑδροφόροις τὸν Διόνυσον εἶπε Βακχᾶν, ἀντὶ τοῦ Βακχευτάν. 1235. Ἤ γένυν, ἢ βελέων τι] ἀντὶ τοῦ πέλεκυν, ἢ γενῆδα, ἢ ἀξίνην. 1236. Παλάμαν] πρᾶξιν. ὅθεν καὶ παλαμᾶσθαι. ἢ τέχνην. 1238. Φονᾷ] φονᾷ, θανατιᾷ, θανάτου ἐπιθυμεῖ.



Digitized by Google

Φιλ. Πατέρα μαστεύων.

Χο. Ποῖ γᾶς;

Φιλ. Εἰς ᾅδου· οὐ γάρ ἐς' ἐν φάει γ' ἔτι.
Ὦ πόλις, ὦ πόλις πατρία,
Πῶς ἂν εἰσίδοιμί σ' ἄθλιός γ' ἀνήρ·
Ὅς γε σὰν λιπὼν ἱερὰν λιβάδ', ἐχθροῖς ἔβαν
Δαναοῖς ἀρωγός, ἔτ' οὐδέν εἰμι. —

Χο. Ἐγὼ μὲν ἤδη καὶ πάλαι νεὼς ὁμοῦ
Στείχων ἂν ἦν σοι τῆς ἐμῆς, εἰ μὴ πέλας
Ὀδυσσέα σείχοντα, τόν τ' Ἀχιλλέως
Γόνον πρὸς ἡμᾶς δεῦρ' ἰόντ' ἐλεύσσομεν.
Οδ. Οὐκ ἂν φράσειας ἥν τιν' αὖ παλίντροπος
Κέλευθον ἕρπεις ὧδε σὺν σπουδῇ ταχύς;
Νε. Λύσων ὅσ' ἐξήμαρτον ἐν τῷ πρὶν χρόνῳ.
Οδ. Δεινόν γε φωνεῖς· ἡ δ' ἁμαρτία τίς ἦν;
Νε. Ἣν σοὶ πιθόμενος τῷ τε σύμπαντι σρατῷ.
Οδ. Ἔπραξας ἔργον ποῖον ὧν οὐ σοι πρέπον;
Νε. Ἀπάταισιν αἰσχραῖς ἄνδρα καὶ δόλοις ἑλών·
Οδ. Τὸν ποῖον; ὤμοι· μῶν τι βουλεύῃ νέον;
Νε. Νέον μὲν οὐδέν, τῷ δὲ Ποίαντος τόκῳ.
Οδ. Τί χρῆμα δράσεις; ὥς μ' ὑπῆλθέ τις φόβος.
Νε. Παρ' οὗπερ ἔλαβον τάδε τὰ τόξ', αὖθις πάλιν—
Οδ. Ὦ Ζεῦ, τί λέξεις; οὔ τι που δοῦναι νοεῖς;

1245. Ὅς γε σὰν λιπὼν] ὅς τις ποτὲ καταλιπών σε, ἐπὶ τῷ βοηθεῖν τοῖς Ἕλλησιν, οὐκ ἔτι οὐδὲν εἰμί. Ib. Ἱερὰν λιβάδ'] τὴν τοῦ ἐπιχωρίου ποταμοῦ. 1247. Ἐγὼ μὲν ἤδη] ἐντεῦθεν διπλοῦν ἐσι τὸ ἐπεισόδιον. 1248. Στείχων ἂν ἦν σοι] ἐπορευόμην ἄν. τὸ δὲ σοί, παρέλκει. 1251.

Ἤν

*Ph.* Patrem quærens meum.
*Ch.* Ubi terrarum?
*Ph.* Apud orcum; non enim amplius luce hâc fruitur.
O urbs, O urbs patria,
Quomodo te aſpicerem ita ærumnis preſſus,
Qui tua flumina ſacra reliquerim Danaiſque
Inviſis ſuppetias tulerim? nullus ſum.

IAMBI.

*Ch.* Ego quidem jamdudùm hinc ad navem
Abiiſſem meam tecum, niſi prope
Ulyſſem venientem, Achilliſque filium
Ad nos huc accedere cernerem.
*Ul.* Non ergò dices cur viam hanc reverſus
Carpas, tam ſedulò tantaque cum celeritate?
*Ne.* Ibam piaturus, quæcunque deliqui priùs.
*Ul.* Narras rem gravem: quid verò peccati eſt?
*Ne.* Quod nempe commiſi, tibi obediens, univerſoque exercitui.
*Ul.* Quodnam feciſti facinus quod te haud deceat?
*Ne.* Dolis quòd turpibus et fraude ceperim virum.
*Ul.* Quemnam? hei mihi! numquid moliris novi?
*Ne.* Nihil quidem novi. Pœantis autem filio —
*Ul.* Quid rei facturus es? quàm me inceſſit metus?
*Ne.* A quo enim accepi hoſce arcus, eos iterum ei—
*Ul.* O Jupiter, quid dicis? an quæſo reddere cogitas?

Ἧτιν' αὖ] ἀντὶ τοῦ εἰς ποῖον τόπον ἀπέρχῃ οὕτω σπουδαίως; Ib. Παλίντροπος] ἐξ ὑποστροφῆς. τοῦτο δὲ ὁ Νεοπτόλεμος ἀποδοῦναι βουλόμενος τὰ τόξα τῷ Φιλοκτήτῃ, ἐπιπλήσσεται ὑπὸ τοῦ Ὀδυσσέως.

1267.

Φιλ. Πατέρα ματεύων.
Χο. Ποῖ γᾶς;
Φιλ. Εἰς ᾅδου· οὐ γάρ ἐστ' ἐν φάει γ' ἔτι.
Ὦ πόλις, ὦ πόλις πατρία,
Πῶς ἂν εἰσίδοιμί σ' ἄθλιός γ' ἀνήρ·
Ὅς γε σὰν λιπὼν ἱερὰν λιβάδ', ἐχθροῖς ἔβαν
Δαναοῖς ἀρωγός, ἔτ' οὐδέν εἰμι.—

Χο. Ἐγὼ μὲν ἤδη καὶ πάλαι νεὼς ὁμοῦ
Στείχων ἂν ἦν σοι τῆς ἐμῆς, εἰ μὴ πέλας
Ὀδυσσέα στείχοντα, τόν τ' Ἀχιλλέως
Γόνον πρὸς ἡμᾶς δεῦρ' ἰόντ' ἐλεύσσομεν.
Οδ. Οὐκ ἂν φράσειας ἥν τιν' αὖ παλίντροπος
Κέλευθον ἕρπεις ὧδε σὺν σπουδῇ ταχύς;
Νε. Λύσων ὅσ' ἐξήμαρτον ἐν τῷ πρὶν χρόνῳ.
Οδ. Δεινόν γε φωνεῖς· ἡ δ' ἁμαρτία τίς ἦν;
Νε. Ἣν σοὶ πιθόμενος τῷ τε σύμπαντι στρατῷ.
Οδ. Ἔπραξας ἔργον ποῖον ὧν οὔ σοι πρέπον;
Νε. Ἀπάταισιν αἰσχραῖς ἄνδρα καὶ δόλοις ἑλών·
Οδ. Τὸ ποῖον; ὤ μοι· μῶν τι βουλεύῃ νέον;
Νε. Νέον μὲν οὐδέν, τῷ δὲ Ποίαντος τόκῳ.
Οδ. Τί χρῆμα δράσεις; ὥς μ' ὑπῆλθέ τις φόβος.
Νε. Παρ' οὗπερ ἔλαβον τάδε τὰ τόξ', αὖθις πάλιν—
Οδ. Ὦ Ζεῦ, τί λέξεις; οὔ τι που δοῦναι νοεῖς;

1245. Ὅς γε σὰν λιπών] ὅς τις ποτὲ καταλιπών σε, ἐπὶ τῷ βοηθεῖν τοῖς Ἕλλησιν, οὐκ ἔτι οὐδὲν εἰμί. Ib. Ἱερὰν λιβάδ'] τὴν τοῦ ἐπιχωρίου ποταμοῦ. 1247. Ἐγὼ μὲν ἤδη] ἐντεῦθεν διπλοῦν ἐστι τὸ ἐπεισόδιον. 1248. Στείχων ἂν ἦν σοι] ἐπορευόμην ἄν. τὸ δὲ σοί, παρέλκει. 1251.

Ἢν

*Ph.* Patrem quærens meum.

*Ch.* Ubi terrarum?

*Ph.* Apud orcum; non enim amplius luce hâc fruitur.
O urbs, O urbs patria,
Quomodo te aſpicerem ita ærumnis preſſus,
Qui tua flumina ſacra reliquerim Danaiſque
Inviſis ſuppetias tulerim? nullus ſum.

IAMBI.

*Ch.* Ego quidem jamdudùm hinc ad navem
Abiiſſem meam tecum, niſi prope
Ulyſſem venientem, Achilliſque filium
Ad nos huc accedere cernerem.

*Ul.* Non ergò dices cur viam hanc reverſus
Carpas, tam ſedulò tantaque cum celeritate?

*Ne.* Ibam piaturus, quæcunque deliqui priùs.

*Ul.* Narras rem gravem: quid verò peccati eſt?

*Ne.* Quod nempe commiſi, tibi obediens, univerſoque exercitui.

*Ul.* Quodnam feciſti facinus quod te haud deceat?

*Ne.* Dolis quòd turpibus et fraude ceperim virum.

*Ul.* Quemnam? hei mihi! numquid moliris novi?

*Ne.* Nihil quidem novi. Pœantis autem filio —

*Ul.* Quid rei facturus es? quàm me inceſſit metus?

*Ne.* A quo enim accepi hoſce arcus, eos iterum ei—

*Ul.* O Jupiter, quid dicis? an quæſo reddere cogitas?

Ἥντιν' αὖ] ἀντὶ τοῦ εἰς ποῖον τόπον ἀπέρχῃ οὕτω σπουδαίως; Ib. Παλίντροπος] ἐξ ὑποστροφῆς. τοῦτο δὲ ὁ Νεοπτόλεμος ἀποδοῦναι βουλόμενος τὰ τόξα τῷ Φιλοκτήτῃ, ἐπιπλήσσεται ὑπὸ τοῦ Ὀδυσσέως.

1267.

Digitized by Google

Νε. Αἰσχρῶς γὰρ αὐτὰ κοὐ δίκῃ λαβὼν ἔχω.
Οδ. Πρὸς θεῶν, πότερα δὴ κερτομῶν λέγεις τάδε;
Νε. Εἰ κερτόμησίς ἐστι τἀληθῆ λέγειν.
Οδ. Τί φῂς, Ἀχιλλέως παῖ; τίν' εἴρηκας λόγον;
Νε. Δὶς ταὐτὰ βούλει καὶ τρὶς ἀναπολεῖν μ' ἔπη;
Οδ. Ἀρχὴν κλύειν ἂν οὐδ' ἅπαξ ἐβουλόμην.
Νε. Εὖ νῦν ἐπίστω, πάντ' ἀκηκοὼς λόγον.
Οδ. Ἔστιν τις ἔστιν, ὅς σε κωλύσει τὸ δρᾶν.
Νε. Τί φῄς; τίς ἔσται μ' οὑ 'πικωλύσων τάδε;
Οδ. Ξύμπας Ἀχαιῶν λαός· ἐν δὲ τοῖσδ' ἐγώ.
Νε. Σοφὸς πεφυκὼς, οὐδὲν ἐξαυδᾷς σοφόν.
Οδ. Σὺ δ' οὔτε φωνεῖς, οὔτε δρασείεις σοφόν.
Νε. Ἀλλ' εἰ δίκαια, τῶν σοφῶν κρείσσω τάδε.
Οδ. Καὶ πῶς δίκαιον, ἅ γ' ἔλαβες βουλαῖς ἐμαῖς,
Πάλιν μεθεῖναι ταῦτα;
Νε. Τὴν ἁμαρτίαν
Αἰσχρὰν ἁμαρτὼν, ἀναλαβεῖν πειράσομαι.
Οδ. Στρατὸν δ' Ἀχαίων οὐ φοβῇ πράσσων τάδε;
Νε. Ξὺν τῷ δικαίῳ τὸν σὸν οὐ ταρβῶ φόβον.
Ἀλλ' οὐδέ τοι σῇ χειρὶ πείθομαι τὸ δρᾶν.
Οδ. Οὔτ' ἆρα Τρωσὶν, ἀλλά σοι μαχούμεθα.
Νε. Ἔστω τὸ μέλλον.
Οδ. Χεῖρα δεξιὰν ὁρᾷς
Κώπης ἐπιψαύουσαν;
Νε. Ἀλλὰ κἀμέ τοι

1267. Ἀναπολεῖν μ' ἔπη] τὰ αὐτὰ λέγειν, ἀπὸ τῶν δεύτερον ἀναπολούντων τὴν ἠροτριασμένην γῆν.

ΣΧΟΛ.

*Ne.* Turpiter enim illos et injuste acceptos habeo.
*Ul.* Per Deos, num ista dicis ut me mordeas?
*Ne.* Imo, si vera dicere, morsio dici potest.
*Ul.* Quid ais, Achillis fili? Quid dixisti, obsecro?
*Ne.* Eademne bis terque vis me iterare verba?
*Ul.* Utinam initio ne semel quidem audissem.
*Ne.* Certo scias igitur, rem totam audisti.
*Ul.* Est aliquis, est qui vetabit hoc te facere.
*Ne.* Quid dicis? Quis est, qui me facere vetabit hoc?
*Ul.* Totus Achivorum populus, interque hos ego.
*Ne.* Sapiens licet sis, nihil sapienter profaris.
*Ul.* At tu nec loqueris, neque sapienter agere paras.
*Ne.* Atsi justa sint, sapientibus meliora sunt sermonibus.
*Ul.* Et quomodo justum sit ea, quæ nactus es meis
Consiliis, restituere?
*Ne.* Peccatum
Cum turpe commiserim, emendare jam conabor.
*Ul.* An tu non Achivorum copias metuis hæc faciens?
*Ne.* Patrans quod justum est, nihil metuo quod tu.
Neq. manus tua me persuaserit, ut minùs faciam.
*Ul.* Non ergò cum Trojanis, sed tecum pugnabimus.
*Ne.* Esto, quicquid futurum est.
*Ul.* Dextram vides
Gladii capulo appositam.
*Ne.* Et me quoque

ΣΧΟΛ. ΤΡΙΚΛ. 1282. Ἀλλ' οὐδέ τοι σῇ χειρὶ] ἀλλ' οὐδὲ πεισθήσομαι τῇ σῇ χειρὶ, ἤγουν τῇ δυνάμει, ταῦτα ποιεῖν.

Ταυτὸν τόδ᾽ ὄψει δρῶντα, καὶ μέλλοντ᾽ ἔτι.
Οδ. Καί τοι σ᾽ ἐάσω· τῷ δὲ σύμπαντι στρατῷ
Λέξω τάδ᾽ ἐλθὼν, ὅς σε τιμωρήσεται.
Νε. Ἐσωφρόνησας· κἂν τὰ λοίφ᾽ οὕτω φρονῇς,
Ἴσως ἂν ἐκτὸς κλαυμάτων ἔχοις πόδα.
Σὺ δ᾽, ὦ Ποίαντος παῖ, (Φιλοκτήτην λέγω)
Ἔξελθ᾽ ἀμείψας τάσδε πετρήρεις στέγας.
Φιλ. Τίς αὖ παρ᾽ ἄντροις θόρυβος ἵσταται βοῆς;
Τί μ᾽ ἐκκαλεῖσθε; τοῦ κεχρημένοι ξένοι;
Ὤ μοι· κακὸν τὸ χρῆμα· μῶν τί μοι μέγα
Πάρεστε πρὸς κακοῖσι πέμποντες κακόν; —
Νε. Θάρσει· λόγους δ᾽ ἄκουσον οὓς ἥκω φέρων.
Φιλ. Δέδοικ᾽ ἔγωγε· καὶ τὰ πρὶν γὰρ ἐκ λόγων
Καλῶν κακῶς ἔπραξα, σοῖς πεισθεὶς λόγοις.
Νε. Οὔκουν ἔνεστι καὶ μεταγνῶναι πάλιν;
Φιλ. Τοιοῦτος ἦσθα τοῖς λόγοισι, χὤτέ μου
Τὰ τόξ᾽ ἔκλεπτες πιστὸς, ἀτηρὸς λάθρα.
Νε. Ἀλλ᾽ οὔτι μὴ νῦν· βούλομαι δέ σου κλύειν,
Πότερα δέδοκταί σοι μένοντι καρτερεῖν,
Ἢ πλεῖν μεθ᾽ ἡμῶν.
Φιλ. Παῦε, μὴ λέξῃς πέρα.
Μάτην γὰρ, ἂν εἴπῃς γε, πάντ᾽ εἰρήσεται.
Νε. Οὕτω δέδοκται;
Φιλ. Καὶ πέρα γ᾽ ἴσθ᾽ ἢ λέγω.
Νε. Ἀλλ᾽ ἤθελον μὲν ἄν σε πεισθῆναι λόγοις

ΣΧΟΛ. ΤΡΙΚΛ. 1294. Ἀμείψας] καταλιπών. 1304. Ἀτηρὸς] βλαβερός. παρὰ τὴν ἄτην. 1305. Ἀλλ᾽ οὔτι μὴ νῦν] δόλιος φανοῦμαι

Idem hoc facientem videbis atque cunctantem
*Ul.* Verùm te sinam, totique exercitui [nihil.
Dicam hæc, cum venero, qui te puniet dignissimè.
*Ne.* Sapuisti, et hoc deinde si sapueris modo,
Fortasse ætatem ages absque fletibus.
At tu, O Pœantis fili, (Philocteten dico)
Egredere, relicto hoc saxeo tecto.
*Ph.* Quis iterum clamor et tumultus oritur meum
apud antrum?
Quid me evocatis, quâ re egentes hospites? [estis,
Hei mihi! quid hoc mali est? an hujus gratiâ ad-
Ut majus mihi detis malum, ad mala priora?
*Ne.* Bono sis animo, audique verba, quæ affero.
*Ph.* Metuo sane: quippe et prius verbis [sermonibus.
Pulchris adductus incidi in malum, tuis credens
*Ne.* An nullus extat pœnitentiæ locus?
*Ph.* Tali usus es sermone, cum meos
Arcus furatus es, palàm fidus, noxius clàm.
*Ne.* Sed non ita jam. Ex te autem volo discere,
Utrum decretum sit tibi perdurare hìc,
An nobiscum navigare.
*Ph.* Desine, ne plura dicas.
Frustrà enim omnia dixeris.
*Ne.* Siccine tua est sententia?
*Ph.* Et plus (scito) quàm loqui queam.
*Ne.* Atqui, hercle, volebam *te* persuaderi dictis

μαι δηλονότι. 1308. Μὴ λέξῃς πέρα] μὴ περαιτέρω εἴπῃς. ὅσα γὰρ ἂν εἴπῃς, μάταια λέξεις.

Ἐμοῖσιν· εἰ δὲ μή τι πρὸς καιρὸν λέγων
Κυρῶ, πέπαυμαι.
Φιλ. Πάντα γὰρ φράσεις μάτην.
Οὐ γάρ ποτ' εὔνουν τὴν ἐμὴν κλήσῃ φρένα,
Ὅστις γ' ἐμοῦ δόλοισι τὸν βίον λαβὼν
Ἀπεστέρηκας, κᾆτα νουθετεῖς ἐμὲ
Ἐλθὼν ἀρίστου πατρὸς ἔχθιστος γεγώς.
Ὄλοισθ', Ἀτρεῖδαι μὲν μάλιστ', ἔπειτα δὲ
Ὁ Λαέρτου παῖς, καὶ σύ.
Νε. Μὴ 'πεύξῃ πέρα,
Δέχου δὲ χειρὸς ἐξ ἐμῆς βέλη τάδε.
Φιλ. Πῶς εἶπας; οὐκ ἄρα δεύτερον δολούμεθα;
Νε. Ἀπώμοσ' ἁγνοῦ Ζηνὸς ὕψιστον σέβας.
Φιλ. Ὦ φίλτατ' εἰπών, εἰ λέγεις ἐτήτυμα·
Νε. Τοὔργον παρέσται φανερόν· ἀλλὰ δεξιὰν
Πρότεινε χεῖρα, καὶ κράτει τῶν σῶν ὅπλων.
Οδ. Ἐγὼ δ' ἀπαυδῶ γ', ὡς θεοὶ ξυνίστορες,
Ὑπέρ τ' Ἀτρειδῶν, τοῦ τε σύμπαντος στρατοῦ.
Φιλ. Τέκνον, τίνος φώνημα; μῶν Ὀδυσσέως
Ἐπῃσθόμην;
Οδ. Σάφ' ἴσθι καὶ πέλας γ' ὁρᾷς,
Ὅς σ' ἐς τὰ Τροίας πεδί' ἀποστελῶ βίᾳ,
Ἐάν τ' Ἀχιλλέως παῖς, ἐάν τε μὴ θέλῃ.
Φιλ. Ἀλλ' οὔτι χαίρων, ἢν τόδ' ὀρθωθῇ βέλος.
Νε. Ἆ, μηδαμῶς· μὴ πρὸς θεῶν μεθῇς βέλος.

1324. Δολούμεθα] ἀπατώμεθα. 1329. Ἐγὼ δ' ἀπαυδῶ] μαρτύρομαι τοὺς θεούς, ὅτι ὃ ποιῶ, εἰς χάριν καὶ σωτηρίαν τῶν Ἀτρειδῶν ἐστι.
1335.

Meis; at opportunum ſi nihil eloquor,
Deſino.
*Ph.* Benè eſt, nam fruſtrà cuncta dixeris;
Nam benevolum tibi nunquam animum habebis
Qui mihi victum dolis acceptum [meum,
Abſtuliſti; et nunc moniturus me
Venis, optimi patris inimiciſſime fili.
Pereatis, Atridæ quidem primùm, deinde et
Laertæ filius, et tu.
*Ne.* Ne impreceris ultrà,
Accipe autem manu ex mea hæc tela.
*Ph.* Quid dicis? An denuò ergo decipimur?
*Ne.* Juro per ſancti Jovis ſummum numen.
*Ph.* O qui gratiſſima mihi dicis, ſi modo dicis vera.
*Ne.* Res ipſa declarabit, ſed dextram
Extende manum, tuaque arma recipe.
*Ul.* Ego verò abnego, (Dî ſint teſtes.)
Propter et Atridas, totumque exercitum.
*Ph.* Fili, cujus hæc eſt vox? Num Ulyſſem
Audio?
*Ul.* Certo ſcias, et propè quidem me vides,
Qui te ad Trojæ campos abducam vi,
Velit nolitve filius Achillis.
*Ph.* At non gaudebis, ſi modo hoc non erret telum.
*Ne.* Ah! nequaquam. Ne, per Deos, dimitte telum.

1335. Ἐάν τ' Ἀχιλλέως παῖς, ἐάν τε μὴ θέλῃ] οὐκ εἶπε τὸ θέλῃ, ἵνα μὴ δόξῃ συμψηφίσασθαι αὐτοῦ τῷ βουλήματι.

1343.

Digitized by Google

Φιλ. Μέθες με πρὸς θεῶν χεῖρα φίλτατον τέκνον.
Νε. Οὐκ ἂν μεθείην.
Φιλ. Φεῦ· τίν' ἄνδρα πολέμιον,
Ἐχθρόν τ' ἀφείλου μὴ κτανεῖν τόξοις ἐμοῖς;
Νε. Ἀλλ' οὔτ' ἐμοὶ τοῦτ' ἐστὶ καλὸν, οὔτε σοί.
Φιλ. Ἀλλ' οὖν τοσοῦτόν γ' ἴσθι, τοὺς πρώτους στρατοῦ,
Τοὺς τῶν Ἀχαιῶν ψευδοκήρυκας, κακοὺς
Ὄντας πρὸς αἰχμὴν, ἐν δὲ τοῖς λόγοις θρασεῖς.
Νε. Εἶεν· τὰ μὲν δὴ τόξ' ἔχεις, κοὐκ ἔσθ' ὅτου
Ὀργὴν ἔχοις ἂν, οὐδὲ μέμψιν εἰς ἐμέ.
Φιλ. Ξύμφημι· τὴν φύσιν δ' ἔδειξας, ὦ τέκνον,
Ἐξ ἧς ἔβλαστες· οὐχὶ Σισύφου πατρὸς,
Ἀλλ' ἐξ Ἀχιλλέως, ὃς μετὰ ζώντων θ' ὅτ' ἦν,
Ἤκου' ἄριστα, νῦν τε τῶν τεθνηκότων.—
Νε. Ἥσθην πατέρα τε τὸν ἐμὸν εὐλογοῦντά σε,
Αὐτόν τέ μ'· ὧν δέ σου τυχεῖν ἐφίεμαι,
Ἄκουσον· ἀνθρώποισι τὰς μὲν ἐκ θεῶν
Τύχας δοθείσας ἐστ' ἀναγκαῖον φέρειν
Ὅσοι δ' ἑκουσίοισιν ἔγκεινται βλάβαις,
Ὥσπερ σὺ, τούτοις οὔτε συγγνώμην ἔχειν
Δίκαιόν ἐστιν, οὔτ' ἐποικτείρειν τινά.
Σὺ δ' ἠγρίωσαι, κοὔτε σύμβουλον δέχῃ·
Ἐάν τε νουθετῇ τις εὐνοίᾳ λέγων,
Στυγεῖς, πολέμιον δυσμενῆ θ' ἡγούμενος.

1343. Ἀλλ' οὖν τοσοῦτον] ἀλλ' οὐ γενναῖον ἄνδρα φονεύσω. πάντες γὰρ οἱ κήρυκες τῶν Ἑλλήνων, ἀσθενεῖς εἰσὶ, καὶ ἡ ἀνδρία αὐτῶν, ἄχρι τοῦ λέγειν ἐστιν. 1354. Ἀνθρώποισι τὰς μὲν ἐκ θεῶν] πᾶς ἄνθρωπος ἐκ θεοῦ πάσχων, ἀνέγκλητός ἐστιν. ὅσοι δὲ διὰ τὴν ἰδίαν προαίρεσιν νοσοῦσιν, ὥσπερ

*Ph.* Mitte meam, per Deos, manum, chariſſime fili.
*Ne.* Non mittam.
*Ph.* Heu, cur virum hoſtem
Atq. inimicum prohibes me occidere ſagittis meis?
*Ne.* At neque mihi hoc eſt honeſtum, neque tibi.
*Ph.* Atqui hoc unum ſcito, principes exercitûs
Achivorum falſos præcones, ignavos
Eſſe ad pugnam, et verbis admodum feroces.
*Ne.* Eſto. Tu nunc quidem arcum habes, nec eſt cur
Iram geras, neque culpam conferas in me.
*Ph.* Fateor hoc ſpecimen dediſti, O fili, naturæ,
Ex qua ortus es, non e Siſypho patre,
Sed ex Achille, qui inter vivos cum eſſet,
Optime audiebat, et nunc inter mortuos audit.
*Ne.* Gaudeo patremque meum a te laudari,
Ipſumque me; quæ verò a te conſequi cupiam,
Accipe. Hominibus, quæ quidem a Diis
Accidunt mala, neceſſe eſt ferre:
Quicunque autem ſpontaneis jacent in malis,
Ut tu jaces, hiſce neque veniam dari jus eſt
Nec miſericordiam.
Tu verò ferus factus es, neque conſultorem ad- [mittis;
Et cum quis animo benevolo monet,
Odiſti, hoſtem et infenſum tibi exiſtimans.

ὥσπερ σὺ, οὐδὲ ἐλέους ἄξιοι τυγχάνουσι.
ΣΧΟΛ. ΤΡΙΚΛ. 1344. ψευδοκήρυκας] ἀντὶ τοῦ ψευδοπρεσβευτάς· ἢ ψευδῶς κηρυσσομένους καὶ ἐγκωμιαζομένους.

1364.

Ὅμως δὲ λέξω· Ζῆνα δ᾽ ὅρκιον καλῶ·
Καὶ ταῦτ᾽ ἐπίστω, καὶ γράφου φρενῶν ἔσω.
Σὺ γὰρ νοσεῖς τόδ᾽ ἄλγος ἐκ θείας τύχης,
Χρύσης πελασθεὶς φύλακος, ὃς τὸν ἀκαλυφῆ
Σηκὸν φυλάσσει κρύφιος οἰκουρῶν ὄφις·
Καὶ παῦλαν ἴσθι τῆσδε μή ποτ᾽ ἐντυχεῖν
Νόσου βαρείας, ὡς ἂν αὑτὸς ἥλιος
Ταύτῃ μὲν αἴρῃ, τῇδε δ᾽ αὖ δύνῃ πάλιν,
Πρὶν ἂν τὰ Τροίας πεδί᾽ ἑκὼν αὐτὸς μόλῃς·
Καὶ τῶν παρ᾽ ἡμῖν ἐντυχὼν Ἀσκληπιαδῶν,
Νόσου μαλαχθῇς τῆσδε· καὶ τὰ Πέργαμα
Σὺν τοῖσδε τόξοις, ξύν τ᾽ ἐμοὶ πέρσας φανῇς.
Ὡς δ᾽ οἶδα ταῦτα τῇδ᾽ ἔχοντ᾽, ἐγὼ φράσω.
Ἀνὴρ γὰρ ἡμῖν ἐστιν ἐκ Τροίας ἁλούς,
Ἕλενος ἀριστόμαντις, ὃς λέγει σαφῶς
Ὡς δεῖ γενέσθαι ταῦτα· καὶ πρὸς τοῖσδ᾽ ἔτι,
Ὡς ἔστ᾽ ἀνάγκη τοῦ παρεστῶτος θέρους,
Τροίαν ἁλῶναι πᾶσαν· ἢ δίδωσ᾽ ἑκὼν
Κτείνειν ἑαυτόν, ἢν τάδε ψευσθῇ λέγων.
Ταῦτ᾽ οὖν ἐπεὶ κάτοισθα, συγχώρει θέλων.
Καλὴ γὰρ ἡ ᾽πίκτησις, Ἑλλήνων ἕνα
Κριθέντ᾽ ἄριστον, τοῦτο μὲν Παιωνίας
Εἰς χεῖρας ἐλθεῖν· εἶτα τὴν πολύστονον

1364. Σὺ γάρ, νοσεῖς] σὺ γὰρ Φιλοκτήτη, νοσεῖς ἐκ θείας προνοίας πλησίον ἀπελθὼν τοῦ ὄφεως τοῦ φυλάττοντος τὸ ἱερὸν τῆς Ἀθηνᾶς· καὶ οὐκ ἔστι σοι ἴασις εἰ μὴ ὑπὸ τῶν Ἀσκληπιαδῶν. ἢ πλησίον ἐλθὼν τοῦ φύλακος τῆς νήσου τῆς Χρύσης, ὄφεως. 1369. Ταύτῃ μὲν αἴρῃ] ταύτῃ μὲν ἀνατέλλῃ, ταύτῃ δὲ δύνῃ· ὅ ἐστι διὰ παντός.



Digitized by Google

Tamen dicam; Jovemque testem advoco.
Hæc ergo scito; et in animum inscribito:
Tu enim morbo hoc affligeris divinitùs,
Chryses ad anguem custodem cum accesseris; qui
Delubrum custodit latens; [patulum
Nullamq. requiem scito te unquam adepturum
A morbo gravi, quamdiu ipse sol
Hâc quidem exoritur et illâc occidit iterum;
Priusquam Trojæ campos sponte tuâ adveneris;
Nostrisque medicis, Æsculapii filiis, usus
Levaberis hoc morbo; et Pergama
Hoc arcu simul et mecum excindas.
Unde verò novi hæc sic se habere; ego dicam,
Est enim nobis ex Troja vir captivus
Helenus, eximius vates, qui clare prædicat
Hæc ita fieri oportere; præterea quoque
Necesse esse hâc ipsâ æstate
Totam Trojam capi affirmat;
Sin minùs, offert se sponte suâ
Occidendum, mentitus hæc si fuerit.
Hæc proinde cum scias, concede lubens;
Pulcher enim thesaurus est Græcorum te unum
Judicatum præstantissimum, primum medicorum
In manus venire, deinde luctuosâ

ΣΧΟΛ. ΤΡΙΚΛ. 1354. Καὶ ταῦτ' ἐπίσω] παρὰ τὸ Ὁμηρικὸν, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν. 1382. Καλὴ γὰρ ἡ 'πίκτησις] ἡ κτῆσις τῆς δόξης. καλὸν κτῆμα ὠφεληθῆναί σε κατ' ἀμφότερα, κλέος κτώμενον ἐκ τῆς πορθήσεως τῆς Ἰλίου, καὶ θεραπευόμενον.

Τροίαν ἑλόντα, κλέος ὑπέρτατον λαβεῖν.
Φιλ. Ὦ στυγνὸς αἰὼν, τί με, τί δῆτ' ἔχεις ἄνω
Βλέποντα, κοὐκ ἀφῆκας εἰς ᾅδου μολεῖν;
Οἴμοι· τί δράσω; πῶς ἀπιστήσω λόγοις
Τοῖς τοῦδ', ὃς εὔνους ὢν ἐμοὶ παρῄνεσεν;
Ἀλλ' εἰκάθω δῆτ'· εἶτα πῶς ὁ δύσμορος
Εἰς φῶς τάδ' ἔρξας εἶμι; τῷ προσήγορος;
Πῶς ὦ τὰ πάντ' ἰδόντες ἀμφ' ἐμοὶ κύκλοι,
Ταῦτ' ἐξανασχήσεσθε, τοῖσιν Ἀτρέως
Ἐμὲ ξυνόντα παισὶν, οἵ μ' ἀπώλεσαν·
Πῶς τῷ πανώλει παιδὶ τοῦ Λαερτίου;
Οὐ γάρ με τἄλγος τῶν παρελθόντων δάκνει·
Ἀλλ' οἷα χρὴ παθεῖν με πρὸς τούτων ἔτι,
Δοκῶ προλεύσσειν· οἷς γὰρ ἡ γνώμη κακῶν
Μήτηρ γένηται, τἄλλα παιδεύει κακά.
Καὶ σοῦ δ' ἔγωγε θαυμάσας ἔχω τάδε.
Χρῆν γάρ σε μήτ' αὐτόν ποτ' ἐς Τροίαν μολεῖν,
Ἡμᾶς τ' ἀπείργειν, οἵτε σου καθύβρισαν
Γέρας πατρὸς συλῶντες, οἳ τὸν ἄθλιον
Αἴανθ' ὅπλων σοῦ πατρὸς ὕστερον δίκῃ
Ὀδυσσέως ἔκριναν· εἶτα τοῖσδε σὺ
Εἶ ξυμμαχήσων, καί μ' ἀναγκάζεις τόδε;

1392. Πῶς ὦ τὰ πάντ' ἰδόντες] τὰ περὶ ἐμὲ πάθη εἰδότες ἐνιαυτοὶ τοῦ αἰῶνος, χρόνοι. 1396. Οὐ γάρ μ' ἔτ' ἄλγος] οὐ λυπεῖ με (φησὶ) τὰ φθάσαντα, ἀλλὰ διὰ τὰ μέλλοντα δυσφορῶ. οἱ γὰρ ἔχοντες φαύλως τὴν γνώμην, ἀκόλουθα τῷ λογισμῷ διαπράττονται. 1400. Θαυμάσας ἔχω]

Trojâ expugnatâ gloriam summam consequi.
*Ph.* O vita odiosa, cur me, cur diu ità tenes
Videntem, neque finis ad inferos accedere? [am
Hei mihi! quid agam? quâ fronte fidem non habe-
Hujus sermonibus, qui mihi benevolus me hortatus
An ergo cedam? Deinde quomodo infelix [est.
In lucem prodibo, hæc cum fecero? quis me allo-
quetur? [bes,
Quomodo omnia videntes quæ mihi accidunt, or-
Hæc sustinebitis, ut ego Atrei
Cum filiis versèr, qui me perdiderunt? [auctore?
Quomodo cum Laertæ filio omnium malorum
Non enim me præteritorum dolor adeo mordet,
Ut ea quæ patienda sunt mihi ab eis postea,
Quæ præ-videre videor; quibus enim animus
Malorum genitor est, eos alia docet mala.
Teque adeo ego demiror, qui hæc suadeas,
Neque enim te ipsum decebat unquam ad Trojam
Venire, meq. etiam prohibere oportuit ab iis, qui
Te contumelia affecerunt paterno honore spoliatum,
Qui infelicem Ajacem in patris tui judicio armo-
Minorem Ulysse judicarunt. His tu ibis [rum
Auxilium laturus? meque ad idem cogis?

ἔχω] θαυμάζω σου καὶ καταγιγνώσκω σου.

ΣΧΟΛ. ΤΡΙΚΛ. 1398. Οἷς γὰρ ἡ γνώμη κακῶν] ὅτι οἱ ἔχοντες φαύλην γνώμην, ἀκόλουθα τῷ λογισμῷ διαπράττονται.

Μὴ δῆτα, τέκνον· ἀλλ' ἅ μοι ξυνώμοσας,
Πέμψον πρὸς οἴκους· καὐτὸς ἐν Σκύρῳ μένων
Ἔα κακῶς αὐτοὺς ἀπόλλυσθαι κακούς.
Χ' οὕτω διπλῆν μὲν ἐξ ἐμοῦ κτήσῃ χάριν,
Διπλῆν δὲ πατρός· κοὐ κακοὺς ἐπωφελῶν,
Δόξεις ὅμοιος τοῖς κακοῖς πεφυκέναι. —

Νε. Λέγεις μὲν εἰκότ'· ἀλλ' ὅμως σε βούλομαι
Θεοῖς τε πιστεύσαντα, τοῖς τ' ἐμοῖς λόγοις,
Φίλου μετ' ἀνδρὸς τοῦδε τῆσδ' ἐκπλεῖν χθονός.

Φιλ. Ἦ πρὸς τὰ Τροίας πεδία, καὶ τὸν Ἀτρέως
Ἔχθιστον υἱὸν, τῷδε δυστήνῳ ποδί;

Νε. Πρὸς τοὺς μὲν οὖν σε τήνδε τ' ἔμπυον βάσιν,
Παύσοντας ἄλγους, κἀποσώζοντας νόσου.

Φιλ. Ὦ δεινὸν αἶνον αἰνέσας, τί φῂς ποτε;

Νε. Ἃ σοί τε κἀμοὶ κάλλ' ὁρῶ τελούμενα.

Φιλ. Καὶ ταῦτα λέξας οὐ καταισχύνῃ θεούς;

Νε. Πῶς γάρ τις αἰσχύνοιτ' ἂν ὠφελούμενος;

Φιλ. Λέγεις δ' Ἀτρείδαις ὄφελος, ἢ 'π' ἐμοὶ τάδε;

Νε. Σοί που φίλος γ' ὤν, χὠ λόγος τοιόσδε μοι.

Φιλ. Πῶς, ὅς γε τοῖς ἐχθροῖσιν ἐκδοῦναι θέλεις;

Νε. Ὦ τᾶν, διδάσκου μὴ θρασύνεσθαι κακοῖς.

Φιλ. Ὀλεῖς με, γινώσκω σε, τοῖσδε τοῖς λόγοις.

1414. Θεοῖς τε πιστεύσαντα] διὰ τὴν Ἑλένου μαντείαν. 1418. Ἔμπυοι] δίυγρον· διὰ τὸ ἕλκος πύου πεπληρωμένον, ὅ ἐστι σήψεως. ὃ [illegible], ἀλλ' οὐδὲ πρὸς ἐκείνους ἄπει, ἀλλὰ καὶ τοὺς θεραπεύσαντάς σε. 1427.

Cave isthuc feceris, fili, sed quemadmodum mihi jurasti
Reduc ad ædes meas, & ipse in Scyro manens
Sinito malè illos interire malos,
Sicque duplicem a me inibis gratiam,
Duplicemque a patre: nec, malos
Adjuvando videberis similis malis esse naturâ.
*Ne.* Dicis quidem æqua, attamen te velim
Diisque auscultare, meisque sermonibus,
Cumque hoc amico ex hac terra navigare.
*Ph.* An ad Trojæ campos, et Atrei
Inimicissimum filium pede hoc miserrimo?
*Ne.* Ad eos quidem, qui te atque hunc purulentum
Pedem liberent dolore, teque morbo eripiant.
*Ph.* Heu fabulam dixisti acerbam, quid, quæso, loqueris?
*Ne.* Quæ tibiq. & mihi video honesta futura, si fiant.
*Ph.* Et cum ista dixeris, non erubescis Deos.
*Ne.* Quomodo enim quis erubescat, proximis opem [ferens?
*Ph.* De Atridarum ope loqueris hæc, an meâ?
*Ne.* Quia tibi amicus sum, ideo talis et mea oratio [est.
*Ph.* Quî sis amicus, qui me inimicis prodere velis?
*Ne.* O amice, discito non efferri in rebus malis.
*Ph.* Perdes me (intelligo te) hisce tuis dictis.

1427. Ὦ τᾶν δίδασκε] μάνθανε (φησὶ) μὴ ἐν τοῖς κακοῖς ἐπαίρεσθαι.

1441.

Digitized by Google

Νε. Οὔκουν ἔγωγε· φημὶ δ' οὔ σε μανθάνειν.
Φιλ. Ἔγωγ' Ἀτρείδας ἐκβαλόντας οἶδά με.
Νε. Ἀλλ' ἐκβαλόντες εἰ πάλιν σώσουσ' ὅρα.
Φιλ. Οὐδέποθ' ἑκόντα γ' ὥστε τὴν Τροίαν ἰδεῖν.
Νε. Τί δῆτ' ἂν ἡμεῖς δρῷμεν, εἴ σέ γ' ἐν λόγοις
Πείσειν δυνησόμεσθα μηδὲν ὧν λέγω;
Ὡς ῥᾷστ' ἐμοὶ μὲν τῶν λόγων λῆξαι, σὲ δὲ
Ζῆν ὥσπερ ἤδη ζῇς ἄνευ σωτηρίας.
Φιλ. Ἔα με πάσχειν ταῦθ' ἅπερ παθεῖν με δεῖ·
Ἃ δ' ᾔνεσάς μοι δεξιᾶς ἐμῆς θιγών,
Πέμπειν πρὸς οἴκους, ταῦτά μοι πρᾶξον, τέκνον.
Καὶ μὴ βράδυνε, μηδ' ἐπιμνησθῇς ἔτι
Τροίας· ἅλις γάρ μοι τεθρήνηται γόοις.

Νε. Εἰ δοκεῖ, στείχωμεν.
Φιλ. Ὦ γενναῖον εἰρηκὼς ἔπος.
Νε. Ἀντέρειδε νῦν βάσιν σήν.
Φιλ. Εἰς ὅσον γ' ἐγὼ σθένω.
Νε. Αἰτίαν δὲ πῶς Ἀχαιῶν φεύξομαι;
Φιλ. Μὴ φροντίσῃς.
Νε. Τί γάρ, ἐὰν πορθῶσι χώραν τὴν ἐμήν;
Φιλ. Ἐγὼ παρών,

1441. Ἅλις γάρ μοι τεθρήνηται λόγοις] γράφεται γόοις. πολλὰ διὰ Τροίαν πέπονθα (φησίν) 1442. Εἰ δοκεῖ, στείχωμεν] ἐπὶ τὴν πατρίδα. ἀπατᾷ δὲ αὐτὸν καὶ θέλει ἄξαι εἰς τὴν Τροίαν. 1446. Αἰτί-

αν

Digitized by Google

*Ne.* Non perdo, dico autem te non intelligere.
*Ph.* Ego certe Atridas satis novi, qui me abjecerunt.
*Ne.* At, si qui ejecerunt priùs, iterum servabunt, vide.
*Ph.* Non unquam volentem, ut Trojam aspiciam.
*Ne.* Quid ergo nos faciamus? si tibi sermonibus,
Quos dico, persuadere neutiquam possumus.
Facillimum quidem mihi est supersedere sermonibus, teque
Sinere, ut vivas, prout jam vivis, absq. salute.
*Ph.* Sine me pati hæc, quæ me oportet pati.
Quæ verò promisisti mihi dextrâ datâ acceptâque
In ædes ut reducas me meas, hæc mihi confice,
Neque cuncteris, nec memineris amplius [nate.
Trojæ; satis enim mihi deplorata est fletibus.

TROCHÆI.

*Ne.* Eamus ergo si videtur.
*Ph.* O verbum loquutus nobile!
*Ne.* Suffulci nunc tuum gradum.
*Ph.* Quantum quidèm ego valeo.
*Ne.* At quomodò Achivorum fugiam culpam?
*Ph.* Ne moreris.
*Ne.* Quid si meam populentur regionem?
*Ph.* Ibi præsens ego,

αν δὲ πᾶς;] πῶς (φησὶν) ἀναίτιος γίνωμαι τοῖς Ἕλλησι; 1448.
Χώραν τὴν ἐμὴν] τὴν Σκῦρον. 1458.

Νε. (Τίνα προσαφέλησιν ἔρξας;)
Φιλ. Βέλεσι τοῖς Ἡρακλείοις,
Νε. (Πῶς λέγεις;)
Φιλ. Εἴρξω πελάζειν σῆς γε τούτου τῆς πάτρας.
Νε. Εἴγε δρᾷς ταῦθ' ὥσπερ αὐδᾷς, στεῖχε προσκύσας [χθόνα.

Ηρ. Μήπω γε πρὶν ἂν τῶν ἡμετέρων
Ἀΐῃς μύθων, παῖ Ποίαντος·
Φάσκειν δ' αὐδὴν τὴν Ἡρακλέους
Ἀκοῇ τε κλύειν, λεύσσειν τ' ὄψιν.
Τὴν σὴν δ' ἥκω χάριν, οὐρανίας
Ἕδρας προλιπών,
Τὰ Διὸς φράσων βουλεύματά σοι,
Κατερητύσων θ' ὁδὸν ἣν στέλλῃ.
Σὺ δ' ἐμῶν μύθων ἐπάκουσον.

Καὶ πρῶτα μέν σοι τὰς ἐμὰς λέξω τύχας,
Ὅσους πονήσας καὶ διεξελθὼν πόνους,
Ἀθάνατον ἀρετὴν ἔσχον, ὡς πάρεσθ' ὁρᾷν.
Καὶ σοὶ (σάφ' ἴσθι) τοῦτ' ὀφείλεται παθεῖν
Ἐκ τῶν πόνων τῶνδ' εὐκλεᾶ θέσθαι βίον.

1458. Λεύσσειν τ' ὄψιν] ὑπολάμβανε (φησὶν) ὁρᾷν τὸν Ἡρακλέα.

Digitized by Google

*Ne.* Quidnam auxilii allaturus es?
*Ph.* Sagittis Herculeis

*Ne.* Quid dicis?
*Ph.* Vetabo eos appropinquare tuæ patriæ.

*Ne,* Siquidem acturus es hæc, quæ dicis, veni mecum, osculatâ priùs hâc terrâ.

### Anapæsti.

*He.* Nondum, priusquam nostros
Audieris, sermones, O Pœantis fili.
Dic autem te vocem Herculis
Auribusque percipere, vultumque videre.
Tui autem gratiâ huc venio, cœlestibus
Relictis sedibus,
Jovis narraturus consilia tibi,
Viamque prohibiturus, quam ire paras.
Tu verò meis ausculta sermonibus.

### Iambi.

Et primùm tibi meas referam fortunas,
Quantos emensus, quantisque defunctus laboribus,
Immortalem virtutem consecutus sum, ut videre
Tuq. (hoc certò scias) hoc debes pati, [jam licet.
Et his laboribus gloriosam reddere vitam.

λίᾳ, καὶ ἀκούειν τῆς φωνῆς αὐτοῦ.



Digitized by Google

Ἐλθὼν δὲ σὺν τῷδ' ἀνδρὶ πρὸς τὸ Τρωϊκὸν
Πόλισμα, πρῶτον μὲν νόσου παύσῃ λυγρᾶς,
Ἀρετῇ τε πρῶτος ἐκκριθεὶς στρατεύματος,
Πάριν μὲν, ὃς τῶνδ' αἴτιος κακῶν ἔφυ,
Τόξοισι τοῖς ἐμοῖσι νοσφιεῖς βίου,
Πέρσεις τε Τροίαν, σκῦλά τ' εἰς μέλαθρα σὰ
Πέμψεις, ἀριστεῖ' ἐκλαβὼν στρατεύματος,
Ποίαντι πατρὶ πρὸς πάτρας Οἴτης πλάκα.
Ἃ δ' ἂν λάβῃς σὺ σκῦλα τοῦδε τοῦ στρατοῦ,
Τόξων ἐμῶν μνημεῖα, πρὸς πυρὰν ἐμὴν
Κόμιζε· καὶ σοὶ ταῦτ' Ἀχιλλέως τέκνον
Παρῄνεσ'· οὔτε γὰρ σὺ τοῦδ' ἄτερ σθένεις
Ἑλεῖν τὸ Τροίας πεδίον, οὔθ' οὗτος σέθεν.
Ἀλλ' ὡς λέοντε συννόμω φυλάσσετον,
Οὗτός σε καὶ σὺ τόνδ'· ἐγὼ δ' Ἀσκληπιὸν
Παυστῆρα πέμψω σῆς νόσου πρὸς Ἴλιον.
Τὸ δεύτερον γὰρ τοῖς ἐμοῖς αὐτὴν χρεὼν
Τόξοις ἁλῶναι· τοῦτο δ' ἐννοεῖσθ', ὅταν
Πορθῆτε γαῖαν, εὐσεβεῖν τὰ πρὸς θεούς.
Ὡς τἄλλα πάντα δεύτερ' ἡγεῖται πατὴρ
Ζεύς. ἡ γὰρ εὐσέβεια συνθνήσκει βροτοῖς·
Κἂν ζῶσι, κἂν θάνωσιν, οὐκ ἀπόλλυται.—

Φιλ. Ὦ φθέγμα ποθεινὸν ἐμοὶ πέμψας,

1478. Τόξων ἐμῶν μνημεῖα] ἀντὶ τοῦ, ἐκ τῶν ἀριστείων κἀμὲ τίμησον. Ib. Πρὸς πυρὰν ἐμὴν] τὴν ἐπὶ τῇ Οἴτῃ. 1487. Εὐσεβεῖν τὰ πρὸς θεούς] αἰνίττεται τοῦτο εἰς Νεοπτόλεμον. ἐν γὰρ τῇ τοῦ Ἰλίου ἁλώσει

Profectus autem hoc cum viro ad Trojæ [ofo,
Urbem, primum quidèm a morbo quiefces luctu-
Principemque locum virtute tenens in exercitu,
Paridem, qui horum auctor malorum fuit,
Sagittis meis fpoliabis animâ,
Et populaberis Trojam, fpoliaque ad tuas ædes
Mittes, virtutis præmia, (felecta ab exercitu)
Pœanti patri, ad patriæ Œteam plagam.
Quæ verò tu ceperis fpolia hoc ab exercitu,
Meorum arcuum monumenta, ad meum rogum
Affer: et te hæc, Achillis fili, moneo. Neque
enim tu abfque illo vales
Capere Trojæ campum, neque ille fine te.
Sed, velut leones duo fimul pafcentes, fervate
Ille te, tu illum. Ego autem Æfculapium
Mittam tui medicum morbi ad Ilium.
Denuo enim meis ipfam fagittis
Oportet capi. hoc autem memineritis, cum
Terram vaftabitis, ut pietatem ritè colatis;
Nam alia omnia inferiora ducit pater [comes eft,
Jupiter pietati; religio enim mortalibus in morte
Et, feu vivant, feu moriantur, nunquam perit.

### Anapæsti.

*Ph.* O vocem exoptatam mihi qui mififti

ἁλώσει ἀπέκτεινε τὸν Πρίαμον, προσφυγόντα τῷ βωμῷ τοῦ Ἑρκείου Διός.

Χρόνιός τε φανεὶς,
Οὐκ ἀπιθήσω τοῖς σοῖς μύθοις.
Νε. Κἀγὼ γνώμῃ ταύτῃ τίθεμαι.
Ηρ. Μὴ νῦν χρόνιοι μέλλετε πράττειν,
Καιρὸς καὶ πλοῦς.
Ὅδ' ἐπείγει γὰρ κατὰ πρύμναν.—
Φιλ. Φέρε νῦν στείχων, χώραν καλέσω.
Χαῖρ' ὦ μέλαθρον ξύμφρουρον ἐμοὶ,
Νύμφαι τ' ἔνυδροι λειμωνιάδες,
Καὶ κτύπος ἄρσην πόντου προβολῆς,
Οὗ πολλάκι δὴ τοὐμὸν ἐτέγχθη
Κρᾶτ' ἐνδόμυχον πληγῇσι νότου,
Πολλὰ δὲ φωνῆς τῆς ἡμετέρας
Ἑρμαῖον ὄρος παρέπεμψεν ἐμοὶ
Στόνον ἀντίτυπον χειμαζομένῳ.
Νῦν δ' ὦ κρῆναι, γλύκιόν τε ποτὸν,
Λείπομεν ὑμᾶς, λείπομεν ἤδη,
Δόξης οὔποτε τῆσδ' ἐπιβάντες.
Χαῖρ', ὦ Λήμνου πέδον ἀμφίαλον,
Καί μ' εὐπλοίᾳ πέμψον ἀμέμπτως,
Ἔνθ' ἡ μεγάλη μοῖρα κομίζει,

1494. Τίθεμαι] συγκατατίθεμαι. 1498. Φέρε νῦν στείχων χώραν καλέσω] ἀσπάζομαι ἀναχωρῶν. 1499. Ξύμφρουρον ἐμοὶ] τὸ φρουρῆσαν με καὶ φυλάξαν. 1501. Κτύπος ἄρσην] ἰσχυρὸς, εὔτονος. 1505. Ἑρμαῖον ὄρος.] δύναται πάντα τὰ ὄρη Ἕρμαια καλεῖσθαι, ὅτι νόμιος ὁ θεὸς, καὶ ὄρειος ὁ Ἑρμῆς· ἔστι δὲ καὶ Ἕρμαιον, οὕτως ἐν Λήμνῳ καλούμενον ὄρος· ἐμοὶ δὲ, φησὶ, πολλὰ βοῶντι, καὶ τὸ Ἕρμαιον

Et ſerus apparuiſti,
Non refragabor tuis dictis.
*Ne.* Et ego ad hanc ſententiam accedo.
*He.* Ne nunc diu facere hoc cunctemini:
Opportunitas enim navigandi
Urget nos a puppi.
*Ph.* Age nunc ibo, terram hanc ſalutabo;
Vale, O tectum, mea multos annos cuſtodia,
Nymphæque humidæ pratenſes,
Fragorque fortis Ponti oppoſitus,
Ubi ſæpe meum maduit
Caput in antro verberibus Noti,
Sæpeque vocem meam
Hermæum promontorium remiſit mihi,
Gemitum mutuum, cum tempeſtate affligerer.
Nunc autem O fontes & aquæ dulces
Relinquimus, vos relinquimus jam,
Cujus nobis nunquam in mentem venit opinio,
Vale, O terra Lemnia mari undique circumdata,
Et me ſecundo curſu dimitte inculpabilem,
Quò potens fatum fert,

τὸ ὄρος ἀντεφθέγξατο. 1506. Ἀντίτυπον] ἀμοιβαῖον, ἀντίμιμον. 1507. Νῦν δ' ὦ κρῆναι, γλυκιόν τε ποτὸν] τινὲς Λύκιον ποτὸν γράφουσιν. ἔστι δὲ ἡ οὕτω καλουμένη κρήνη ἐν Λήμνῳ, Λυκίου Ἀπόλλωνος· ἢ τὸ ἐν ἐρημίᾳ ὑπὸ λύκων πινόμενον. 1509. Δόξης οὔ ποτε] τῆς οἰήσεως. ἀντὶ τοῦ, οὐδέποτε τοῦτο οἰηθέντες, οὐδ' ἐλπίσαντες τελειοῦσθαι, ὥστε ἀπελθεῖν εἰς Τροίαν.



Digitized by Google

Γνώμη τε φίλων, χὠ πανδαμάτωρ
Δαίμων, ὃς ταῦτ' ἐπέκρανεν.—
Χο. Χωρῶμεν νῦν πάντες ἀολλέες,
Νύμφαις ἁλίαισιν ἐπευξάμενοι,
Νόστου σωτῆρας ἱκέσθαι.—

1513. Γνώμη τε φίλων] τοῦ Ἡρακλέους, ἢ τοῦ Νεοπτολέμου. 1514.

Digitized by Google

Consiliumque amicorum et omnipotens
Deus, qui hæc dispensavit.
*Ch.* Nunc ergo eamus omnes simul,
Marinas Nymphas exorantes,
Uti reditûs servatrices adsint.

Δαίμων' ὅς] Δαίμονα τινὲς τὸν Ἡρακλέα νοῦσιν· ἔνιοι τὴν τύχην.

Digitized by Google

# NOTÆ

# IN

# PHILOCTETEN.

ARGUMENTUM eſt ſimplex & ἠθικὸν, non actione perſoniſque, ſed affectibus varium. CAMERARIUS.

Integer titulus hujus fabulæ, Φιλοκτήτης ὁ ἐν Λήμνῳ. De illâ videndus Dio Chryſoſtomus *Diſ.* 52. FABRICIUS. In *Bibl. Græc.*

Philoctetes *divinum drama*, judice Joſ. Scaligero.

Corrigenda. v. 39. τῦ. l. τυ. v. 158. ἔχειν. l. ἔχει. v. 308. ἄντις. l. ἄν τις. & poſt τάδε dele diſtinctionem. v. 314. ὄικος. l. ὅπως. v. 540. προσκυνόσαντες. l. προσκύσαντες, itemque in Schol. v. 692. ἰσίδον. l. ἔσιδεν. v. 700. βιωτὰν. l. βιοτάν. v. 1169. φονερὰν. l. φθονερὰν.

V. 12. ἀκμῇ. Video legiſſe quoſdam ἀκμὴν adverbialiter. CAMERARIUS, Sed malè.

V. 19. ἀμφιτρῆτος. Scribitur & ἀμφίτρητος. CAMERARIUS.

V. 22. ἔχει. Lege ἐκεῖ. AURATUS, & CANTERUS.

V. 25. εἶη. penultimâ brevi. Vel ἴη, id eſt, procedant. CAMERARIUS.

P. 206. TRAGOEDIA PHILOCTETIS. *Philoctetes*, gen. *Philoctetæ*, non *Philoctetis*. Scribe potius: *Sophoclis Philoctetes.*

V. 26. τοὔργον οὐ μακρὰν λέγεις. An, μακρὸν?

V. 36. Τεχνήματ' ἀνδρός. Forſ. Τέχνημά τ'. ———

V. 47. λαθεῖν. In quibuſdam eſt μολεῖν: ſed λαθεῖν malo. H. STEPHANUS.

V. 98. Γλῶσσαν —— Schol. διαβάλλει &c. peſſimè.

V. 112. ἐς κέρδος. In aliis πρὸς κέρδος. Sed noſtra lectio defendi poteſt. H. STEPHANUS.

V. 127. δοκῆτ' ἔτι. Videtur ſcribendum δοκῆτί τι. CANTERVS.

V. 142. τόδ'. Lege τῆδ'. hic. EDIT. LOND.

V. 151. Poſt ἄναξ in multis editionibus habetur τὸ σὸν. Sed non agnoſcere hæc verba Triclinium apparet ex iis quæ de metricâ horum verſuum ratione ſcribit. H. STEPHANVS.

P. 219. l. penult. poſt *ſagittis* adde *miſer miſerè*.

V. 167. Schol. ἐπιμόνως. Puto, ἐπιπόνως..

P. 221. l. 6. poſt *atroci*, adde, *Angitur autem in omni neceſſitatis tempore*.

V. 195. Χρύσης. *Chryſe*, urbs vel inſula; non, ut quidam putant, puella. In Schol. l. ult. p. 222. Χρύσης Ἀθηνᾶς—— delendum puto τὸ Χρύσης.

V. 196. In cæteris Edition. interpungitur poſt κηδεμόνων. quæ interpunctio ſenſum pervertit. H. STEPHANVS.

V. 208. Schol. Στίβυ. Sic Ed. Steph. lege Στίβον.

V. 210. τρυσάνωρ. quo conſumitur. τρυσίβιος γαστὴρ apud Ariſtophanem. CAMERARIVS.

V. 217. ἀγροβότας. Legitur & ἀγροβάτης. in quâ lectione (ſi cui magis placeret) mutandum eſſet η in α, ut ἀγροβάτας Doricum eſſet, ſicut cætera verba ei vicina. H. STEPHANVS.

V. 240. τίς δ' ἀνίμων. Lege, ex emendatione Canteri, τίς ἀνίμων ὁ φίλτατος; ut ſit iambus in quartâ ſede.

V. 244. Νεοπτόλεμος. Synizeſis.

V. 269. τῆσδ' ἀνδροφθόρου. Aſſentior J. Aurato τῆς δενδροφθόρου reponenti. CANTERVS. Sed nihil opus.

P. 229. l. 22. *Cum quâ*. L. *quo*.

V. 281. ἀποιμῶξαι. Legitur & ποῖά μ' οἰμῶξαι. quod mollius ſonat. H. STEPHANVS.

V. 294. δύστηνος. Videtur ſcribendum δύστηνον. CANTERVS.

V. 296. Καί που. Dicit Philoctetes lignum fuiſſe parandum adverſus gelu, ut maximè eſſe hieme ſoleat. CAMERARIVS.

V. 296. πάγυ χυθέντος, *glacie omnia occupante*.

V. 300. φῶς. Legitur & πῦρ. Sed malo φῶς, ne repetatur πῦρ, quod paulo ante poſitum fuit. H. STEPHANVS.

P. 233. l. 4. Poſt *diſce*, lege

*Nullus huc vector volens applicat:*

V. 305. ὅρμος. In Turn. Ed. eſt ὅμορος, male. H. STEPH.

V. 319. αὐτοῖς. Malim αὖτις. CANTERVS.

V. 345. Αὖθις πάλιν. Schol. Τὸ Χ. ὅτι δὶς τὸ αὐτὸ εἶπεν. Quid ſibi velit τὸ Χ, docebunt te Lexica. Cæterùm Scholiaſtes malè vituperat αὖθις πάλιν, nam & Sophocles alibi decies hac locutione

Digitized by Google

locutione utitur, & nihil frequentius est hisce pleonasmis. Vide Aristoph. *Plut.* 238. 552. 779, & Bentleium. *Nub.* 743, & Kusterum. 971. *Pac.* 843. 860. *Avib.* 1456. *Eccles* 1008. Apollonium III. 649. Vide etiam Virgil. *Æn.* IV. 24. & 27. *Prudent.* Περὶ Στεφ. VI. 103. *in Symm.* I. 333. *Senec.* Hippol. 676. *Lucret.* II. 129. 1000. IV. 442. *Catull.* LXIV. 47.

V. 347. Διός τ' Ὀδυσσεύς. Inimicum suum cur honestat epitheto maximæ laudis? Homerica est imitatio, a quo & ipso laudum epitheta, quasi propria fortibus viris atque principibus, apponuntur etiam sermonibus inimicorum. CAMERARIVS. Vide Clarke ad Homer. *Odyss.* A. 29.

V. 354. Ὅπως ἴδοιμ' ἄθαπτον.—*Ut viderem eum antequam sepeliretur; numquam enim eum videram.* Schol. ἄθαπτον. ζῶντα. Malè.

V. 359. πικρόν. vel propter patris mortem, vel callidè propter injurias ducum erga se, quas fingit. CAMERARIVS.

V. 363. ἔκειτο. πρόκειτο significat; nam inter ritus veterum προθέσεις fuere, proposito mortuo in conspectu & ante ora hominum. CAMERARIVS.

V. 373. Ὦ σχέτλι'. Schol. σχέτλιε. Camerarius σχέτλιοι, rectius, ut opinor.

V. 377. ἀνθ' ἔσωσα κἀκεῖνον.
Ovid.

> *His humeris, his, inquam, humeris ego corpus Achillis,*
> *Et simul arma tuli.* CAMERARIVS.

V. 422. Οὐδ'.—— Nodus difficilis propter duplicem genitivum, Σισύφου & Λαερτίου, quem solvi posse arbitror si Σισύφου cum ἐμπολητὸς, Λαερτίου cum γόνος jungamus, ἀλλ' οὐχ ὁ Τυδέως γόνος, οὐδ' ὁ Λαερτίου [sub. γόνος] ἐμπολητὸς Σισύφου. Referetur autem ἐμπολητὸς Σισύφου ad eam historiam quæ a scholiaste commemoratur. Dictumque erit ἐμπ. Σισύφου eâdem formâ, quâ κείνης διδακτὰ pro ὑπ' ἐκείνης δεδιδαγμένα dixit in Electrâ. H. STEPHANVS.

V. 428. Κεῖνον—— Malo σοφῶς aut σοφὰ, quam σαφῶς. At pro κἀκ' ἐξήρυκε schol. scribi tradit ἐξεκήρυξεν, quod mihi placeret si versum ingredi posset, nempe Nestorem pro suâ prudentiâ operam dedisse ne illorum consilia aliquo in pretio essent, atque adeo ea publicè infamasse. H. STEPHANVS.

V. 430. Ἀντίλοχος. Post αὐτῷ non male fortassis interpungetur: Ἀντίλοχος φροῦδος, ὅσπερ ἦν γόνος αὐτῷ. At legendo μόνος, jungi posset αὐτῷ cum φροῦδος. Sed hanc lectionem repudiat scholiastes, quam qui admittere volunt, intelligendum dicunt, qui erat ei solus in Trojano bello. H. STEPHANVS.



Digitized by Google

V. 431. δύ' αὐτὸς. Affertur & alia lectio, δύ' αὐτὼ δ' ἐξέδειξας. quæ quamvis mihi suspecta sit, potior tamen alterâ videtur, propter δεῖν' ab hoc loco alienum, meo quidem judicio. Nisi orationem ἀνακόλουθον esse dicamus: ut post δύ' αὐτὸς δεῖν' ἔλεξας, vel δύ' αὐτώ, sequatur, non sine ellipsi, οὓν ἐγὼ, hoc sensu; Eheu, duo mihi affers tristia nuntia, de amborum morte, quos ego, si quos alios, incolumes esse lubentissimè audissem. Sed pro αὐτὸς non solum αὐτώ, verum etiam αὔτως legitur. H. STEPHANVS. αὐτός. malim αὖτις. CANTERVS.

V. 450. Schol. ἀνεῖλε. λέγεται καὶ—Forsan. ἀνεῖλε· λέγεται γὰρ καὶ.

V. 454. Sisyphum in vitam reversum tradunt fabulæ. *Theogn.*

Οὐδ' εἰ σωφροσύνην μὲν ἔχοις Ῥαδαμάνθυος αὐτοῦ,
　Πλείονα δ' εἰδείης Αἰολίδου Σισύφου,
Ὅστε καὶ ἐξ ἀΐδεω πολυϊδρίῃσιν ἀνῆλθε,
　Πείσας Περσεφόνην αἱμυλίοισι λόγοις.

Est autem locus totus βλάσφημος, conveniente oratione personæ & maximam injuriam passæ, & gravissimos cruciatus sustinentis. CAMERARIVS. In *Theogn.* forſ. legendum, Σισύφου Αἰολίδου. Vide infra v. 634. & fabulam satis lepidam in Schol.

V. 497. δειράδα. Anapæstus in pede quarto.

V. 503. Τὰ τῶν διακόνων——— Transit a genere neutro ad masculinum. CAMERARIVS.

V. 520. Μέγα τιθέμενος. al. Μεταλιθέμενος.

V. 549. Introducitur mercatoris persona, atque est hæc quasi exaggeratiuncula argumenti simplicis a poetâ adhibita, quominus etiam fraudem ullam Philoctetes in Neoptolemi itinere inesse suspicaretur. CAMERARIVS.

V. 554. Πλέων γὰρ ὁ ναύκληρος. Sic Edit. Steph. & Londin. Lege ὡς ναύκληρος, quod postulat versus, ut in Edit. Canteri.

V. 561. ἀμφὶ σ' οὕνεκα. Assentior J. Aurato ἀμφὶ σοῦ νέα reponenti. CANTERVS.

V. 578. ἴσω. Videtur scribendum ἐγώ. CANTERVS.

V. 580. Perbellè sunt omnia composita ad fallaciam. Itaque nunc nauclerus orsus narrationem, mox quasi suspicatus miserum illum & morbo affectum quem adstare cernebat, esse eum ipsum ad quem audiisset missum Ulyssem cum Diomede, insistit & sciscitatur quisnam sit, jubetque hoc placidè eloqui. CAMERARIVS.

V. 583. ἔρη. Scribitur & ἔρου, itidemque mox διάβαλλε pro διαβάλλῃς. Sed malim subjunctivum modum retinere, & quidem

Digitized by Google

dem διαβάλῃς potius ſcribendo, ut quædam exemplaria habent. H. STEPHANVS.

V. 589. διαβάλλῃς. Ne me reddas inviſum Græcorum exercitui CAMERARIVS.

V. 592. Ἐγώ εἰμ' Ἀτρείδαις ———

Similiter aliis in locis,

Ἐγὼ οὔτ' ἄνανδροι. ——— Τούτων ἐγὼ οὐκ ἔμελλον. ——— Ἔξοιδα μὴ οὐχὶ. ——— Τὸ μὴ οὐ τόδ' ἄγος. ——— Θανόντ' ἐπεὶ οὐ μοι. ———
In his & ſimilibus locis nec vocalis longa corripitur, nec Anapæſtus pro Iambo ponitur, quod hactenus creditum fuit, ſed integra diphthongus, quamquam in ſcripturâ exprimitur, tamen in dimenſione carminis abſorbetur, quaſi ἐγώ 'τ', ἐγώ 'κ, & ſimiliter ſcriptum eſſet.

Quemadmodum enim αι diphthongus, ne de aliis dicam, in fine vocis non rarò eliditur, ſic hæ in ejus initio cunctæ abſorbentur, nam ſcribi nihilominus videntur debere, ut obſcuritas videtur, quæ tum quidem non exigua foret, cum hujusmodi diphthongi vocem integram conſtituerent. Ineptè igitur faciunt qui ſic legunt, Τούτων 'γὼ οὐκ ἔμελλον. CANTERVS.

V. 594. Ἀεὶ ——— Non puto προσφιλῆ cum λόγον jungi debere, ſed intelligendum eſſe ἐλθόντα προσφιλῆ ἐμοί. H. STEPHANVS.

V. 599. Ποιῶ.——— Poſt λέγων expungenda eſt interrogationis nota, itidemque apud Schol. poſt μέλλεις λέγειν, qui tamen ſenſum hujus loci minimè aſſecutus mihi videtur. neque enim ποιῶ λέγων ſignificat ποιῶ με αἴτιον ὧν μέλλεις λέγειν, intelligendo participium λέγων ita reſolvi debere; ſed perinde eſt ac ſi diceret ποιῶ με αἴτιον, μόνον λέγε, dummodo dicas, ſeu narres illa, in me crimen, ſi libuerit, conferas. Nam σὺ θήσομαι τῶνδ' αἴτιον non eſt aliud quam ποιήσομαι αἴτιον, quibus reſpondet ille aſſentiens, ποιῶ λέγων. Sed lucem aliquam afferet hypoſtigme poſt ποιῶ, quam ideo adſcribendam cenſeo. H. STEPHANVS.

V. 600. Λέγω 'γὼ. Si ponas τελείαν στιγμὴν poſt λέγω, nulla ſuberit huic loco obſcuritas. λέγω perinde erit ac ſi dixiſſet, καὶ δὴ λέγω, audi igitur, tibi rem totam narro. Quod autem in hoc ipſo verſu legitur ὥπερ pro ὥσπερ, magis mihi placet. H. STEPHANVS.

V. 623. Καὶ ταῦθ' — Repone ἥκουσι Λαέρτου. vel ἥκουσ' ὁ Λαέρτου, nam Λαέρτου primam habere longam notiſſimum eſt. H. STEPH.

V. 631. ἡ πᾶσα βλάβη. Sicut dicimus, mera ſapientia, ſcelus, ſterquilinium, &c. CAMERARIVS.

V. 637.

Digitized by Google

V. 637. Οὔκων. Miror quomodo dixerit Schol. hæc posse vel ἀποφαντικῶς vel ἐρωτηματικῶς legi, quasi verò illa particula a qua versus incipit, eodem accentu utrumque sensum admitteret. Mirum verò & hoc, quomodo interrogationis notam habeant exemplaria præcedente οὔκων: atque adeò ab illis dissentiens scribo οὐκοῦν, id est, Nonne. H. STEPHANVS.

V. 639. Δεῖξαι νεώς. Præpositio intelligenda ἐπί. CAMERARIVS.

V. 643. ἵξεται. *adventurus sit.*

V. 645. Pro νεὼς legitur & βίας. Sed recte νεώς. H. STEPHANVS.

V. 648. ἀγῇ. Scribitur & ἀῃ. Sed Schol. alteram lectionem secutus est. H. STEPHANVS.

V. 657.

Τί τοῦθ' ὃ μὴ νεώς γε τῆς ἐμῆς ἔνι;

Forsan. ——— ἐμῆς ἔπι;

V. 661. Ὤιμοι. Assentior J. Aurato, Εἴ μοί τι τόξων reponenti. CANTERVS.

V. 673. ὅς χθόν'. Vehemens oratio Itaque omissæ conjunctiones. Sic enim exundat illa gaudio & gratiæ referendæ cupiditate. CAMERARIVS.

V. 677. δόντι δοῦναι. Hoc est restituere mihi qui tibi nunc tenendos hos trado. CAMERARIVS.

V. 680. —— σ' ἰδών τε καὶ λαβὼν φίλον. *Quando te vidi & accepi amicum.*

V. 699. κλύζων. Malim κλύων. CANTERVS.

V. 701. πρόσουρος vel significat vicinitatem, ut intelligatur vicinos habuisse nullos alios quam fluctus qui litora frangerent: vel notat ventis expositum. CAMERARIVS.

V. 724. δικεῖτη. Invenitur & δικείτει χρόνῳ. H. STEPHANVS.

V. 729. Schol. Ἐκείνων. Lege Ἐκ κείνων.

V. 736. Ἕρπ' εἰ θέλεις. Forsan εἰ σθένεις, si potes. Infra 1444.

Ἀντέρειδε νῦν βᾶσιν σήν. Εἰς ὅσον γ' ἐγὼ σθένω.

Sæpissimè hac voce utitur Sophocles.

V. 760. Οἶσθ'. Dicere aliquid vult fortasse de itinere, aut rogare Neoptolemum ne deserat se: sed obtunditur animus & memoria magnitudine mali. CAMERARIVS.

V. 767.

Digitized by Google

V. 767. Δεινόν. Non dubito quin vera lectio sit τοὐπίσαγμα, licet contradicentibus omnibus editionibus. Nam τοὐπείσαγμα cum ει ab ἐπεισάγω novè deducendum foret, at ἐπίσαγμα ab ἐπισάττω & usitatâ formâ derivatur, & convenientem huic loco significationem habet, sed metaphoricam. H. Stephanus. Exaggerationem & accessionem mali significat τὸ ἐπίσαγμα. Camerarius.

V. 792. θεοὶ —— νῶϊν. Synizesis.

V. 795. —— μή μ' ἀτελὴς εὐχὴ, τέκνον. Malim, si divinare liceat, μὴ μάτην εὐχὴ, τέκνον. Canterus. An legendum μὴ μ' ἀτελὲς vel ἀτελῆ εὐχῇ, μὴ μοὶ εὐχῇ τὸ ἀτελὲς vel τὰ ἀτελῆ, *quæ irrita futura sunt?* Sed Canteri conjecturam non sperno.

V. 802. Ἔχετε τὸ πρᾶγμα. Orat ut illam molestiam perferant, neu deserant inceptum negotium reductionis in patriam suæ. Camerarius.

V. 810. Ὦ θάνατε, θάνατε, πῶς ἀεὶ καλούμενος &c.

Hinc Miltonus :

*—— Why comes not Death,*
*Said he, with one thrice acceptable stroke*
*To end me? ——*
*But Death comes not at call. ——*

Par. Lost. B. X.

813. ἀνακαλουμένῳ. Quem ipse ignem sæpe invocarit, ut finire vellet dolores suos. Camerarius.

V. 859. παρὰ πόδας, Camerarius & Constant. Lexic. παρὰ πόδα. Tantundem est.

V. 861. τόξων. Post τόξων interpunxi. H. Stephanus.

V. 873. Schol. ἦγεν τὸν Φιλοκτήτην. rectius τὸν Ὀδυσσέα.

V. 933. Λιπὼν —— In Turn. Ed. legitur ut hic: at in cæteris habetur πέμπων, & interpunctio ante μή. Sed ex nostrâ lectione sensus commodus elicitur, quum ex illâ alterâ vix ullus. Subaudiendum est autem τὸν πλοῦν στελῶ cum λιπών: ut sit, λιπὼν μέν σε οὐκ ἔγωγε τὸν πλοῦν στελῶ. Nequaquam te relicto abibo. ——Times ne te relinquam: at ego contra timeo ne tibi molestus sim quòd te non relinquam, sed ducam quo nolis. Siquis autem servare vellet πέμπων, legendum esset λυπηρὸς, & subaudiendum ὢ: Sed multo est expeditior oratio in alterâ lectione. H. Stephanus.



Digitized by Google

V. 940. τί με νοεῖς δρᾶσαι. Interpres: *quid mecum facere paras?* Ex Anglico ſermone, *What do you intend to do with me?* Verte: *Quid mihi facere paras?*

V. 950. Iratus Philoctetes exclamat, Ὦ πῦρ σὺ, καὶ πᾶν δεῖμα—Πῦρ vocatur Neoptolemus, inquit ſcholiaſtes, quia nomen ei erat Πύῤῥος. Non credo. Forſan,

Ὦ θὴρ σὺ, καὶ πᾶν δεῖμα ———
O belua, non homo. ———

V. 956. —— Τὸν βίον μὴ μ' ἀφέλῃς.

Forſ. —— Τὸν βίον με μὴ ἀφέλῃς.

V. 957. Ἀλλ' οὐδὲ προσφωνεῖ ———

Virgil. *Æn.* IV. 369.

*Num fletu ingemuit noſtro? num lumina flexit?*
*Num lacrimas victus dedit? aut miſeratus amantem eſt?*

V. 973. Ἀλλ' ἀπόδος. Sic Ed. Turn. Cæteræ Ἀπόδος —— verſu imperfecto. H. Stephanus.

V. 977. θανοῦμαι. Magis arridet altera lectio, Ἀλλ' ἀνοιῦμαι. H. Stephanus.

V. 986. Τί δρῶμεν —— Ita in cæteris Editionibus, præterquam in Turn. quæ interrogationis notam non habet, ſed hypoſtigmen poſt δρῶμεν. Ego vero malim ἐν σοὶ jungere ſequentibus, & dicamus, ἐν σοί ἐστιν ἤδη καὶ τὸ πλεῖν &c. i. e. penes te eſt. videtur autem ἐν σοι itidem accipi pro, penes te eſt, legendo τί δρῶμεν, ἐν σοί: ut ſit, penes te eſt quid facere debeamus. Sed multò aptius τί δρῶμεν; a ſequentibus ſeparabitur, & ita accipietur ut paulo poſt: aptius item dicetur ἐν σοί ἐστι, ſequente infinitivo. H. Stephanus.

V. 1007. δράσεις. Legendum δράσει. Imo vero, ne ſi velit quidem facere, per me illi licebit. H. Stephanus.

V. 1009. τολμίσταις. Τολμήσταις [ſic] pro τολμηίσταις. Camerarius.

V. 1028. ἐργαστείεις. In Turn. Ed. margini quidem adſcripta eſt hæc lectio ἐργαστείεις, ſed in textu habet ἐργάσεσαι. quod tamen nullo poſſe modo ferri exiſtimo. quis enim ἐργάζω pro ἐργάζομαι ferat? at ἐργαστείειν hîc erit Sophocli, quod eidem eſt in Ajace δραστείειν duobus in locis, itidemque in hac Tragœdiâ,



Digitized by Google

gœdiâ, videlicet ἐπιθυμεῖν ἐργάζεσθαι, & ἐπιθυμεῖν δρᾷν. H. Stephanus.

V. 1028. Τί δ' ——— Aut Ulysses loquitur, aut Neoptolemus. Ulysses, ut opinor.

V. 1031. μὴ 'πὶ τῷδε. Nolo hanc illi potestatem fieri. Xenophon: Βουλεύεται ὅπως μήποτε ἔτι ἔσται ἐπὶ τῷ ἀδελφῷ. Demosthenes: Βούλεται δ' ἐκεῖνος οὐκ ἀνελὼν ἡμᾶς ἐπ' ἄλλοις εἶναι. Camerarius.

V. 1036. Πρόβλημα. Personam dicit subornasse Ulyssem pueri, sub quâ ille lateret. Camerarius.

V. 1057.

Καὶ νῦν τί μ' ἄγετε; τί μ' ἀπάγετε; τοῦ χάριν;

Puto:

Καὶ νῦν τί μ' ἄγετε; τί δέ μ' ἀπάγετε; —— .

V. 1060. εὔξεσθ'. Malim ἄρξεσθε. Canterus.

V. 1065. — ἐπεὶ οὔτ' ἂν στόλον. Videtur scribendum — ἐπεὶ οὔτ' ἂν τὸν στόλον, ut elidatur diphthongus more Sophocli familiari. Canterus.

V. 1065. Ἔξοιδα δ' ὡς — Ed. Steph. Ἔξοιδα γ' ὡς. male. Rectè autem versum emendavit Canterus.

1071. Εἰ δ' ἴδοιμ' ——
Secundum hoc Homericum, *Il. Z.*

Εἰ κεῖνόν γε ἴδοιμι κατελθόντ' Ἄϊδος εἴσω,
Φαίην κεν φρέν' ἀτέρπου ὀϊζύος ἐκλελαθέσθαι.

Camerarius.

V. 1076. Εἴ μοι —— Vel, si mihi videatur: vel, si hic locum relinquat orationi; vel, si tempus ferat. Camerarius.

V. 1102. Ἀκούσομαι. Exprobrabit mihi Ulysses animi mollitiem. Camerarius.

V. 1126. Τᾷδ'. In Edit. legitur τῷδ' præterquam in Turn. ubi τᾷδ' habetur, ut hîc, & in Colin. ubi τῇδ' invenitur. Fuerunt autem qui τῷδ' excusare conati sint, sed frustra. At τῇδ' puto intellectum fuisse pro *hic*. Sed multo aptior dativus Doricus τᾷδ' cum τύχᾳ. Idem porro exprobratur infra & quidem apertius, v. 1356.

Ὅσοι δ' ἐκουσίοισιν. —— H. Stephanus.

V. 1143. Post αἰτίας annotatur addi τάσδε in quibusdam exemplaribus. H. STEPHANVS.

V. 1158. Arcum suum alloquens Philoctetes, ait, ἦ που ἐλε-εινὸν ὁρᾷς, &c. —Puerile autem mihi videtur arcui oculos dare & vultum tristem. Τί δέ; inquit Longinus, ἐν μέλεσι μᾶλλον ἂν εἶναι Βακχυλίδης ἕλοιο ἢ Πίνδαρος; καὶ ἐν τραγῳδίᾳ Ἴων, ἢ νὴ Δία Σοφοκλῆς; ἐπειδὴ οἱ μὲν ἀδιάπτωτοι, καὶ ἐν τῷ γλαφυρῷ πάντη κεκαλλιγραφημένοι· ὁ δὲ Πίνδαρος καὶ ὁ Σοφοκλῆς ὁτὲ μὲν οἷον πάντα ἐπιφλέγουσι τῇ φορᾷ, σβέννυνται δ' ἀλόγως πολλάκις, καὶ πίπτουσιν ἀτυχέστατα· ἢ οὐδεὶς ἂν εὖ φρονῶν ἑνὸς δράματος τοῦ Οἰδίποδος εἰς ταυτὸ συνθεὶς τὰ Ἴωνος ἀντιτιμήσαιτο — §. 33.

1159. Ἴσχεις ——— Florent. Edit. ἄθλιον pro ἄεθλον. Ceteræ (Turnebicam excipio) ἄθλον. Ego ἄθλιον, quod significat miserum, nullo modo ferri posse existimo: at vero ἄθλον & ἄεθλον idem valere notissimum est, adeo ut in eligendâ alterutrâ lectione mensuræ metri duntaxat habenda sit ratio. At verò τὸν Ἡράκλειον ἄεθλον sive ἄθλον ita ceteri exponunt, Schol. nimirum sequentes, ut Philoctetes vocet seipsum Herculis ἄεθλον, id est laborem, intelligens laborem quem ab eo consecutus sit Hercules, cùm aliis ministeriis circa eum fungente, tam etiam supremo illo in struendo rogo atque accendendo. Sed Schol. alium etiam sensum affert: ut videlicet per Ἡράκλειον ἄεθλον intelligamus Ἡρακλέους διάδοχον, successorem Herculis. Quidam verò Ἡράκλειον ἄεθλον dixerunt reddi posse vel laborem Herculeum, vel, certamen Herculeum, sed quo sensu, id verò non addiderunt. Ego contra censeo, legendo τὸν, nullam posse expositionem afferri quæ non & violenta sit, & nescio quid ὑπόψυχρον habeat: ideoque minimâ cum mutatione pro τὸν scribi debere τό. in hac enim scripturâ invenire mihi videor sententiam commodissimam, ut nimirum τὸ Ἡράκλειον ἄεθλον sit vocandi casus, & alloquens arcum suum Philoctetes eum vocet Herculeum præmium, intelligens præmium ab Hercule adeptum. ὦ τόξον ἐκβεβιασμένον φίλων χειρῶν, φίλων inquam: ἦ που ὁρᾷς ἐμὲ τὸν ἐλεεινὸν (ὁρᾷς inquam, ὦ σὺ τὸ Ἡράκλειον ἄεθλον, εἰ φρένας τινὰς ἴσχεις) ὧδέ σοι οὐκέτι χρησόμενον. Sed quamvis retineam φίλων priore etiam loco & retineri posse sciam, (ut sit ἐπανάληψις conveniens exprimendo affectui) suspectum tamen habeo, mutaturus in φίλον, si id mihi permittere auderem. H. STEPHANVS. τόξον φίλον elegantius est quam φίλων, & mensuræ carminis accommodatius.

V. 1162. Ἀλλ' ἐν —— Tu, commutato domino, nunc a callido viro tractaris, videns turpes fallacias, & virum inimicum,

cum, qui turpibus rationibus infinita mala nobis infert, quæ adversus nos machinatus est Ulysses. Ut videlicet Neoptolemus dicatur operam suam turpiter Ulyssi commodare, vel potius ad rem turpem, nimirum ad committendum furtum. H. STEPHANUS.

V. 1168. Ἀνδρὸς —— Exponunt, Boni viri est verum dicere in tempore, seu, loco & tempore. Atque ita & Schol. Atqui ut omittam multis modis coactam esse expositionem, accipiendo δίκαιον pro ἀληθὲς, deinde plane duram & inusitatam trajectionem verborum, parum certe φιλάληθες ἦθος ostendit qui περὶ ἀληθείας ita loquitur, quasi videlicet ut veritatem profiteri loco & tempore, sic & mentiri loco & tempore virum probum deceat.—— Sensus est: Quod quis benè & ritè fecerit, æquum est id dicere [tale esse :]; quum autem quispiam id dixerit, minimè invidè calumniari oportet, quod alioqui ritè factum esse negare non possumus. Nam φθονερὰν γλώσσης ὀδύνην tragico loquendi genere vocari puto φθονεροὺς λόγους & eâdem formâ dici γλώσσης ὀδύνην qua dici solet γλωσσαλγία, quum ἄλγος & ὀδύνη unum idemque significent. reddique posse existimo φθονερὰν γλώσσας ὀδύναν, invidam linguæ petulantiam. Nisi quis malit, invidum linguæ virus. Cæterum de reliquis duabus expositionibus quæ in Scholiis habentur, ideo tacui, quod earum una planè omittat particulam μὴ, altera autem, expositionis nomen apertè mentiatur, & quidvis potius sit quam expositio. —— Ne autem miretur lector hujusmodi expositiones inter hæc scholia reperiri, sciat non ejusdem auctoris esse omnes, sed variorum, ideoque interdum contingere ut uni acutissimæ & doctissimæ vicina sit alia absurdissima imperitissimaque & falsissima. H. STEPHANVS.

V. 1172. Εὐφημοσύνᾳ. Nova mihi vox. Malim legere ἐφημοσύνᾳ. H. STEPHANVS.

Ibid. Κεῖνος. Neoptolemus. τῶν ἐφημοσύνᾳ. Ulyssis monitu. Ita sentire videtur H. STEPHANVS.

V. 1179. Πελᾶτ'. Puto Sophoclem scripsisse Ἐλᾶτ'. CANTERUS.

V. 1186. Τὰ. Scribitur & τῷ μετόπῳ. eodem sensu. H. STEPHANVS.

V. 1189. Τίς ἔτ'. An ventus & aër alet me? CAMERARIVS.

V. 1193. —— *Neoptolemum ad hospitem.* verte: *accedenti.*



Digitized by Google

V. 1196.——ἀδαὴς
Δ' ἔχειν μυρίον
Ἄχθος ᾧ ξυνοικεῖ.

Ed. Cantab. ἔχει. *& mille alias habet stultus ærumnas quibuscum habitat.*

V. 1227. Οὐδ' εἰ πυρφόρος — Homerus *Il.* O.

Εἴπερ μοι καὶ μοῖρα Διὸς πληγέντι κεραυνῷ
Κεῖσθαι ὁμοῦ νεκύεσσι.

CAMERARIUS

1261. V. Παρ' οὗ—— Ante αὖθις interpungendum esse puto. Nec enim αὖθις πάλιν ferri ad ἔλαβον, sed ad verbum quod subaudiendum relinquitur. Nam imperfectam esse orationem manifestum est, quæ perficietur addendo δώσω vel ἀποδώσω. H. STEPHANUS.

V. 1269. Ἀκηκοώς. Legitur & ἀκήκοας. quam lectionem sequendo, non malè interpungetur post ἐπίστω: at si ἀκηκοὼς retineatur, quod malim, expungenda fuerit interpunctio, quum sit, ἐπίστω ἀκηκοώς, scito te audiisse. H. STEPHANUS.

V. 1279. Ἀναλαβεῖν. vel ita dixit ut medici ἀναλαμβάνεσθαι τὰ ἀσθενῆ τῶν σωμάτων, hoc est, refici & a morbo reparari, vel, ut Plato, ἀναλαμβάνειν ἑκάστοτε τὸν λόγον ὥσπερ ἵππον, id est, retrahere & non pati ulterius progredi. CAMERARIUS.

V. 1282. Ἀλλ' οὐδ'—— Non potes mihi tuis minis metum incutere, sicut vicissim ex tuis viribus non pendet mea audacia. H. STEPHANUS. Neque tuâ manu, hoc est, viribus tuis fretus hoc audeo. CAMERARIUS.

V. 1285. Οὐ. χεῖρα —— Nonnullæ Editt. hæc verba dant Neoptolemo, & ipse H. Stephanus in annotationibus, quos sequi noluimus.

V. 1289. Καίτοι. Imo vero. Ea est vis hujus particulæ, quum videlicet aliquis, ubi se hoc vel illud facturum dixit, aut facere cogitavit, statim mutato consilio aliud potius facere in animum inducit. Eodem modo Euripides in *Medeâ & Ione*, Καίτοι τί πάσχω; H. STEPHANUS.

V. 1317. Τὸν βίον. An βιὸν, *arcum?*

V. 1329.

Digitized by Google

V. 1329. Ἐγὼ —— Non video quomodo ξυνίςορες ad sequentia referri commodè possit, ac in eo minimè scholiastæ assentior quem illuc retulisse ex ejus expositione manifestum est. At contra aptissimè parenthesi includentur hæc verba, ὡς θεοὶ ξυνίςορες, ut sit ἀπαυδῶ ὑπέρ τ' Ἀτρειδῶν, *i. e.* At ego Atridarum nomine & quasi illorum verbis totiusque exercitus, veto ne hoc facias; testesque Deos advoco eorum quæ loquor. H. STEPHANVS.

1340. τίν' ἄνδρα. EDIT. LOND. τίδ' ἄνδρα.

V. 1346. ὅτε. Legitur & ὅπε: Sed malo ὅτε: ut sit, Nec jam quicquam superest de quo mihi irasci ac me culpare possis. H. STEPHANVS.

V. 1396. μοι τ' ἄλγος. Schol. μ' ἔτ' ἄλγος.

V. 1392. Πῶς ὦ —— Sic interpretantur hunc locum ut significari tradant orbes & circuitus temporis, hoc est annos. Sed & referri ad solis, præcipui quasi designatoris temporum, atque etiam fortasse lunæ oculos, id est, lumina. κύκλοι autem oculi dicuntur & in Oedipo Tyr. CAMERARIVS.

V. 1403. τὸν ἄθλιον &c. Quod autem nunc dicit Philoctetes prælatum Ulyssem Ajaci judicio illorum, incogitantius inculcatum esse alicui fortè videatur, quum supra ignoranti omnia Neoptolemus mortuum tantum Ajacem narraverit. Unde hic igitur rescivit causam hanc mortis illius? CAMERARIVS.

Ibid. —οὔ τὸν ἄθλιον. Videtur scribendum οὔτι τὸν ἄθλιον. CANTERVS.

V. 1442. Decipit Philoctetem Neoptolemus, inquit scholiastes. Sed decipitur ipse scholiastes.

V. 1455. Μήπω. Herculis nunc persona introducitur, qui rem explicet & fabulam concludat. Numine enim divino opus erat quo animus Philoctetis moveretur. Non autem accersenda Dei persona unquam, nisi dignus vindice nodus inciderit. CAMERARIVS.

V. 1468.

Ἐκ τῶν πόνων τῶνδ' ————

Forsan. ——— Κἀκ τῶν.

V. 1489.

Digitized by Google

V. 1489. ἡ γὰρ εὐσέβεια συνθνήσκει βροτοῖς,

Lege οὐ γὰρ ηὑσέβεια συνθνήσκει βροτοῖς.

DAWES *Misc. Crit.* p. 243.

V. 1504. *vocem meam.* verte: *vocis meæ.*

V. 1515. ἀολλίες. Lege ἀολλεῖς, & vide Bentleium, *Diſſert. on Phal.* p. 141.

# ὙΠΟΘΕΣΙΣ ΤΟΥ ΕΠΙ ΚΟΛΩΝΩ, ΟΙΔΙΠΟΔΟΣ.

Ὁ ἐπὶ Κολωνῷ Οἰδίπους συνημμένος πὼς ἐστὶ τῷ τυράννῳ· τῆς γὰρ πατρίδος ἐκπεσὼν Οἰδίπους ἤδη γηραιὸς ὤν, ἀφικνεῖται εἰς Ἀθήνας, ὑπὸ τῆς θυγατρὸς Ἀντιγόνης χειραγωγούμενος. ἦσαν γὰρ τῶν ἀρσένων περὶ τὸν πατέρα φιλοστοργότεραι. ἀφικνεῖται δὲ εἰς Ἀθήνας κατὰ τὸ πυθόχρηστον, ὡς αὐτός φησι, χρησθὲν αὐτῷ, παρὰ ταῖς σεμναῖς καλουμέναις θεαῖς μεταλλάξαι τὸν βίον. τότε μὲν οὖν ἔρχονται, καὶ διαλέγονται πρὸς αὐτόν· ἔπειτα δὲ Ἰσμήνη παραγενομένη τὰ κατὰ τὴν στάσιν ἀπαγγέλλει τῶν παίδων, καὶ τὴν γενομένην ἄφιξιν τοῦ Κρέοντος πρὸς αὐτόν. ὃς καὶ παραγενόμενος ἐπὶ τῷ ἀπαγαγεῖν αὐτὸν εἰς τοὐπίσω, ἄπρακτος ἀπαλλάττεται. ὁ δὲ, πρὸς τὸν Θησέα διελθὼν τὸν χρησμὸν, οὕτω τὸν βίον καταστρέφει παρὰ ταῖς θεαῖς.

Τὸ δὲ δρᾶμα, τῶν θαυμαστῶν· ὃ καὶ ἤδη γεγηρακὼς ὁ Σοφοκλῆς ἐποίησε, χαριζόμενος οὐ μόνον τῇ πατρίδι, ἀλλὰ καὶ τῷ ἑαυτοῦ δήμῳ· ἦν γὰρ Κολωνόθεν· ὥστε τὸν μὲν δῆμον ἐπίσημον ἀποδεῖξαι, χαρίσασθαι δὲ καὶ τὰ μέγιστα τοῖς Ἀθηναίοις δι' ὧν ἀπορθήτους ἔσεσθαι καὶ τῶν ἐχθρῶν αὐτοὺς κρατήσειν ὑποτίθεται ὁ Οἰδίπους, προαναφωνῶν ὅτι διαστασιάσουσι πρὸς Θηβαίους ποτὲ, καὶ τούτων κρατήσουσιν ἐκ χρησμῶν διὰ τὸν αὐτοῦ τάφον.

# ΑΛΛΩΣ.

ΤΑ προαχθέντα περὶ τὸν Οἰδίπουν ἴσμεν ἅπαντα τὰ ἐν τῷ ἑτέρῳ Οἰδίποδι, πεπήρωται γὰρ, καὶ ἀφῖκται εἰς τὴν Ἀττικὴν, ὁδηγούμενος ἐκ μιᾶς τῶν θυγατέρων Ἀντιγόνης. καὶ ἔστιν ἐν τῷ τεμένει τῶν σεμνῶν Ἐριννύων, ὅ ἐστιν ἐν τῷ καλουμένῳ ἱππείῳ Κολωνῷ, οὕτω κληθέντι, ἐπεὶ καὶ Ποσειδῶνός ἐστιν ἱερὸν ἱππέως καὶ Προμηθέως, καὶ αὐτοῦ οἱ ὀρεωκόμοι ἵστανται. ἔστι γὰρ αὐτῷ πυθόχρηστον, ἐνταῦθα δεῖν αὐτὸν ταφῆς τυχεῖν οὗ μή ἐστιν ἑτέρῳ βεβήλῳ τόπος. αὐτόθι κάθηται, καὶ κατὰ μικρὸν αὐτῷ τὰ τῆς ὑποθέσεως προέρχεται. ὁρᾷ γάρ τις αὐτὸν τῶν ἐντεῦθεν, καὶ πορεύεται ἀγγέλλων ὅτι τις παρὰ τῷ χωρίῳ τούτῳ προσκάθηται. καὶ ἔρχονται οἱ ἐν τῷ τόπῳ ἐν χοροῦ σχήματι μαθησόμενοι τὰ πάντα. πρῶτος οὖν ἐστι καταλύων τὴν ὁδοιπορίαν, καὶ τῇ θυγατρὶ διαλεγόμενος. ἄφαλος δέ ἐστι καθόλου ἡ οἰκονομία ἐν δράματι, ὡς οὐδενὶ ἄλλῳ σχεδόν.

Ἡ σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν τῇ Ἀττικῇ ἐν τῷ Ἱππείῳ, πρὸς τῷ ναῷ τῶν σεμνῶν θεῶν. ὁ δὲ χορὸς συνέστηκεν ἐξ Ἀθηναίων ἀνδρῶν.



Digitized by Google

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ πρόσωπα.

ΟΙΔΙΠΟΥΣ.
ΑΝΤΙΓΟΝΗ.
ΞΕΝΟΣ ἀλήτης.
ΧΟΡΟΣ γερόντων Ἀττικῶν.
ΙΣΜΗΝΗ.
ΘΗΣΕΥΣ.
ΚΡΕΩΝ.
ΠΟΛΥΝΕΙΚΗΣ.
ΑΓΓΕΛΟΣ.

Προλογίζει δὲ ὁ Οἰδίπους.

PERSONÆ *hujus Fabulæ.*

OEDIPUS.
ANTIGONE.
HOSPES *errans.*
CHORUS, *senum Atheniensium.*
ISMENE.
THESEUS.
CREON.
POLYNICES.
NUNCIUS.

*Oedipus præfatur.*

SO-

# ΣΟΦΟΚΛΕΟΥΣ

## ΟΙΔΙΠΟΥΣ ΕΠΙ ΚΟΛΩΝΩ.

ΟΙΔΙΠΟΥΣ.

Τέκνον τυφλοῦ γέροντος Ἀντιγόνη, τίνας
Χώρους ἀφίγμεθ᾽, ἢ τίνων ἀνδρῶν πόλιν;
Τίς τὸν πλανήτην Οἰδίπουν καθ᾽ ἡμέραν
Τὴν νῦν σπανιστοῖς δέξεται δωρήμασι;
Σμικρὸν μὲν ἐξαιτοῦντα, τοῦ σμικροῦ δ᾽ ἔτι
Μεῖον φέροντα, καὶ τόδ᾽ ἐξαρκοῦν ἐμοί.
Στέργειν γὰρ αἱ πάθαι με χὠ χρόνος ξυνὼν
Μακρὸς διδάσκει, καὶ τὸ γενναῖον, τρίτον.
Ἀλλ᾽, ὦ τέκνον, θάκοισιν εἴ τινα βλέπεις
Ἢ πρὸς βεβήλοις, ἢ πρὸς ἄλσεσιν θεῶν,

1. Τέκνον τυφλοῦ γέροντος] Οἰδίπους εἰς Ἀθήνας παραγινόμενος, ἐρωτᾷ τὴν θυγατέρα Ἀντιγόνην. 3. Τίς τὸν πλανήτην Οἰδίπουν] ἔστι μὲν ἀφ᾽ ἑτέρας ἀρχῆς λαμβάνοντα λέγειν οὕτω, τίς τὸν πλανήτην Οἰδίπουν δέξεται; ἤ, τίς ἡμᾶς σήμερον ὑποδέξεται; δύναται δὲ καὶ τοῖς ἄνω συνάπτεσθαι, τοῦ τίς μὴ πυσματικῶς κειμένου, ἀλλ᾽ ἀντὶ τοῦ ἢ ἄρθρου ὥστε τῷ πόλις συντετάχθαι, καὶ τὸν λόγον ἔχειν οὕτως, τίνας χώρους ἀφίγμεθα, ἢ τίνων ἀνδρῶν πόλιν, ἢ τὸν πλανήτην Οἰδίπουν δέξεται; ὅτι δὲ τῷ τις ἀντὶ ἄρθρου χρῶνται, Καλλίμαχός φησιν οὕτως, Ὑπεὶρ ἅλα κεῖνος ἐνάσθη Ἀλκάθοόν τις ἄπλυτος. ἠθικώτερον δὲ τὸ πρῶτον. 4. Σπανιστοῖς] εὐτελέσι. τοῖς κατὰ σπάνιν τοῦ αἰτοῦντος διδομένοις. 6. Μεῖον φέροντα] βραχύτερον ἀποφερόμενον τοῦ αἰτηθέντος. οὐ γὰρ ὅσα αἰτεῖ τις λαμβάνει. Ib. Καὶ τόδ᾽ ἐξαρκοῦν] ὅμως γοῦν τούτοις

ἀρκοῦ-

Digitized by Google

# SOPHOCLIS
## OEDIPUS COLONEUS.

OEDIPUS.

O Cæci ſenis filia Antigone, ad quænam
Loca, aut quam urbem pervenimus?
Quis exſulem Oedipum hodie
Exiguis excipiet donis?
Modicum petentem, et adhuc modico
Minus accipientem; atque id tamen mihi ſufficit.
Nam ut boni conſulam, ærumnæ me & longa ætas
Docent, & præterea generoſa animi patientia.
Sed, O filia, ſi quem locum vides
Vel profanum, vel conſecratum Diis,

ἀρκέμενος. 7. Στέργειν γὰρ αἱ πάθαι με] ταῦτά με στέργειν, τὰ δυστυχήματα καὶ ὁ πολὺς πεποίηκε χρόνος, καὶ τὸ τῶν συμφορῶν πλῆθος, καὶ τὸ τῆς ἀνδρείας πλεονέκτημα. πάθαι γὰρ αἱ συμφοραί. ἀπὸ κοινοῦ δὲ τὸ διδάσκει. ἀντὶ τοῦ εἴθισμαι τῷ πολλῷ χρόνῳ, καὶ μεμελέτηκα τῆς τύχης τὰ δύσκολα. 9. Θάκοισι] καθέδραις. 10. Ἢ πρὸς βεβήλοις] βατοῖς. βέβηλος γὰρ τόπος, ὁ ἀκάθαρτος καὶ βατὸς πᾶσι. καὶ βέβηλος ἀνὴρ, ὁ μιαρός. Εὐριπίδης Πρωτεσιλάῳ, Οὐ γὰρ θέμις βέβηλον ἅπτεσθαι δόμων. καὶ, Ἀείδω ξυνετοῖσι· θύρας δ' ἐπίθεσθε, βέβηλοι. Βεβήλοις οὖν, τοῖς πᾶσι βασίμοις τόποις, μηδὲ ἀνειμένοις θεοῖς. ἐκ μεταφορᾶς δὲ βεβήλους, καὶ τοὺς ἀμυήτους φασὶ καὶ ἀκαθάρτους. Σοφοκλῆς δὲ ἐν Συνδείπνῳ, βέβηλον τὸν ἰδιώτην φησί.

11. Στη-

Digitized by Google

Στῆσόν με κἀξίδρυσον, ὡς πυθοίμεθα
Ὅπου ποτ᾽ ἐσμέν. μανθάνειν γὰρ ἥκομεν
Ξένοι πρὸς ἀστῶν χἃ ἂν ἀκούσωμεν, τελεῖν.
Αν. Πάτερ ταλαίπωρ᾽ Οἰδίπους, πύργοι μὲν, οἳ
Πόλιν στέγουσι, ὡς ἀπ᾽ ὀμμάτων πρόσω·
Χῶρος δ᾽ ὅδ᾽ ἱερὸς, ὡς ἀπεικάσαι, βρύων
Δάφνης, ἐλαίας, ἀμπέλου· πυκνόπτεροι
Δ᾽ εἴσω κατ᾽ αὐτὸν εὐστομοῦσ᾽ ἀηδόνες.
Οὗ κῶλα κάμψον τοῦδ᾽ ἐπ᾽ ἀξέστου πέτρου.
Μακρὰν γὰρ ὡς γέροντι προὐστάλης ὁδόν.
Οἰ. Κάθιζέ νύν με καὶ φύλασσε τὸν τυφλόν.
Αν. Χρόνου μὲν οὕνεκ᾽ οὐ μαθεῖν με δεῖ τόδε.
Οἰ. Ἔχεις διδάξαι δή μ᾽ ὅποι καθέσταμεν;
Αν. Τὰς γοῦν Ἀθήνας οἶδα· τὸν δὲ χῶρον, οὔ.
Οἰ. Πᾶς γάρ τις ηὔδα τοῦτον ἡμῖν ἐμπόρων.
Αν. Ἀλλ᾽ ὅστις ὁ τόπος ἢ μάθω μολοῦσά ποι;
Οἰ. Ναὶ, τέκνον, εἴπερ ἐστί γ᾽ ἐξοικήσιμος.
Αν. Ἀλλ᾽ ἔστι μέν γ᾽ οἰκητός. οἴομαι δὲ δεῖν

11. Στῆσόν με] στῆσόν με ἐκ τῆς ὁδοιπορίας καὶ μαθησόμεθα. 12. Μανθάνειν γὰρ ἥκομεν] εἰς γὰρ τοῦτο (φησὶ) ἐληλύθαμεν ἅτε δὴ ξένοι ὄντες, παρὰ τῶν ἀστῶν μανθάνειν τί ἐστι πρακτέον ἡμῖν. 14. Πάτερ ταλαίπωρ᾽ Οἰδίπους] οὐκ ἐμπαροινεῖν βουλομένη τῷ πατρὶ ταλαίπωρον ἀποκαλεῖ, ἀλλὰ τοῦ πάθους παριστῶσα τὸ μέγεθος· πωρεῖν δὲ οἱ Ἠλεῖοι τὸ πονθεῖν φασί. καὶ Ἀντίμαχος, Πῶρος τοί γ᾽ ἀλόχοισι καὶ οἷς τεκέεσσιν ἕκαστος. παρὰ τοῦτο οὖν ταλαίπωρος ἐτυμολογεῖται. 15. Ὡς ἀπ᾽ ὀμμάτων πρόσω] γράφεται ὡς ἀνομμάτῳ· ὅ ἐστιν, ὡς τυφλῷ σημῆναι, πρόσω εἰσίν. ὡς ἄν τις πρόσω ἀφορῶν τεκμήραιτο, ὡς ἄν τις τὰ ὄμματα πόῤῥω ἔχων. 16. Ὡς ἀπεικάσαι] ὡς ἔστιν ἐκ προόψεως τεκμήρασθαι. 17. Πυκνόπτεροι δ᾽ εἴσω] οἱ κατὰ τὸν χῶρον. ἐκράτησε δὲ μεγάλως τῇ φράσει ὥστε μέλισσαν αὐτὸν ἐκάλεσαν οἱ κωμικοί. 18. Εὐστομοῦσιν] εὐφθογγοῦσιν. εὐφώνως ᾄδουσιν. 19. Ἐπ᾽ ἀξέστου πέτρου] γράφεται πάγου. ἐπὶ τοῦ λιθίνου βάθρου. 20. Μακρὰν γὰρ ὡς γέρ.] προῆλθες μακροτέραν ὁδὸν ἢ ὡς ἥρμοζε γέροντι. 22. Χρόνου μὲν οὕνεκα] ἀντὶ τοῦ,

διδ-

In eo me siste, & colloca, ut audiamus
Ubi tandem loci simus: nam hospites
A civibus discere convenit, quid agendum sit.
*An.* O miserande pater Oedipe, turres hic
Urbem cingunt, quantum procul videre licet.
Et locus sacer est, ut conjicio: nam
Lauro, oleâ, et vitibus crebris consitus est:
Et lusciniæ in locis interioribus frequentes canunt.
Huc conside in hoc impolito saxo; longam
Enim, ut vir senio confectus, jam confecisti viam.
*Oe.* Colloca nunc me et custodi cæcum.
*An.* Ea temporum fortuna est, ut non opus sit me id [moneri.
*Oe.* Potesne mihi dicere quo loco constiterimus?
*An.* Athenas quidem novi, sed hunc locum non novi.
*Oe.* Nam hanc esse Atticam omnes viatores dixere nobis.
*An.* Sed quis hic locus sit, visne ut eam et exquiram?
*Oe.* Ita, filia, si quidem locus est habitabilis.
*An.* Est habitatus, sed arbitror non opus esse;

δεδίδαγμαι τῷ χρόνῳ τὸ φυλάττειν σε ὁδηγοῦσα. σύνηθες οὖν τὸ πρᾶγμα. Εἰς τὸ αὐτό. τοῦ μὲν χρόνου οὐ σύνειμί σοι χάριν, οὐ χρεία μαθεῖν ὅτι τυφλὸς εἶ, καὶ ὅτι δεῖ σε προμηθείας τυχεῖν. 24. Τὰς γοῦν Ἀθήνας οἶδα] ὅτι ἐν τῇ Ἀττικῇ ἐσμὲν οἶδα· τίς δὲ ἐστιν οὗτος ὁ δῆμος, ἀγνοῶ. 25. Πᾶς γάρ τις ηὔδα] τί ηὔδα; ὅτι αὗταί εἰσιν Ἀθῆναι. Ib. Ἐμπόρων] ἀντὶ τοῦ ὁδοιπόρων. διὸ τὸ χ. 26. Ἦ μάθω] ἐν ἐρωτήσει ὁ λόγος. βούλει μάθω τίς ὁ πρὸ τοῦ ἄστεος τόπος. 27. Ἐξοικήσιμος] ἀντὶ τοῦ ἐνοικήσιμος. 28. Οἴομαι δὲ δεῖν οὐδέν] οὐ δεῖν τοῦ προελθοῦσαν ἐρωτῆσαί με. ἰδοὺ γὰρ ἀνὴρ πάρεστι παρ' οὗ εἰσόμεθα. ἢ, οὐκέτι δεῖν ἔοικε προϊοῦσαν μανθάνειν περὶ τοῦ τόπου. καλῶς δὲ τὰ τῆς οἰκονομίας, ἵνα μὴ μόνος ὁ Οἰδίπους ἀπολειφθῇ.

ΣΧΟΛ. ΤΡΙΚΛ. 22. Οὐ μαθεῖν με δεῖ τόδε] οὐ χρείαν ἔχω (φησὶ) μαθεῖν ὅτι τυφλὸς εἶ, καὶ ὅτι δεῖ σε προμηθείας τυχεῖν. δεδίδαγμαι γὰρ τοῦτο τῷ χρόνῳ· σύνηθες οὖν ὄν, οὐ δεῖ με μαθεῖν τοῦτο νῦν.

30. Ἦ

Οὐδέν· πέλας γὰρ ἄνδρα τόνδε νῷν ὁρῶ·

Οἰ. Ἦ δεῦρο προσείχοντα κἀξορμώμενον;

Αν. Καὶ δὴ μὲν οὖν παρόντα· χ᾽ ὅ,τι σοι λέγειν
Εὔκαιρόν ἐστιν, ἔννεφ᾽, ὡς ἀνὴρ ὅδε.

Οἰ. Ὦ ξεῖν᾽, ἀκούω τῆσδε τῆς ὑπέρ τ᾽ ἐμοῦ
Αὐτῆς θ᾽ ὁρώσης, οὕνεχ᾽ ἡμῖν αἴσιος
Σκοπὸς προσήκεις τῶν ἀδηλοῦμεν φράσαι.

Ξε. Πρὶν νῦν τὰ πλείον᾽ ἱστορεῖν, ἐκ τῆσδ᾽ ἕδρας
Ἔξελθ᾽· ἔχεις γὰρ χῶρον οὐχ ἁγνὸν πατεῖν.

Οἰ. Τίς δ᾽ ἔσθ᾽ ὁ χῶρος; τοῦ θεῶν νομίζεται;

Ξε. Ἄθικτος, οὐδ᾽ οἰκητός. αἱ γὰρ ἔμφοβοι
Θεαί σφ᾽ ἔχουσι, γῆς τε καὶ σκότου κόραι.

Οἰ. Τίνων; τὸ σεμνὸν ὄνομ᾽ ἂν εὐξαίμην κλύων.

Ξε. Τὰς πάνθ᾽ ὁρώσας Εὐμενίδας ὅγ᾽ ἐνθάδ᾽ ὢν
Εἴποι λεώς νιν· ἄλλα δ᾽ ἀλλαχοῦ καλά.

Οἰ. Ἀλλ᾽ ἵλεῳ μὲν τὸνδ᾽ ἱκέτην δεξαίατο.
Ὡς οὐχ ἕδρας γῆς τῆσδ᾽ ἂν ἐξέλθοιμ᾽ ἔτι.

Ξε. Τί δ᾽ ἐστι τοῦτο;

Οἰ. Ξυμφορᾶς ξύνθημ᾽ ἐμῆς.

30. Ἦ δεῦρο] κατ᾽ ἐρώτησιν. 31. Χὤτι σοι λέγειν] καὶ ὅπερ σοι λέγειν εὔκαιρον νομίζεις, λέγε. ἀκούεται γάρ. 33. Τῆς ὑπέρ τ᾽ ἐμοῦ αὐτῆς θ᾽ ὁρ.] τουτέστιν, ὑπὲρ ἀμφοῖν ὁρώσης. 34. Οὕνεχ᾽ ἡμῖν αἴσιος] ὅτι αἴσιος ἡμῖν σκοπὸς ἀφῖξαι ὥστε φράσαι περὶ ὧν ἀγνοοῦμεν· ἢ, ὥστε φράσαι ἡμῖν ἃ σοι λέξομεν. 36. Πρὶν νῦν τὰ πλείονα] ἀπόστηθι πρῶτον τῶν ἀβάτων, καὶ τότε ἐρώτα. 37. Χῶρον οὐχ ἁγνὸν] οἷον, σοὶ οὐχ ἁγνὸν, εἰ μὴ μόνοις ἱερεῦσιν. ἢ οἷον, οὐκ ἀνειμένον καὶ βατόν. 39. Αἱ γὰρ ἔμφοβοι θεαὶ] Φύλαρχός φησι δύο αὐτὰς εἶναι, τά τε Ἀθήνησιν ἀγάλματα, δύο. Πολέμων δὲ τρεῖς αὐτάς φησι. 42. Τὰς πάνθ᾽ ὁρώσας Εὐμενίδας] Ἐπιμενίδης Κρόνου φησὶ τὰς Εὐμενίδας, Ἐκ τοῦ καλλίκομος γένετο χρυσῆ Ἀφροδίτη, Μοῖραί τ᾽ ἀθάνατοι, καὶ Ἐριννύες αἰολόδωροι. Ἴστρος δὲ ἐν τῇ τετάρτῃ μητέρα τῶν Εὐμενίδων Εὐωνύμην ἀναγράφει, ἣν νομίζεσθαι

Video enim virum quendam prope ad nos acce-
*Oe.* Hucne accedentem & properantem ? [dere.
*An.* Et quidem jam præsto adest : proinde, si quid
Voles, opportunum est quærere, nam vir jam ad-
*Oe.* O hospes, cognovi ex hac, quæ pro me [est.
Et pro se videt, te in tempore [gabimus.
Advenire speculatorem. Dic nobis quæ interro-
*Ho.* Priusquam plura quæras, ex isto loco [tingere.
Excede, nam tenes locum, quem nefas est at-
*Oe.* Quis ergo locus est ? aut cui Deorum sacer ? [est ;
*Ho.* Est locus quem neque attingere nec habitare fas
Nam terribiles Deæ eum tenent, terræ et noctis
filiæ. [audire.
*Oe.* Quænam sunt ? nam venerandum nomen optarim
*Ho.* Populus qui hic habitat vocat eas Eumenidas
Omnia videntes ; sed alia alibi pulchra sunt.
*Oe.* Utinam propitiæ hunc supplicem accipiant :
Nam ex hoc loco non excessero amplius.
*Ho.* Quid hoc rei est ?
*Oe.* Indicium meæ calamitatis.

ζεσθαι γῆν. ἔνιοι δὲ μεταβαλεῖν αὐτῶν φασὶ τὸ ὄνομα ἐπὶ Ὀρέστῃ, τότε γὰρ πρώτην Εὐμενίδας κληθῆναι, εὐμενεῖς αὐτῷ γενομένας, κριθέντι νικᾷν παρ' Ἀθηναίοις, καὶ ὁλοκαυτώσαντι αὐταῖς οἶν μέλαιναν ἐν Καρνίᾳ τῆς Πελοποννησίας· Φιλήμων δὲ ὁ κωμικὸς ἑτέρας φησὶ τὰς σεμνὰς θεὰς τῶν Εὐμενίδων. 43. Εἴποι λεώς νιν] ἀντὶ τοῦ αὐτάς. διὸ τὸ X. Ib. Ἄλλα δ' ἀλλαχοῦ καλά] παρ' ὅσον ἄλλοι ἄλλοις ὀνόμασι καλοῦσιν αὐτάς. ἄλλα ὀνόματα παρ' ἄλλοις καλὰ νομίζονται, παρ' ἡμῖν δὲ ταῦτα, τὸ ὀνομάζειν αὐτὰς Εὐμενίδας. 44. Ἀλλ' ἵλεῳ μὲν] ἵλεῳ μοι αἱ Εὐμενίδες. ἐγὼ γὰρ οὐκ ἀναστήσομαι ἐντεῦθεν. 46. Τί δ' ἐστι τοῦτο] ἀντὶ τοῦ, διὰ τί οὐκ ἀνίστασαι ; 47. Ξυμφορᾶς ξύνθημα] σύμβολόν μοι τῆς συμφορᾶς, τὸ καταντῆσαί με εἰς Ἐρινύων ἱερόν.

¶ Σχήμ. Τρικλ. 29. Νῷιν ὁρῶ] συνίζησις.

Ξε. Ἀλλ' οὐδ' ἐμοί τοι τοὐξανιστάναι πόλεως
Δίχ' ἐστὶ θάρσος, πρίν γ' ἂν ἐνδείξω τί δρῶ.
Οἰ. Πρός νυν θεῶν, ὦ ξεῖνε, μή μ' ἀτιμάσῃς
Τοιόνδ' ἀλήτην ὤν σε προστρέπω φράσαι.
Ξε. Σήμαινε· κοὐκ ἄτιμος ἔξ ἐμοῦ φανῇ.
Οἰ. Τίς δ' ἔσθ' ὁ χῶρος δῆτ', ἐν ᾧ βεβήκαμεν;
Ξε. Ὅσ' οἶδα κἀγὼ, πάντ' ἐπιστήσῃ κλύων.
Χῶρος μὲν ἱερὸς πᾶς ὅδ' ἔστ', ἔχει δέ νιν
Σεμνὸς Ποσειδῶν· ἐν δ' ὁ πυρφόρος θεὸς
Τιτὰν Προμηθεύς. ὃν δ' ἐπιστείβεις τόπον
Χθονὸς καλεῖται τῆσδε χαλκόπους ὁδὸς,
Ἔρεισμ' Ἀθηνῶν· οἱ δὲ πλησίοι γύαι
Τόνδ' ἱππότην Κολωνὸν εὔχονται σφίσιν
Ἀρχηγὸν εἶναι, καὶ φέρουσι τοὔνομα
Τὸ τοῦδε κοινὸν πάντες ὠνομασμένον.
Τοιαῦτά σοι ταῦτ' ἐστὶν, ὦ ξέν', οὐ λόγοις
Τιμώμεν', ἀλλὰ τῇ ξυνουσίᾳ πλέον.
Οἰ. Ἦ γάρ τινες ναίουσι τούσδε τοὺς τόπους;
Ξε. Καὶ κάρτα τοῦδε τοῦ θεοῦ γ' ἐπώνυμοι.
Οἰ. Ἄρχει τις αὐτῶν, ἢ 'πὶ τῷ πλήθει λόγος;

49. Πρίν γ' ἂν ἐνδείξω] ἕως οὗ τῇ πόλει ἐνδείξω τί χρὴ ποιεῖν. 51. Προστρέπω] ἱκετεύω. 56. Ὁ πυρφόρος θεὸς] ὁ Ἥφαιστος. 57. Τιτὰν Προμηθεὺς] περὶ τοῦ τὸν Προμηθέα περὶ Ἀκαδημίαν καὶ τὸν Κολωνὸν ἱδρῦσθαι, Ἀπολλόδωρος γράφει οὕτως, Συντιμᾶται δὲ καὶ ἐν Ἀκαδημίᾳ τῇ Ἀθηνᾷ, καθάπερ ὁ Ἥφαιστος· καὶ ἐστὶν αὐτῷ παλαιὸν ἵδρυμα καὶ ναὸς ἐν τῷ τεμένει τῆς θεοῦ. δείκνυται δὲ καὶ βάσις ἀρχαία κατὰ τὴν εἴσοδον, ἐν ᾗ τοῦ τε Προμηθέως ἐστὶ τύπος καὶ τοῦ Ἡφαίστου· πεποίηνται δὲ, ὡς καὶ Λυσιμαχίδης φησὶν, ὁ μὲν Προμηθεὺς, πρῶτος καὶ πρεσβύτερος ἐν δεξιᾷ σκῆπτρον ἔχων· ὁ δὲ Ἥφαιστος, νέος καὶ δεύτερος. καὶ βωμὸς ἀμφοῖν κοινός ἐστιν ἐν τῇ βάσει ἀποτετυπωμένος. 58. Χαλκόπους ὁδὸς] ὡς οὕτω τινὸς καλουμένου τόπου ἐν τῷ ἱερῷ, χαλκόποδος ὁδοῦ· φησὶ δὲ

*Ho.* Sed te abigere ſine urbe prius conſultâ
Non auſim, quin indicem quid ſit agendum.
*Oe.* Per Deos, obteſtor, ne me contemnas
Talem exſulem, quin ea quæ mandabo nuncies.
*Ho.* Dic, non enim a me contemptus eris.
*Oe.* Quis igitur hic locus eſt, in quo conſtitimus?
*Ho.* Quæ quidem ego ſcio, ex me audies omnia.
Nam hic locus totus ſacer eſt: tenet verò eum
Reverendus Neptunus, et ignifer Deus
Titan Prometheus: quemque calcas locum
Is vocatur, in hac terrâ, ærea via,
Urbis Athenarum arx; & vicina arva
Hunc equeſtrem Colonum jactant ſibi
Præſidem eſſe, atque inde nomen
Commune habent omnes impoſitum.
Hæc ita ſunt ut dico, hoſpes, non ſermonibus
Celebrata magis, quàm ipsâ experientiâ.
*Oe.* An aliqui in hiſce locis homines habitant?
*Ho.* Certe et quidem ab hoc Deo denominati.
*Oe.* Regnumne quiſpiam hìc tenet, an penes multitudinem imperium eſt?

δὲ Ἀπολλόδωρος δι' αὐτῆς κατάβασιν ἔη) εἰς ᾅδυ. Καὶ Ἴςρος δὲ μνημονεύει τῆς χαλκῆς ὁδῦ, κὴ Ἀςυδάμας. καί τις τῶν χρησμοποιῶν φησὶ, Βοιωτοὶ δ' ἵπποιο ποτιςείχυσι Κολωνὸν, Ἔνθα λίθος τρικάρανος ἔχει κὴ χάλκειος ὐδός. τὸ ἑξῆς, ὃν δ' ἐπιςείβεις τόπον χθονὸς τῆσδε, καλεῖται χαλκόπυς ὀδός. ὕτως δὲ ἐκαλεῖτο διὰ τὸ εἶναι μέταλλα χαλκῦ ἐν τῷ Κολωνῷ. 59. Οἱ δὲ πλησίοι γύαι] γράφεται, αἱ δὲ πλησίον γύαι. 62. Τὸ τῦδε κοινὸν] τὸ τῦ Κολωνῦ ὄνομα κοινὸν φέρυσι πάντες, ὠνομασμένοι Κολωνιάται δηλονότι. 64. Ἀλλὰ τῇ ξυν. πλέον] τῷ ἔργῳ κὴ τῇ πείρᾳ πλέον τιμώμενα, ὐ τοῖς λόγοις. 66. Ἐπώνυμοι] Κολωνιάται καλύμενοι. 67. Ἠ 'πὶ τῷ πλήθει λόγος;] ἢ ἐν τῷ πλήθει ἐςὶν ἡ ἰσχὺς; τυτέςι, δημοκρατῦνται.

Ξε. Ἐκ τοῦ κατ' ἄστυ βασιλέως τάδ' ἄρχεται.
Οἰ. Οὗτος δ' τίς λόγῳ τε καὶ σθένει κρατεῖ;
Ξε. Θησεὺς καλεῖται, τοῦ πρὶν Αἰγέως τόκος.
Οἰ. Ἆρ' ἄν τις αὐτῷ πομπὸς ἐξ ὑμῶν μόλοι;
Ξε. Ὡς πρὸς τί λέξων, ἢ καταρτύσων μόλοι;
Οἰ. Ὡς ἂν προσαρκῶν σμικρὰ, κερδάνῃ μέγα.
Ξε. Καὶ τίς πρὸς ἀνδρὸς μὴ βλέποντος ἄρκεσις;
Οἰ. Ὅσ' ἂν λέγωμεν, πάνθ' ὁρῶντα λέξομεν.
Ξε. Οἶσθ' ὦ ξέν', ὡς νῦν μὴ σφαλῇς· ἐπείπερ εἶ
Γενναῖος ὡς ἰδόντι, πλὴν τοῦ δαίμονος,
Αὐτοῦ μέν' οὗπερ κἀφάνης, ἕως ἐγὼ
Τοῖσδ' ἐνθάδ' αὐτοῦ μὴ κατ' ἄστυ δημόταις
Λέξω τάδ' ἐλθών· οἵδε γὰρ κρινοῦσί γε
Εἰ χρή σε μίμνειν ἢ πορεύεσθαι πάλιν.
Οἰ. Ὦ τέκνον, ἦ βέβηκεν ἡμῖν ὁ ξένος;
Ἀν. Βέβηκεν. ὥστε πᾶν ἐν ἡσύχῳ, πάτερ,
Ἔξεστι φωνεῖν, ὡς ἐμοῦ μόνης πέλας.
Οἰ. Ὦ πότνιαι δεινῶπες, εὖτε νῦν ἕδρας
Πρώτων ἐφ' ὑμῶν τῆσδε γῆς ἔκαμψ' ἐγὼ,
Φοίβῳ τε κἀμοὶ μὴ γένησθ' ἀγνώμονες,
Ὅς μοι τὰ πόλλ' ἐκεῖν' ὅτ' ἐξέχρη κακὰ,
Ταύτην ἔλεξε παῦλαν ἐν χρόνῳ μακρῷ,
Ἐλθόντι χώραν τερμίαν, ὅπου θεῶν

72. Ἢ καταρτύσων μόλοι] παρασκευάσων. εὐτρεπίσων. Ὅμηρος, Ἠρτύναντο δ' ἐρετμά· καὶ Κλυταιμνήστρα δόλον ἤρτυε· τὸ δὲ ἑξῆς, ὡς τί προσλέξων αὐτῷ μόλοι τίς. ἢ πρὸς τί εὐτρεπίσων αὐτὸν μολεῖν. 73. Ὡς ἂν προσαρκῶν] τὰ αὐτὰ αὖθις ἐρεῖ. ὅτι ἐπ' ὠφελείᾳ τοῦτο γίγνεται τῶν δεχομένων αὐτὸν καὶ θαπτόντων, ἐπὶ βλάβῃ δὲ τῶν ἀποπεμψάντων. 77. Τοῦ δαίμονος] τῆς τύχης. 78. Αὐτοῦ] αὐτόθι. 85. Ὦ πότνι', ὦ δεινῶπες] τὸ ἐντελὲς, ὦ πότνιαι. ὦ δὲ νῦν, οὕτως, ἐπειδὴ ἦλθον πρὸς ὑμᾶς,

*Ho.* Hæc loca a rege, qui urbi præeſt, gubernantur.
*Oe.* Is verò quiſnam eſt, qui viribus & ſapientiâ domi-
*Ho.* Theſeus vocatur prioris regis Ægei filius. [natur ?
*Oe.* An non igitur aliquis ex vobis nuncius ad eum
ibit ?
*Ho.* Quid ille dicet ? an ut veniat hortabitur ipſum ?
*Oe.* Ut ſuppeditans parùm, lucretur multum.
Quid opis a viro cæco afferri poteſt ?
*Oe.* Quæ illi dicturi ſumus, ea non cæca, ſed viden-
*Ho.* Sic accipe, ne erres, ſi quidem es, [tia.
Ut videris, generoſus, præter fortunam.
Iſtic mane ubi apparuiſti, donec ego
Popularibus, quì hic et non in urbe degunt
Hæc nunciem : illi enim judicabunt,
Utrum oporteat te manere, an hinc rurſum diſce-
*Oe.* O filia, anne abiit jam hoſpes ? [dere.
*An.* Abiit, licet igitur tibi, pater, jam tutò
Loqui : nam ego ſola adſum.
*Oe.* O venerandæ Deæ, terribili aſpectu, poſtquam
Ego in veſtrâ hìc ſede primùm conſedi,
Ne Apollini et mihi parùm ſitis propitiæ,
Qui cum mihi multa prænunciaret mala,
Hanc prædixit poſt longum tempus requiem ma-
lorum fore, [rum
Ubi perveniſſem in extremam regionem, ac Dea-

ὑμᾶς, μὴ ἐναντιωθῆτέ μοι κ᾽ τῷ χρήσαντί με Ἀπόλλων Ib. Εὖτε νῦν] ὅτε, ἐπειδή. 87. Ἀγνώμονες] ἐναντιογνώμονες. ἀσύγνωςοι. 90. Χώραν τερμίαν] τερμίαν αὐτῷ, εἱμαρμένην. ἐφ᾽ οἷς ἔμελλε τὸ τέλος τῦ βίυ ἀνύσειν.

ΣΧΟΛ. ΤΡΙΚΛ. 73. Κερδανῇ μέγα] τῦτο κ᾽ μετὰ ταῦτα ἐρεῖ, ὅτι οἱ μὲν δεξάμενοι αὐτὸν μεγάλα κερδανῦσιν, οἱ δ᾽ ἀποπεμψάμενοι, βλαβήσονται.

Σεμνῶν ἕδραν λάβοιμι καὶ ξενόστασιν,
Ἐνταῦθα κάμψειν τὸν ταλαίπωρον βίον.
Κέρδη μὲν οἰκήσοντα τοῖς δεδεγμένοις,
Ἄτην δὲ τοῖς πέμψασιν, οἵ μ' ἀπήλασαν,
Σημεῖα δ' ἥξειν τῶνδέ μοι παρηγγύα,
Ἢ σεισμὸν, ἢ βροντήν τιν', ἢ Διὸς σέλας.
Ἔγνωκα μέν νυν ὥς με τήνδε τὴν ὁδὸν
Οὐκ ἔσθ' ὅπως οὐ πιστὸν ἐξ ὑμῶν πτερὸν
Ἐξήγαγ' εἰς τόδ' ἄλσος· οὐ γὰρ ἄν ποτε
Πρώταισιν ὑμῶν ἀντέκυρσ' ὁδοιπόρων,
Νήφων ἀοίνοις, κἀπὶ σεμνὸν ἑζόμην
Βάθρον τόδ' ἀσκέπαρνον· ἀλλά μοι, θεαί,
Βίου, κατ' ὀμφὰς τὰς Ἀπόλλωνος, δότε
Πέρασιν ἤδη καὶ καταστροφήν τινα,

91. Καὶ ξενόστασιν] γράφεται καὶ κατάστασιν. 92. Ἐνταῦθα κάμψειν] εἰσί γε οἵ φασι τὸ μνῆμα τοῦ Οἰδίποδος ἐν ἱερῷ Δήμητρος εἶναι ἐν Τεωνῷ, μεταγαγόντων αὐτὸν ἐκ Κεοῦ τινος ἀσήμου χωρίου. καθάπερ ἱστορεῖν φησιν Ἀρίζηλος Λυσίμαχος ὁ Ἀλεξανδρεὺς ἐν τῷ τρισκαιδεκάτῳ τῶν Θηβαϊκῶν, γράφων οὕτως. Οἰδίπου δὲ τελευτήσαντος, καὶ τῶν φίλων ἐν Θήβαις θάπτειν αὐτὸν διανοουμένων, ἐκώλυον οἱ Θηβαῖοι διὰ τὰς προγεγενημένας συμφορὰς, ὡς ὄντος ἀσεβοῦς· οἱ δὲ, κομίσαντες αὐτὸν εἴς τινα τόπον τῆς Βοιωτίας, καλούμενον Κεὸν, ἔθαψαν αὐτόν. γιγνομένων δὲ τοῖς ἐν τῇ κώμῃ κατοικοῦσιν ἀτυχημάτων τινῶν, οἰηθέντες αἰτίαν εἶναι τούτων τὴν Οἰδίπου ταφὴν, ἐκέλευον τοὺς φίλους ἐκβαλεῖν αὐτὸν ἐκ τῆς χώρας. οἱ δὲ ἀπορούμενοι τοῖς συμβαίνουσιν, ἀνελόντες ἐκόμισαν εἰς Ἐτεωνόν. βουλόμενοι δὲ λάθρα τὴν ταφὴν ποιήσασθαι, καταθάπτουσι νυκτὸς ἐν ἱερῷ Δήμητρος, ἀγνοήσαντες τὸν τόπον. καταφανοῦς δὲ γενομένου, πέμψαντες οἱ τὸν Ἐτεωνὸν κατοικοῦντες, τὸν θεὸν ἐπηρώτων τί ποιήσουσιν. ὁ δὲ θεὸς εἶπε μὴ κινεῖν τὸν ἱκέτην τῆς θεοῦ. διόπερ αὐτοῦ τέθαπται. τὸ δὲ ἱερόν φασιν Οἰδιπόδειον κληθῆναι. 93. Κέρδη μὲν οἰκήσοντα] ὁ ποιητὴς χαριζόμενος τοῖς Ἀθηναίοις τοῦτό φησιν· ἐδόκουν γὰρ τότε Βοιωτοὶ καὶ Ἀθηναῖοι πρὸς ἀλλήλους διαφέρεσθαι. 96. Ἢ σεισμὸν, ἢ βροντὴν] ταῦτα ἐπὶ τέλους τοῦ δράματος γίγνονται. 98. Οὐκ ἔσθ' ὅπως οὐ πιστὸν] ὅτι, κατὰ διάνοιαν, φησὶν, ἐξ ὑμῶν τῶν θεῶν εἰς

τὸν

Digitized by Google

Venerandarum ſedem attigiſſem & hoc hoſpitium,
Ibi me finiturum eſſe ærumnoſam vitam,
Cum lucro quidem eorum qui me reciperent,
Cum damno verò eorum qui me ejeciſſent;
Et confirmabat ſigna mihi horum eventura eſſe
Vel motum terræ, vel tonitru, vel Jovis fulgur.
Nunc verò cognoſco, quòd me hac viâ
Haud dubiè proſperum augurium a vobis [eſt
Adduxit in hunc lucum : non enim temerè factum
Quod, dum iter facio, primùm in vos incidi,
Et ſobrius ad vos ſobrias perveni, atque in hac venerandâ
Et impolitâ ſede conſedi. Quare mihi, O Deæ,
Juxta oraculi vocem date hìc vitæ
Exitum, & cataſtrophen tandem,

τὸν τόπον ἀφῖγμαι. Ib. Πτερὸν] οἰωνὸν, τὴν πλέρωσιν τῆς διανοίας. 101. Νήφων ἀοίνοις] ἀοίνους αὐτὰς λέγει, ὅτι οὐ σπένδεται οἶνος αὐταῖς, ἀλλ' ὕδωρ. διὸ καὶ νηφάλιαι καλοῦνται αἱ σπονδαὶ αὐτῶν. Πολέμων δὲ ἐν τῷ πρὸς Τίμαιον, καὶ ἄλλοις τισὶ θεοῖς νηφαλίους φησὶ θυσίας γίγνεσθαι, γράφων οὕτως, Ἀθηναῖοί τε γὰρ ἐν τοῖς τοιούτοις ἐπιμελεῖς ὄντες, καὶ τὰ πρὸς τοὺς θεοὺς ὅσιοι, νηφάλια μὲν ἱερὰ θύουσι Μνημοσύνῃ, Μούσαις, Ἠοῖ, Ἡλίῳ, Σελήνῃ, Νύμφαις, Ἀφροδίτῃ οὐρανίᾳ. Φιλόχορος δὲ καὶ περί τινων ἄλλων θυσιῶν τὸν αὐτὸν τρόπον δρωμένων φησὶν ἐν τῇ δευτέρᾳ τῶν Ἀτθίδων, Διονύσῳ τε καὶ ταῖς Ἐρεχθέως θυγατράσι. καὶ οὐ μόνον θυσίας νηφαλίους, ἀλλὰ καὶ ξύλα τινὰ ἐξέκαιον. Κράτης μὲν οὖν ὁ Ἀθηναῖος τὰ μὴ ἀμπέλινα τῶν ξύλων πάντα νηφάλια φησὶ προσαγορεύεσθαι. ὁ δὲ Φιλόχορος ἀκριβέστερόν φησι, τὰ μήτε ἀμπέλινα, μήτε σύκινα, ἀλλὰ τὰ ἀπὸ τῶν θύμων, νηφάλια καλεῖσθαι· καὶ πρώτῃ φησὶν ὕλῃ πρὸς τὰς ἐμπύρους θυσίας ταύτῃ κεχρῆσθαι. ἐξ οὗ καὶ τοὔνομα λαβεῖν τὸν θύμον, ὡς παρὰ τὴν θυμίασιν καὶ τὴν θυὴν πεποιημένης τῆς φωνῆς. εἰσὶ δὲ καί τινες τὸ παράπαν ἄσπονδοι θυσίαι κατὰ τύχην εἰς ἔθος παρελθοῦσαι. Ib. Κἀπὶ σεμνὸν ἑζόμην] ὃ ἄνω εἶπε, τοῦδ' ἐπ' ἀξέστου πέτρου. 102. Ἀσκέπαρνον] ἄγλυφον, καὶ ἀπελέκητον, καὶ ἄξυστον. οὐκ εἰργασμένον. 104. Πέρασιν ἤδη] πέρασιν, ἀντὶ τοῦ πέρας, ὅ ἐστι τελευτήν. τὸ δὲ ἑξῆς, βίου πέρασιν.



Digitized by Google

Εἰ μὴ δοκῶ τι μειόνως ἔχειν, ἀεὶ
Μόχθοις λατρεύων τοῖς ὑπερτάτοις βροτῶν.
Ἴτ᾽ ὦ γλυκεῖαι παῖδες ἀρχαίου σκότου,
Ἴτ᾽ ὦ μεγίστης Παλλάδος καλούμεναι
Πασῶν Ἀθῆναι τιμιωτάτη πόλις,
Οἰκτείρατ᾽ ἀνδρὸς Οἰδίπου τόδ᾽ ἄθλιον
Εἴδωλον· οὐ γὰρ δὴ τόδ᾽ ἀρχαῖον δέμας.
Αν. Σίγα· πορεύονται γὰρ ὧδε δή τινες
Χρόνῳ παλαιοί, σῆς ἕδρας ἐπίσκοποι.
Οἰ. Σιγήσομαί τε, καὶ σύ μ᾽ ἐξ ὁδοῦ πόδα
Κρύψον κατ᾽ ἄλσος, τῶνδ᾽ ἕως ἂν ἐκμάθω
Τίνας λόγους ἐροῦσιν· ἐν γὰρ τῷ μαθεῖν
Ἔνεστιν ἡ ὐλάβεια τῶν ποιουμένων.

Χο. Ὅρα· τίς ἄρ᾽ ἦν; ποῦ ναίει; ποῦ κυρεῖ,
Ἐκτόπιος συθεὶς ὁ πάντων
Ὁ πάντων ἀκορέστατος;
Λεύσσετ᾽ αὐτόν. προσδέρκου,
Προσφθέγγου πανταχῇ. πλανάτας,
Πλανάτας τις ὁ πρέσβυς, οὐ-

105. Εἰ μὴ δοκῶ τι μειόνως] εἰ μὴ δοκῶ ὑμῖν ἐλαττόνως ἔχειν τὰ κακὰ, καὶ δεῖσθαι προσθήκης κακῶν. 107. Ἴτ᾽ ὦ γλυκεῖαι] εὐφήμως τὰς Ἐρινύας γλυκείας φησὶν, ἵνα μὴ πικραὶ αὐτῷ γένωνται. 112. Σίγα· πορεύονται] τὴν εἰσαγωγὴν τοῦ χοροῦ εὐαφόρμως θέλει ποιήσασθαι. 114. Σιγήσομαί τε] ἵνα μὴ πρὸς τούτους ὁ χωρὸς προπυνθανομένως γένηται, ἀλλὰ τηρηθῇ Θησεῖ παραγιγνομένῳ. 116. Τίνας λόγους ἐροῦσι] δεῖ νοεῖν ὅτι ἐκρύβη εἰς τὸ ἄλσος. Ib. Ἐν γὰρ τῷ μαθεῖν] ἐν γὰρ τῷ προμαθεῖν ἔννοια καὶ σκέψις γίγνεται. οὐ γὰρ τὸν φόβον φησίν. 118. Ὅρα τίς ἄρ᾽ ἦν] ὁ χορὸς ἐκ τῶν ἐπιχωρίων ἀνδρῶν πεπυσμένος

Digitized by Google

Nisi adhuc non satis malorum habere videor,
Qui sustinui gravissima ex humanis malis.
Adeste, O dulces filiæ antiquæ Caliginis,
Adsis, O quæ a magnâ Pallade nomen habes,
Athenarum nobilissima civitas.
Misereat vos hujus miserrimæ umbræ
Oedipi: non enim hoc meum pristinum corpus
*An.* Tace, jam veniunt quidam senes [est.
Inspectores tuæ sedis.
*Oe.* Tacebo, & tu me ex viâ hac ducas,
Atque in luco occultes, donec cognoscam
Horum sermones: nam in explorando
Inest cautio eorum quæ agenda sunt.

ANTISTROPHICA. STROPHE I.

*Ch.* Vide, quisnam erat; ubi moratur, ubi existit,
Extorris, ejectus, ille omnium
Hominum avidissimus?
Circumspice, aspice;
Alloquere; ubi ubi es oberrans
Vagus quidem senex,

πεπυσμένος ὅτι προσκαθίζεταί τις τῷ ἱερῷ τόπῳ τούτῳ, τὰ πρῶτα ὑποχαλεπαίνοντές φασι, τίς ἄρα ἐστίν; ἢ ποῦ διατρίβει; 119. Ἐκτόπιος συθεὶς] ἀπὸ ξένου τόπου ὁρμήσας. 120. Ὁ πάντων ἀκορέστατος] παρ' ὅσον οὐδεὶς αὐτῷ τῶν ἄλλων ἤρκεσε τόπων, ἀλλ' ἐπὶ τοῦτον ἦλθεν ἀφόβως. ἤ, ὁ μηδενὶ τῶν ἄλλων τόπων ἀρκεσθεὶς, ἀλλ' ἐπὶ τοῦτον ἥκων ἀπληρώτως, ὅτι τοσούτου τόπου παρακειμένου, εἰς τὸν ἄβατον ὥρμησεν.

Σχημ. Τρικλ. 116. Ἐν τῷ γὰρ] γνωμικόν.

δ' ἐγχώριος. προσέβα γὰρ οὐ-
κ' ἄν ποτ' ἀστιβὲς ἄλσος ἐς
Τᾶν δ' ἀμαιμακέταν κορᾶν,
Ἃς τρέμομεν λέγειν,
Καὶ παραμειβόμεσθ' ἀδέρκτως,
Ἀφώνως, ἀλόγως, τὸ τᾶς
Εὐφήμου στόμα φροντίδος
Ἱέντες. τὰ δὲ νῦν τιν' ἥκειν
Λόγος, οὐδὲν ἅζον-
θ', ὃν ἐγὼ λεύσσων περὶ πᾶν οὔπω
Δύναμαι τέμενος
Γνῶναι ποῦ μοι ποτὲ ναίει.

Οἰ. Ὅδ' ἐκεῖνος ἐγώ· φωνῇ γὰρ ὁρῶ
Τὸ φατιζόμενον.
Χο. Ἰὼ ἰώ.
Δεινὸς μὲν ὁρᾶν, δεινὸς δὲ κλύειν.
Οἰ. Μή μ' ἱκετεύω προσίδητ' ἄνομον.
Χο. Ζεῦ ἀλεξήτωρ, τίς ποθ' ὁ πρέσβυς;

124. Οὐδ' ἐγχώριος] πάντως (φησὶ) ξένος ἐστὶν, ἀγνοῶν. οὐ γὰρ ἂν ἐπέβαινεν εἰ ᾔδει. 125. Ἀστιβὲς] ἄβατον. ἀπροσπέλαστον. 126. Ἀμαιμακέταν] ἀκαταμαχήτων, ἢ ἀπροσπελάστων. 128. Καὶ παραμειβόμεσθ' ἀδέρκτως] οὐ προσβλέποντες, ἀλλ' ἢ καταμύοντες, ἢ κύπτοντες. 129. Ἀφώνως, ἀλόγως] παριόντες (φησὶν) ἐπὶ ταύτας τὰς θεὰς, ἄλλου οὐδενὸς λόγου ποιούμεθα. ἀλλὰ σιωπὴν ἔχομεν. ἐν ἑαυτοῖς δὲ μόνον καὶ κατὰ διάνοιαν εὐφημότερον διαλεγόμεθα. ὁποῖοι γιγνόμεθα ὅταν μάλιστα ἔν τινι φρικωδεστάτῳ γινώμεθα φόβῳ. ἄκρως δὲ καινότερον διανόημα ἐξήνεγκε μετὰ κατασκευῆς. 130. Εὐφήμου στόμα φροντίδος] στόμα λέγει τὴν φωνήν· στόμα γὰρ ἡ φωνή. Ὅμηρος, Πολέμου στόμα. Καὶ Σοφοκλῆς, Χαλκοστόμου κώδωνος ὡς Τυρσηνικῆς. ὁ δὲ νοῦς, τὴν φωνὴν τῆς

εὐφήμου

Neque incola. Nunquam enim
Acceſſiſſet ad inacceſſum lucum
Dearum inexpugnabilium,
Quas exhorreſcimus nominare,
Et præterimus, non aſpicientes,
Non alloquentes, non cogitantes de eis,
Voce tantum boni ominis
Emiſsâ. Nunc verò aliquem veniſſe
Ferunt, nihil iſta reverentem,
Quem ego circumſpectans per omne
Nemus nondum poſſum
Videre, ubinam moratur.

ANAPÆSTI.

*Oe.* Hìc ego ſum, voce enim video
Hoc quod a vobis dicitur.
*Ch.* Heu, heu,
Difficilis aſpectu, difficilis & auditu.
*Oe.* Ne me conſceleratum, quæſo, aſpicite.
*Ch.* Jupiter propulſator! Quiſnam hic eſt ſenex?

εὐφήμου φροντίδος ἱέντες. ὅ ἐστι, μετὰ φροντίδος πολλῆς εὐφήμως τὴν φωνὴν ἀφιέντες. ἤγουν εὐφημοῦντες καὶ καθ' ἑαυτοὺς συλλογιζόμενοι εὔφημα· οἱ δὲ τὸ εὐφήμου ἀντὶ τοῦ σιωπηλῆς. τὸ γὰρ εὐφημεῖν καὶ ἐπὶ τοῦ σιωπᾶν τάττεται. 132. Οὐδὲν ἅζονθ'] οὐδὲν σέβοντα. ἀσεβῆ. γράφεται, οὐδὲν λιάζοντα, ἀντὶ τοῦ, οὐκ ἐκτρεπόμενον ἃ προσήκει. 133. Ὃν ἐγὼ λεύσσων] τὸ ἑξῆς. ὃν ἐγὼ λεύσσων περὶ πᾶν τέμενος, οὔπω δύναμαι γνῶναι ποῦ μοι ποτὲ ναίει. ἤγουν διατρίβει. 137. Τὸ φατιζόμενον] τὸ λεγόμενον παρ' ὑμῶν. 139. Δεινὸς μὲν ὁρᾶν] ἀσεβής. οὔπω ἀκριβῶς αὐτὸν ἑωρακότες, τοῦτό φασι. 140. Προσίδητ' ἄνομον] λείπει τὸ ὡς, ἵν' ᾖ, ὡς ἄνομον.

Οἰ. Οὐ πάνυ μοίρας εὐδαιμονίσαι
Πρώτης, ὦ τῆσδ' ἔφοροι χώρας.
Δῆλον δ'· οὐ γὰρ ἂν ὧδ' ἀλλοτρίοις
Ὄμμασιν εἷρπον,
Κἀπὶ σμικροῖς μέγας ὥρμουν.

Χο. Ἒ ἔ, ἀλαῶν ὀμμάτων ἄρα καὶ
Ἦσθα φυτάλμιος, δυσαίων
Μακραίων τ' ἔθ', ὡς ἐπεικάσαι.
Ἀλλά γ' οὐ μὰν ἔν γ' ἡμῖν
Προσθήσεις τάσδ' ἀράς· περᾶς γὰρ,
Περᾶς· ἀλλ' ἵνα τῷδ' ἐν ἀ-
φθέγκτῳ μὴ προσπέσῃς νάπει
Ποιάεντι, κάθυδρος οὗ
Κρατὴρ μειλιχίων ποτῶν

142. Οὐ πάνυ μοίρας] οὐ πάνυ μοίρας εἰμὶ πρώτης εἰς τὸ εὐδαιμονίσαι. ἤγουν, οὐκ ἀγαθῆς μοίρας εἰμὶ, ἀλλὰ κακῆς. ἤγουν, οὐ πάνυ τῆς πρώτης κατ' εὐδαιμονίαν μοίρας, τοὐναντίον δὲ τῆς κατὰ δυσδαιμονίαν ἐσχάτης. 144. Δηλῶ] δηλῶ τὸ δυστυχὲς διὰ τῶν ὀφθαλμῶν. 146. Κἀπὶ σμικροῖς μέγας] ἤγουν ἐπὶ εὐτελέσιν αἰτήμασιν οὐκ ἂν σφόδρα ἱκέτευον, εἰ μὴ ἦν δυστυχής. τοῦτο δέ φησι παρ' ὅσον μέγας ὢν κατὰ μέγεθος καὶ τὴν ἡλικίαν, ὑπὸ σμικρᾶς τῆς θυγατρὸς ὁδηγεῖται. 148. Ἦσθα φυτάλμιος δυσαίων] ἀπὸ φύτλης, ἀπὸ γενέσεως, καὶ ἐξ ἀρχῆς τυφλὸς πέφυκας. Ib. Δυσαίων] δυστυχὴς καὶ γέρων εἶ, ὡς ἔστι στοχάζεσθαι ἐκ τοῦ εἴδους. φυλακτικῶς δὲ καὶ τοῦτο λέγουσιν, ἄρτι ἑωρακότες αὐτοῦ τὸ σχῆμα. τὰ πρῶτα γὰρ οὐκ ἑωρακότες αὐτὸν ἀλλ' ἀγνοοῦντες, φασὶν, ἆρα πηρὸς ἦσθα καὶ τοιοῦτος ἐγεννήθης; οὐδέπω γὰρ τἄλλα παθήματα ἴσασιν αὐτοῦ. 149. Μακραίων τ' ἔθ', ὡς ἐπεικάσαι] λείπει τὸ εἶ. 150. Ἀλλ' οὐ μὰν ἔν γ' ἐμοὶ] ἀλλ' οὐκ ἄν με (φησὶν) αἰτιάσῃ ὡς μὴ προμηνύσαντά σοι μὴ εἰσελθεῖν εἰς τόδε τὸ ἱερόν. ἐὰν γάρ τις (φησὶν) ἀγνοοῦντά τινα καὶ μιαίνοντα τόπον ἄβατον μὴ διδάξῃ, αὐτὸς ἐνέχεται

ταῖς

Digitized by Google

*Oe.* Non valde ſuſpiciendus
Ob ſummam fortunam, O terræ hujus præſides.
Et hoc re ipsâ oſtendo : non enim ſic alienis
Oculis arrepſiſſem,
Nec a parvâ puellâ tam grandis ducerer.

ANTISTROPHE.

*Ch.* Heu heu, num cæcus
Infelix natus es?
Et ſenex quantum conjicio.
Sed non utique mihi
Imputabis has imprecationes : tranſis enim,
Tranſis : Sed ne ad hoc
Infandum acceſſeris nemus
Herbidum, ubi undoſus
Crater dulcis aquæ

ταῖς ἀραῖς. οὐκ ἐμοὶ οὖν (φησὶ) προσθήσεις τὴν σὴν ἀράν. παραγγέλλω γάρ σοι μὴ πατεῖν τὸν ἄβατον τόπον. 151. Περᾷς γὰρ, περᾷς] οὕτω Δίδυμος, βαδίζεις γὰρ εἰς ὃ οὐ προσήκει χωρίον ἐπιβαίνειν. 152. Ἀλλ' ἵνα τῷδε] καὶ κατὰ τὴν ἡμετέραν συνήθειαν εἰώθαμεν λέγειν οὕτως, ἵνα παραγγένῃ πρὸς ἐμὲ, βούλομαί σοι σημαίνειν. τὸ δὲ ἑξῆς, ἀλλ' ἵνα τῷδε μὴ προσπέσῃς νάπει ποιάεντι, μετάστηθι. ποίῳ νάπει; ὅπου κρατὴρ ὕδατος πλήρης συγκιρνᾶται ῥεύματι γλυκέων ποτῶν. 153. Ἵνα μὴ προσπέσῃς] ἀντὶ τοῦ μὴ προσπέσῃς. Ib. Τῷδ' ἐν ἀφθέγκτῳ] τὸ νάπος ἄφθεγκτον εἴρηκε διὰ τὰς προδεδηλωμένας αἰτίας. 154. Κάθυδρος οὗ] ὅπου ὕδατος πλήρης. 155. Μειλιχίων ποτῶν] γλυκέων ποτῶν, ὅ ἐστι μέλιτος, ᾧ μειλίσσουσι τὰς θεάς. συγκιρνᾶται γὰρ ταύταις ταῖς θεαῖς ὕδατος καὶ μέλιτος κρᾶμα.

ΣΧΟΛ. ΤΡΙΚΛ. 146. Κἀπὶ σμικροῖς μέγας ὥρμων] τὸ ἐπὶ σμικροῖς μέγας ὥρμων, ἀντὶ τοῦ ἐπὶ εὐτελέσιν αἰτήμασιν οὐκ ἂν σφόδρα ἱκέτευον, εἰ μὴ ἦν δυστυχής. ἢ ὅτι μέγας ὢν κατὰ μέγεθος καὶ ἡλικίαν, ὑπὸ σμικρᾶς θυγατρὸς ὁρμῶ.



Digitized by Google

Ῥώμαλι συντρέχει,
Τὸν ξένε πάμμορ' εὖ φύλαξαι.
Μετάσταθ', ἀπόβαθι. πολ-
λὰ κέλευθος ἐρητύει.
Κλύεις ὦ πολύμοχθ' ἀλᾶτα;
Λόγον εἴ τιν' ἔχεις
Πρὸς ἐμὰν λέσχαν, ἀβάτων ἀποβὰς,
Ἵνα πᾶσι νόμος,
Φώνει· πρόσθεν δ' ἀπερύκου.

Οἰ. Θύγατερ, ποῖ τις φροντίδος ἔλθῃ;
Αν. Ὦ πάτερ, ἀστοῖς ἴσα χρὴ μελετᾶν,
Εἴκοντας ἃ δεῖ, κοὐκ ἄκοντας.
Πρόσθιγε νύν μου.
Οἰ. Ψαύω καὶ δή.
Ὦ ξεῖνοι, μὴ δῆτ' ἀδικηθῶ
Σοὶ πιστεύσας, καὶ μεταναστάς.
Χο. Οὔτοι· μή ποτέ σ' ἐκ τῶνδ' ἑδράνων
Ὦ γέρον ἄκοντά τις ἄξει.

Οἰ. Ἔτ' οὖν ἔτι προβῶ;

156. Συντρέχει] συγκιρνᾶται. 157. Ξένε πάμμορ' εὖ] ὦ περὶ πάντα δυστυχής. 158. Μετάστηθι] ἀπόβηθι. οὕτω πολλά ἐστι τὰ κωλύοντά σε προσμένειν καὶ ἵστασθαι ἐν τῷ ἄλσει. Ib. Πολλὰ κέλευθος ἐρητύει] οἷον, πολλή ἐστιν ἡ ὁδὸς διαχωρίζουσά σε ἡμῶν. δεῖ γὰρ νοεῖν ὡς ὅτι πόῤῥωθεν προσφωνοῦσιν αὐτὸν, μὴ δυνάμενοι ἐπιβῆναι τῷ τόπῳ. καὶ ταῦτα εἰπόντων, κατὰ μικρὸν ὁ Οἰδίπους προσέρχεται, καὶ ἵσταται ὥσπερ ἐν τῷ ὕδῳ τοῦ χωρίου. 164. Φώνει] εἰ θέλεις μέ τι ἐρωτῆσαι, πρῶτον ἀπο-

στὰς

Digitized by Google

Confluit affatim:
Hanc, hoſpes infelix,
Diligenter vita; transfer te, abi;
Longa via arcet.
Audiſne, O ærumnoſe exul?
Animum ſi advertis
Ad meum ſermonem, ex inacceſſis locis abi,
Et ex eo loco unde fas eſt
Loquere; prius verò te contine.

### ANAPÆSTI.

*Oe.* Quid animi jam nobis erit, filia?
*Ant.* O pater, civium moribus eſt obtemperandum,
Et cedere illis oportet;
Apprehende igitur me.
*Oe.* Apprehendo quidem.
O hoſpites, ne quæſo injuriâ afficiar
Cum vobis obtemperans ex hoc loco tranſeam.
*Ch.* Minimè: nam te ex iſto loco
O ſenex invitum abducet nemo.

### MONOSTROPHICA.

*Oe.* Ulterius igitur adhuc progredior?

ϛὰς τῶν ἀβάτων, καὶ ἐπιβὰς τοῖς βατοῖς τόποις. οὕτως ἐρώτα με. Ib. Πρόσθεν δ' ἀπερύκου] πρότερον δὲ μὴ διαλέγου. 165. Ποῖ τις φροντίδος] λογισώμεθα τί ποιήσομεν. 166. Ἀστοῖς ἴσα χρὴ μελετᾷν] ἃ ἐκεῖνοι ἀσκοῦσιν, τούτων καί σε δεῖ ἐπιμέλειαν ἔχειν. 167. Εἴκοντας ἃ δεῖ] πρὸς τὸ, Χρὴ δὲ ξένον μὲν κάρτα προσχωρεῖν πόλει. 171. Σοὶ πιστεύσας] κατά τινα συνήθειαν ποιητικὴν πληθυντικὸν προσωπικὸν ἐνικῷ ἐπέζευξεν.

Χο. Ἐπίβαινε πρόσω.

Οἰ. Ἔτι;

Χο. Προσβίβαζε κούρα
Πρόσω. σὺ γὰρ ἀΐεις.

Αν. Ἕσπεο μάν, ἕσπε' ὧδ' ἀμαυρῷ
Κώλῳ πάτερ ᾇ σ' ἄγω. τόλμα ξεῖνος
Ἐπὶ ξείνης, ὦ τλᾶμον, ὅ,τι
Καὶ πόλις τέτροφεν ἄφιλον
Ἀποστυγεῖν, καὶ τὸ φίλον σέβεσθαι.

Οἰ. Ἄγε νῦν σύ με παῖ, ἵν' ἂν εὐσεβίας
Ἐπιβαίνοντες, τὸ μὲν εἴπωμεν,
Τὸ δ' ἀκούσωμεν,
Καὶ μὴ χρεία πολεμῶμεν.

Χο. Αὐτοῦ· μηκέτι τοῦδ' ἀντιπέτρου
Βήματος ἔξω πόδα κλίνης.

Αν. Οὕτως;

Χο. Ἅλις, ὡς ἀκούεις.

Οἰ. Ἡσθῶ.

Χο. Λέχριός γ' ἐπ' ἄκρου
Λᾶου βραχὺς ὀκλάσας.

Αν. Πάτερ, ἐμὸν τόδ', ἐν ἡσυχίᾳ

178. Σὺ γὰρ ἀΐεις] σὺ γὰρ, αἰσθάνῃ τοῦ ἰσμέν. 180. Ξεῖνος ἐπὶ ξείνης] ξένος ὢν ἐπὶ ξένης τόλμα ὦ τλᾶμον ταῦτα φιλεῖν, ἃ καὶ ἡ πόλις φιλεῖ, ἐκεῖνα δὲ μισεῖν ἃ καὶ ἡ πόλις μισεῖ. 182. Τέτροφεν] ἔχει. 184. Ἵν' ἂν εὐσεβείας ἐπιβ.] ὅπου ἂν εὐσεβῶς πατοῦντες, τὸ μὲν εἴπωμεν, τὸ δ' ἀκ. ἀντὶ τοῦ τῶν βατῶν τόπων. 187. Καὶ μὴ χρεία πολεμῶμεν] καὶ μὴ τῇ αὐτῶν ἐνδείᾳ ἐναντιώμεθα. 188. Ἀντιπέτρου] ἰσοπέτρου· χαλκοῦ. 189. Βήματος] τοῦ κατ' ἴσον βεβηκότος τῷ πέτρῳ, ὅπερ ἄνω εἶχε χαλκοῦν

*An.* Procede longius.
*Oe.* Adhucne?
*Cb.* Promove, puella,
Ulterius, tu enim audis.
*An.* Sequere huc, sequere infirmo
Pede pater; quo te duco; sustine hospes
In hospite terrâ, O miser,
Quod civitas odiosum ducit,
Idem & tu odisse, atque colere quod ipsa colit.
Duc me, filia, ut in loco pio
Constituti dicamus vicissim,
Et audiamus,
Et ne cum necessitate bellum geramus.
*Cb.* Istic consiste, neque extra saxi, quod ex adverso
Viam pedem ampliùs promoveas. [est,
*An.* Siccine?
*Cb.* Satis est, inquam.
*Oe.* Ubi igitur sedebo?
*Cb.* Obliquè in summo
Lapide, modicè te inclinans.
*An.* Pater, hoc meum officium est, ita placidè

κὸν ὀδόν. τοῦτον δὲ τὸν πέτρον ὑποτίθεται τοῦ ἀβάτου ὅριον. Ἄλλως. Βήματος, τοῦ ὀδοῦ· ἀντιπέτρου δὲ, ὅτι ἀντὶ πέτρας χαλκὸς ἦν. Ib. Κλίνης] γράφεται καὶ κινήσης. 192. Ἡσθῶ] ἀντὶ τοῦ καθεσθῶ, ἀπὸ τοῦ ἵω. γράφεται ἧσῶ. ὃ καὶ βέλτιον. 193. Ἐπ' ἄκρου λάου] ἀπὸ τῆς λᾶος ἐστὶ παροξυνομένης εὐθείας, ἀπὸ γενικῆς τῆς, Λᾶος ὑπὸ ἐιπῆς. οὕτως Ἡρωδιανὸς ἐν τῷ ε τῆς καθόλου. 195. Ἐμὸν τόγε,] τὸ ὁδηγῆσαί σε. ἢ τὸ ἁρμόσαι σοῦ ἐφ' ἡσυχίας τὴν βάσιν τῇ καθέδρα.

(Ἰώ μοι μοι)
Βάσει βάσιν ἁρμόσαι.
Γεραιὸν ἐς χέρα σῶμα σὸν
Πρόσκλινον φιλίαν ἐμάν.
Οἰ. Ὤ μοι δύσφρονος ἄτας.
Χο. Ὦ τλάμων, ὅτε νῦν χαλᾷς,
Αὔδασον τίς σ' ἔφυσε βροτῶν,
Τίς ὢν πολύπονος ἄγῃ, τίνα σοῦ
Πατρίδ' ἐκπυθοίμαν.
Οἰ. Ὦ ξένοι, ἀπόπτολις· ἀλλὰ μή.
Χο. Τί τόδ' ἐννέπεις γέρον;
Οἰ. Μὴ, μὴ μή μ' ἀνέρῃ τίς γ' εἰμὶ,
Μηδ' ἐξετάσῃς πέρα ματεύων.
Χο. Τί τόδε;
Οἰ. Δεινὰ φύσις.
Χο. Αὔδα.
Οἰ. Τέκνον, ὤμοι, τί γεγωνῶ;
Χο. Τίνος εἶ σπέρματος,
Ξένε φώνει, πατρόθεν.
Οἰ. Ὦ μοι ἐγὼ τί πάθω, τέκνον ἐμόν;
Αν. Λέγ', ἐπείπερ ἐπ' ἔσχατα βαίνεις.
Οἰ. Ἀλλ' ἐρῶ· οὐ γὰρ ἔχω κατακρυφάν.

198. Γεραιὸν ἐς χέρα] τὸ ἑξῆς οὕτω, γεραιὸν σῶμα σὸν προσκλίνας ἐς χέρα φιλίαν ἐμήν. τὸ δὲ κλίνας ἀπὸ τῆς μετοχῆς ἤρτηται, ἀντὶ τοῦ κλίνας ἔσω. σχηματίζει δέ πως αὐτὸν καὶ εὐθετίζει ἡ Ἀντιγόνη. 201. Ὅτε νῦν χαλᾷς] ὅτε νῦν εἴκεις καὶ οὐκ ἀντιλείνεις τὸ ἐξελθεῖν· λέγει δὲ ἐκ τοῦ ἱεροῦ. 202. Τίς σε ἔφυ.] γράφεται καὶ, τίς ἔφυς. 203. Τίς ὢν πολύπονος ἄγῃ] γράφεται καὶ τίς ὁ πολύπονος. τίς ὢν ἄγῃ ἀπὸ τῆς σῆς πόλεως, ἢ οὕτως, τίς ὢν διὰ πολλῶν πόνων ἄγῃ. 205. Ἀπόπτολις] ἔρημος καὶ ἄπολις

Hei mihi!
Gradum gradui aptare,
Dum tuum ſenile corpus
Hac charâ manu inclino.
*Oe*. Heu infelicem calamitatem!
*Oe*. O miſer, quando nunc acquieſcis,
Dic, quis te genuit hominum?
Quis es qui ita miſer ductaris?
Quænam tibi patria eſt?
*Oe*. O hoſpites extorris ſum, ſed ne
*Ch*. Quare hoc dicis, ſenex?
*Oe*. Ne me interroges quis ſim,
Neque ulterius procedas inquirendo.
*Ch*. Quid hoc rei eſt?
*Oe*. Calamitoſum genus.
*Ch*. Narra quæſo.
*Oe*. Hei mihi, filia, quid dicam?
*Ch*. Ex quo ſemine natus es,
Dic hoſpes de patre?
*Oe*. Heu, filia, quid mihi accidet.
*An*. Dic, jam enim extrema ſuſtines.
*Oe*. Atqui dicam, non enim celare poſſum.

ἄπολις εἰμί. Ib. Ἀλλὰ μὴ] τὸ ἑξῆς, ἀλλὰ μή με ἀνέρῃ τίς εἰμι, μηδὲ ἐξετάσῃς. ἐμπαθὲς δὲ τὸ χωρίον, τῶν μὲν, σπευδόντων μαθεῖν, τῷ δὲ, κατοκνοῦντος λέγειν. οἱ δὲ, διὰ βραχέων ἀκούσαντες, τἆλλα συμβάλλουσιν. οὐδὲν δὲ θαυμαστὸν ἐπίστασθαι τοὺς Ἀθηναίους τὰ ἐν Θήβαις πραττόμενα, μάλιστα οὕτως ἐπισήμων ὄντων τῶν κατὰ τὴν Σφίγγα. 210. Δεινὰ φύσις] ἡ ἐμὴ γέννα δεινή ἐστι καὶ ἀθλία. 217. Κατακρυφὰν] ἀποφυγὴν τοῦ μὴ εἰπεῖν.



Digitized by Google

Χο. Μακρὰ μέλλετέ γ', ἀλλὰ ταχύνετε.
Οἰ. Λαΐου ἴστέ τιν' ἀπόγονον;
Χο. Ὦ ὤ. ἰοὺ ἰού.
Οἰ. Τό,τε Λαβδακιδᾶν γένος;
Χο. Ὦ Ζεῦ.
Οἰ. Ἄθλιον Οἰδιπόδαν;
Χο. Σὺ γὰρ ὅδ' εἶ;
Οἰ. Δέος ἴσχετε μηδὲν, ὅσ' αὐδῶ.
Χο. Ἰώ. ὤ, ὤ.
Οἰ. Δύσμορος.
Χο. Ὦ ὤ.
Οἰ. Θύγατερ, τί ποτ' αὐτίκα κύρσει;
Χο. Ἔξω πόρσω βαίνετε χώρας.
Οἰ. Ἃ δ' ὑπέσχεο, ποῖ καταθήσεις;
Χο. Οὐδενὶ μοιριδία τίσις ἔρχεται,
Ὧν προπάθῃ, τὸ τίνειν.
Ἀπάτα δ' ἀπάταις
Ἑτέραις ἑτέρα παραβαλλομένα,
Πόνον οὐ χάριν ἀντιδίδωσιν ἔχειν.
Σὺ δὲ τῶνδ' ἑδράνων

219. Λαΐου ἴστε τιν'] εὖ διατέθειται γνωριζόμενον. ὑπὸ τῶν Ἀθηναίων τὸν Οἰδίποδα, ὑπὲρ τοῦ μὴ γενεαλογοῦντα ἄνωθεν ὀχλεῖν αὐτὸν τοῖς θεωμένοις. ἀλλ' οὔγε Εὐριπίδης τοιοῦτος. ἐν γοῦν ταῖς Ἱκέτισι τὸν Θησέα ὑποτέθειται τοὺς περὶ τὸν Ἄδραστον ἀγνοοῦντα, ἕνεκα τοῦ μηκῦναι τὸ δρᾶμα. 225. Δέος ἴσχετε] ὅσα (φησὶ) λέγω περὶ τούτων, μηδὲν φοβεῖσθε. δεῖ δὲ προσυπακοῦσαι ψευσαμένου. 229. Τί κύρσει] τί προβήσεται ἡμῖν; ὁρῶ γὰρ τούτους μυσαττομένους με. 230. Ἔξω πόρσω βαίνετε χώρας] ἀκούσαντες τὰ κατ' αὐτὸν, ἀξιοῦσιν ἐξιέναι τοῦ χωρίου. φησὶν οὖν ὁ Οἰδίπους, ὅτι πρότερον ὑπέσχεσθε τοῦ μὴ ἐκβαλεῖν με. οἱ δέ φασιν, οὐδεμία τίσις ἔρχεται τοῖς προπαθοῦσιν, ἀντιτιμωρουμένοις. καὶ ἡμεῖς οὖν, ἀπα-

*Ch.* Diu differtis, sed properate.
*Oe.* Laiine prolem novistis?
*Ch.* Hei mihi!
*Oe.* De genere Labdacidarum?
*Ch.* O Jupiter!
*Oe.* Infelicem Oedipum.
*Ch.* Tune ille es?
*Oe.* Ne quid metuas ob ea quæ tecum loquor.
*Ch.* Hei, hei!
*Oe.* Infelix ego.
*Ch.* Ah, ah!
*Oe.* O filia, quid nobis accidet?
*Ch.* Excedite, abite ex hac regione.
*Oe.* Cæterum, quæ promisistis, ubi ea manebunt?
*Ch.* Non meretur pœnam divinam,
Qui injuria affectus ulciscitur.
Et fraus pro fraude
Retributa, autori
Laborem, non gratiam refert.
Tu verò ex his locis

ἀπατηθέντες ὑπὸ σοῦ, ἐν μέρει ἀπατῶμέν σε. σέφρασται δὲ δυνατῶς. μοῖρα δὲ, ἡ ἐξ Ἐριννύων δηλαδή. μοίρας γὰρ νῦν τὰς Ἐριννύας ἀκουστέον. 233. Ὧν προπάθη, τὸ τίνειν] λείπει ἡ Διὰ ἵν' ᾖ, διὰ τὸ τιμωρεῖν ὑπὲρ ὧν ἂν προπάθη. 234. Ἀπάτα δ' ἀπάταις] ἡ δὲ ἀπάτη (φησὶ) παραβαλλομένη καὶ ἀντισυμένη ἑτέραις ἀπάταις, πόνον ἔχειν ἀντιδίδωσι τῷ ἀπατήσαντι ἐξ ἀρχῆς, καὶ οὐ χάριν· καὶ αὐτοὶ οὖν νομίζουσι προσδεδέχθαι αὐτὸν καὶ ἐπηγγέλθαι τὴν ἀσφάλειαν αὐτῷ, ἀπατώμενοι καὶ οὐ πρότερον ἐπεγνωκότες ὅτι οἰκείοις ἐνέχεται μιάσμασι. τοιοῦτόν ἐστι καὶ τὸ, Ἡ γλῶσσ' ὀμώμοκεν, ἡ δὲ φρὴν ἀνώμοτος. καὶ ἐκεῖνος γὰρ ἀπατηθεὶς ὤμοσεν.

238.

Digitized by Google

Πάλιν ἔκτοπος, αὖτις ἄφορμος ἐμᾶς
Χθονὸς ἔκθορε, μήτι πέρα χρέος
Ἐμᾷ πόλει προσάψῃς.
Αν. Ὦ ξένοι αἰδόφρονες, ἀλλ' ἐπεὶ
Γεραὸν ἀλαὸν πατέρα τόνδ' ἐμὸν
Οὐκ ἀνέτλατ' ἔργων
Ἀκόντων ἀΐοντες αὐδὰν,
Ἀλλ' ἐμὲ τὰν μελέαν, ἱκετεύομεν,
Ὦ ξένοι, οἰκτείραθ', ἃ πατρὸς ὕπερ
Τοῦ 'μοῦ ἄντομαι, ἄντομαι, οὐκ ἀ-
λαοῖς προσορωμένα ὄμμα σὸν ὄμμασιν,
Ὥς τις ἀφ' αἵματος
Ὑμετέρου προφανεῖσα, τὸν ἄθλιον
Αἰδοῦς κῦρσαι. ἐν ὑμῖν γὰρ ὡς θεῷ
Κείμεθα τλάμονες· ἀλλ' ἴτε, νεύσατε
Τὰν ἀδόκητον χάριν,
Πρός σ' ὅ,τι σοὶ φίλον ἐκ σέθεν ἄντομαι,
Ἢ τέκνον, ἢ λόγος, ἢ χρέος, ἢ θεός.
Οὐ γὰρ ἴδοις ἂν ἀθρῶν βροτῶν ὅστις ἂν, εἰ
Θεὸς ἄγοι γ', ἐκφυγεῖν δύναιτο.

238. Ἄφορμος] ἀφορμηθείς. 241. Ὦ ξένοι αἰδόφρονες] τὸ τῆς Ἀντιγόνης πρόσωπον ὅλον καὶ τοῦ χοροῦ τὸ τετράστιχον ἀθετοῦνται. κρεῖττον γὰρ, φασὶν, εὐθέως τῷ δικαιολογικῷ χρήσασθαι τὸν Οἰδίπουν πρὸς αὐτούς. ἀλλὰ τὰ πράγματα αὐτοῖς οὐκ ἐν καιρῷ ἐστιν, ἀλλ' ἐν δυσπραγίᾳ· ὥστε ἐπαφρόδιτον εἶναι αὐτοῖς τὴν ἐλεεινολογίαν. καὶ τοῦτο τὸ πρόσωπον ἡ Ἀντιγόνη πληροῖ. ἐπεὶ μέντοι οὗτοι οὐ πείθονται, τότε δικαιολογικώτερον καὶ ὥσπερ ἀπολογούμενος ἐκφέρει τὰ ἑξῆς ὁ Οἰδίπους, ὅτι ἀκούσιά ἐστιν αὐτοῦ τὰ ἁμαρτήματα. καὶ εἰ ταῦτα τῆς ὁμοίας ἔχεται δυνάμεως τοῦ ποιητοῦ, καθόλου θαυμαστή τις ἐστὶν ἡ οἰκονομία τοῦ δράματος. οὐδὲν δὲ ἐν τοῖς Διδύμου τούτων ὀβελισθὲν εὕρομεν. Ib. Ἀλλ' ἐπεὶ γεραὸν] ἐπειδὴ γάρ ἐστιν ὁ ἀλλὰ ἀντὶ τοῦ δὲ, ὁ δὲ Δὲ ἀντὶ τοῦ Δὴ, πλεονάζει ὁ ἀλλά.

242.

Digreſſus abi rurſum meâ terrâ exiliens,
Ne quam neceſſitatem ampliùs
Urbi meæ afferas.

*An.* O hoſpites venerantes honeſtatem, quoniam
Senio confectum patrem meum
Non ſuſtinetis, de factis
Non voluntariis audientes vocem,
Saltem mei infelicis, obſecro,
O hoſpites miſereat, quæ pro meo
Patre deprecor, non pulchris
Vos intuens oculis,
Sed quaſi aliqua ex ſanguine
Veſtro prognata precor ut hunc miſerum
Revereamini: nam in vobis tanquam in Deo
Spes nobis poſita eſt. Sed agite, ne denegate
Inſperatum beneficium;
Per omne quod tibi charum ex te precor,
Sive natus, aut oratio eſt, ſive res, ſive Deus.
Non enim, *ſedulo* conſiderans, videas mortalium
Quenquam, qui ſi trahat Deus, poſſit effugere.

242. Γεραὸν ἀλαὸν] ἐκ τȣ͂ ἐπιθέτȣ νεύει εἰς τὴν τȣ͂ πατρὸς ἀπολογίαν. 243. Ἔργων ἀκόντων] τῶν ἀκȣσίων. ἢ τῶν ἀπαρεσκόντων ὑμῖν. 247. Οὐ καλοῖς] ȣ̓ καλοῖς ὄμμασιν ὁρῶσα τὸ σὸν ὄμμα. ὀφθαλμοὶ γὰρ ὀφθαλμȣ̀ς αἰδεῖσθαι ποιȣ͂σι. 248. Προσορωμένα] ἀντὶ τȣ͂ ὁρῶσα τȣ́τȣς ὧν κὴ δέομαι. 249. Ὥς τις ἀφ' αἵματος] ὡς ἂν τῆς κοινῆς ἀνθρωπότητος ἐχȣ́σης τὸ συγγενές. ἢ τοιαύτας ἱκετείας ποιȣ͂μαι οἵας ἂν τις προσαγάγοι τοῖς συγγενέσι. 250. Τὸν ἄθλιον] τὸ ἑξῆς, ἄντομαι τὸν ἄθλιον αἰδȣ͂ς κύρσαι. 254. Ἐκ σέθεν ἄντομαι] λείπει ἐκείνȣ· ἵν' ᾖ, ὑπὲρ ἐκείνȣ σε ἄντομαι, ὃ ἐκ σέθεν τίμιόν ἐστί σοι. ἀντὶ τȣ͂, ὃ ἐκ σῆς προαιρέσεως τίμιόν σοι ἔνεστιν. 256. Οὐ γὰρ ἴδοις ἀναθρῶν] τὸ ἑξῆς. ȣ̓ γὰρ ἴδοις ἀναθρῶν βροτῶν ὅστις ἂν ἐκφυγεῖν δύναιτο εἰ θεὸς ἄγοι.

Χο. Ἀλλ' ἴσθι, τέκνον Οἰδίπου, σέ τ' ἐξ ἴσου
Οἰκτείρομεν καὶ τόνδε συμφορᾶς χάριν.
Τὰ δ' ἐκ θεῶν τρέμοντες, οὐ σθένοιμεν ἂν
Φωνεῖν πέρα τῶν πρός σε νῦν εἰρημένων.
Οἰ. Τί δῆτα δόξης ἢ τί κληδόνος καλῆς
Μάτην ῥεούσης ὠφέλημα γίνεται;
Εἰ τὰς Ἀθήνας φασὶ θεοσεβεστάτας
Εἶναι, μόνας δὲ τὸν κακούμενον ξένον
Σώζειν οἵας τε, καὶ μόνας ἀρκεῖν ἔχειν,
Κἄμοί γε ποῦ ταῦτ' ἐστίν; οἵτινες βάθρων
Ἐκ τῶνδέ μ' ἐξάραντες, εἶτ' ἐλαύνετε,
Ὄνομα μόνον δείσαντες; οὐ γὰρ δὴ τό γε
Σῶμ', οὐδὲ τἄργα τἄμ'· ἐπεὶ τά γ' ἔργα μου
Πεπονθότ' ἐστὶ μᾶλλον ἢ δεδρακότα,
Εἴ σοι τὰ μητρὸς καὶ πατρὸς χρεὼν ἢ λέγειν,
Ὧν οὕνεκ' ἐκφοβῇ με· τοῦτ' ἐγὼ καλῶς
Ἔξοιδα. καίτοι πῶς ἐγὼ κακὸς φύσιν,
Ὅστις παθὼν μὲν, ἀντέδρων, ὥστ' εἰ φρονῶν
Ἔπρασσον, οὐδ' ἂν ὧδ' ἐγιγνόμην κακός·

260. Οὐ σθένοιμεν ἂν φωνεῖν] ἀλλ' ἐμμένοιμεν τοῖς λεχθεῖσι δηλονότι. λέγομεν δὲ, τὸ ἀναστῆναι τοῦτον τοῦ ἱεροῦ, μὴ μολύνειν αὐτό. 262. Τί δῆτα δόξης] ὡς μάτην τῆς περὶ τῶν Ἀθηνῶν κατεχούσης δόξης ὡς ἄρα φιλοικτίρμων τις ἂν εἴη καὶ ἱκεταδόκος, τοῦτο λέγει. Φησὶ γὰρ καὶ ὁ Κυρήναιος ἐν τῷ τέλει τοῦ δευτέρου τῶν Αἰτιῶν, Οὕνεκεν οἰκτείρειν οἶδε μόνη πολίων. 264. Εἰ τάς γ' Ἀθήνας φασὶν] ἐπεὶ καὶ ἐλέου βωμὸς ἐν Ἀθήναις ἵδρυται. 267. Κἄμοί γε ποῦ] καί μοι ποῦ ταῦτ' ἐστὶ, τὰ λεγόμενα περὶ Ἀθηνῶν; 270. Οὐδὲ τἄργα τὰ 'μά] ἀπὸ κοινοῦ τὸ δείσαντες. 271. Πεπονθότ' ἐστὶ μᾶλλον] μᾶλλον (φησὶν) ἔπαθον ἤπερ ἐποίησα. ἐκοῦν καὶ συγγνώμης ἄξιός εἰμι, Ἄλλως, τοῦτο ἐγὼ καλῶς ἔξοιδα ὅτι μᾶλλον

IAMBI.

At ſcito, filia Oedipi, quòd teque pariter
Miſeremur, & hunc ob calamitatem :
Sed iram Deorum timentes, non poſſumus
Dicere *aliud* præter quæ dicta ſunt jam vobis.
*Oe.* Quid igitur famæ, aut honeſto nomini
Utilitatis ineſt, ſi vana effluat ?
Quid, ſi Athenas has aiunt pientiſſimas
Eſſe, ſolaſque malis afflictum hoſpitem
Servare poſſe, & ſolas opem ferre poſſe ?
Sed ubi hæc ſunt mihi ? qui ſedibus
Ex hiſce me ſubmotum deinde pellitis,
Nomen ſolum timentes : non enim hoc
Corpus meum, neque opera *metuitis*, quoniam o-
Paſſus ſum potiùs quàm perpetravi : [pera mea
De matre ſi dicere, deque patre neceſſe ſit,
Quorum cauſa me abhorres, hoc ego
Pulchrè novi : quomodo enim malus ſum,
Qui injuriam ante paſſus, feci viciſſim ? adeò ut ſi
Feciſſem, ne ſic quidem cenſerer malus. [ſciens

μᾶλλον ἠδικήθην ἤπερ ἠδίκησα. 272. Εἴ σοι τὰ μητρὸς καὶ πατρὸς χρεῖ' ἢ λέγειν] χρεῖα, χρήσιμα. ἤτοι χρήσιμον ἢ λέγειν. ἐκ τούτων γὰρ σύγκειται καὶ τὸ χρή. τὸ δὲ χρεία τριγενές ἐστιν. ἔστι γὰρ ὁ χρεῖος, ἡ χρεία, τὸ χρεῖον. ἔστι δὲ καὶ μονογενὲς ἡ χρεία. ὅτι δὲ ἐνταῦθα τὸ χρεῖα οὐδέτερόν ἐστι, δηλοῖ τὸ συναλείφεσθαι τὸ Α· ὅπερ οὐκ ἂν ἐγένετο εἰ μὴ βραχὺ ἦν. 273. Τοῦτ' ἐγὼ καλῶς ἐξοιδα] οἶδα ὅτι μᾶλλον ἠδικήθην ἤπερ ἠδίκησα. 275. Ὡς' εἰ φρονῶν ἔπρασσον] ἄκων μὲν (φησὶν) ἔδρων· εἰ δὲ καὶ ἑκών, προπαθὼν ἠμυνάμην. δηλοῖ δὲ διὰ τὸ βλαβῆναι ὅτι ἐγεννήθη. ὥστε δύο μοι (φησὶ) βοηθεῖ, ἥ τε ἄγνοια καὶ τὸ προπαθόντα ἀμύνασθαι.

Νῦν δ' οὐδὲν εἰδὼς ἱκόμην ἵν' ἱκόμην·
Ὑφ' ὧν δ' ἔπασχον, εἰδότων ἀπωλλύμην.
Ἀνθ' ὧν ἱκνοῦμαι πρὸς θεῶν ὑμᾶς, ξένοι,
Ὥσπερ με κἀνεστήσαθ', ὧδε σώσατε.
Καὶ μὴ θεοὺς τιμῶντες, εἶτα τοὺς θεοὺς
Μοῖραν ποιεῖσθε μηδαμῶς. ἡγεῖσθε δὲ
Βλέπειν μὲν αὐτοὺς πρὸς τὸν εὐσεβῆ βροτῶν,
Βλέπειν δὲ πρὸς τοὺς δυσσεβεῖς· φυγὴν δέ του
Μήπω γενέσθαι φωτὸς ἀνοσίου βροτῶν.
Ξὺν οἷς σὺ μὴ κάλυπτε τὰς εὐδαίμονας
Ἔργοις Ἀθήνας ἀνοσίοις ὑπηρετῶν.
Ἀλλ' ὥσπερ ἔλαβες τὸν ἱκέτην ἐχέγγυον,
Ῥύου με, κἀκφύλασσε· μηδέ μου κάρα
Τὸ δυσπρόσωπον εἰσορῶν ἀτιμάσῃς.
Ἥκω γὰρ ἱερὸς εὐσεβής τε, καὶ φέρων
Ὄνησιν ἀστοῖς τοῖσδ'. ὅταν δ' ὁ κύριος
Παρῇ τις ὑμῶν, ὅστις ἐστὶν ἡγεμὼν,
Τότ' εἰσακούων πάντ' ἐπιστήσῃ· τὰ δὲ
Μεταξὺ τούτου, μηδαμῶς γίνου κακός.
Χο. Ταρβεῖν μὲν, ὦ γεραιὲ, τἀνθυμήματα
Πολλή γ' ἀνάγκη τἀπὸ σοῦ· λόγοισι γὰρ
Οὐκ ὠνόμασται βραχέσι· τοὺς δὲ τῆσδε γῆς
Ἄνακτας ἀρκεῖ ταῦτά μοι διειδέναι.

277. Νῦν δ' οὐδὲν εἰδὼς ἱκόμην] τὴν τοῦ πατρὸς φόνου λέγει ὁδόν. 281. Καὶ μὴ θεοὺς τιμῶντες] ἐπεὶ κατὰ πυθόχρηστον ἐλήλυθα (φησὶ) καὶ γνώμῃ θεοῦ, μὴ ἐναντία τοῦ θεοῦ ποιεῖτε. 285. Μήπω γενέσθαι φωτὸς] ὃ βούλεται λέγειν, μηδένα διαφυγεῖν ποτε φῶτα ἀνόσιον ἀνθρώποις. ὡς τὸ, δικαιότατος κενταύρων. 284. Φυγὴν δὲ] ἀντὶ τοῦ ἔκφευξιν. 286. Ξὺν οἷς] Συν οἷς θεοῖς. Ib. Σὺ μὴ κάλυπτε] ἀντὶ τοῦ, μὴ περι-

κα-

Nunc autèm imprudens eò, quò veni, veni.
A quibus verò passus sum ante, *illi* scientes perdiderunt.
Quapropter supplico per Deos vobis, hospites,
Ut me priore suscitastis e loco, ità servate.
Et ne Deos honorantes; deinde Deorum
Fata nihili habeatis: sed credite
Respicere quidem eos pium hominem,
Respicere quoque impios; effugiumque
Neminem unquàm hominem scelestum invenisse.
Quorum prætextu tu ne maculis tegas felices
Athenas, facinoribus impiis subserviens.
Sed ut accepisti supplicem fide datâ,
Libera me & conserva, neque meum caput
Visu triste intuens contumeliâ affeceris.
Venio enim sacer piusque, & ferens [dominus
Emolumenta civibus hisce *magna*; cum verò
Aderit vester; quisquis est hîc princeps,
Tunc audiens *ex me* omnia scies. at
Intereà, ne *quæso in me* sis malus.
*Ch.* Revereri quidem, O senex, tua argumenta
Valdè necesse est; sermonibus enim
Non comprensa sunt brevibus, mihique sufficit
Si terræ hujus principes hæc mecum scient.

καλύψῃς θεοὺς καὶ Ἀθήνας. ἢ, ἀνόσια πράττων, μὴ ἀφάνιζε τὰς Ἀθήνας. 288. ἐχέγγυοι] ἀσφαλῆ. 291. ἱερὸς] καθαρός. Ib. Καὶ φέρων ὄνησιν ἀστοῖς] ἐρεῖ γὰρ προϊὼν ὡς ἔσται πολὺ αὐτοῖ, ἔχθρα πρὸς Θηβαίους, ἐν ᾗ κρατήσουσιν αὐτῶν, διὰ τὸ τὸν τάφον αὐτοῦ παρ' Ἀθηναίοις τυγχάνειν. ἦν γάρ τι λόγιον, ἐν ᾗ ἂν ταφῇ χώρα, ἐκείνην μηδὲν κακὸν πείσεσθαι ὑπὸ θεῶν. 296. Τἀνθυμήματα] εἶπε γὰρ σώζειν τὰς Ἀθήνας.



Digitized by Google

Οἰ. Καὶ ποῦ 'σθ' ὁ κραίνων τῆσδε τῆς χώρας, ξένοι;
Χο. Πατρῷον ἄστυ γῆς ἔχει· σκοπὸς δέ νιν,
Ὃς κἀμὲ δεῦρ' ἔπεμψεν, οἴχεται στελῶν.
Οἰ. Ἦ καὶ δοκεῖτε τοῦ τυφλοῦ τιν' ἐντροπὴν
Ἢ φροντίδ' ἕξειν, κἀπόνως ἐλθεῖν πέλας;
Χο. Καὶ κάρθ', ὅταν περ τοὔνομ' αἴσθηται τὸ σόν.
Οἰ. Τίς δ' ἔσθ' ὁ κείνῳ τοῦτο τοὔπος ἀγγελῶν;
Χο. Μακρὰ κέλευθος· πολλὰ δ' ἐμπόρων ἔπη
Φιλεῖ πλανᾶσθαι, τῶν ἐκεῖνος ἀΐων,
(Θάρσει) παρέσται· πολὺ γὰρ, ὦ γέρον, τὸ σὸν
Ὄνομα διήκει πάντας. ὥστε κεἰ βραδὺς
Εὕδει, κλύων σοῦ δεῦρ' ἀφίξεται ταχύς.
Οἰ. Ἀλλ' εὐτυχὴς ἵκοιτο τῇ θ' αὑτοῦ πόλει,
Ἐμοί τε. τίς γὰρ ἐσθλὸς οὐχ αὑτῷ φίλος;
Αν. Ὦ Ζεῦ, τί λέξω; ποῖ φρενῶν ἔλθω πάτερ;
Οἰ. Τί δ' ἔστι, τέκνον Ἀντιγόνη;
Αν. Γυναῖχ' ὁρῶ
Στείχουσαν ἆσσον ἡμῶν, Αἰτναίας ἔπι
Πώλου βεβῶσαν· κρατὶ δ' ἡλιοστερὴς
Κυνῆ πρόσωπα Θεσσαλίς νιν ἀμπέχει.

300. Καὶ ποῦ 'σθ' ὁ κραίνων] ἀρίστη ἡ οἰκονομία, ὥστε μὴ διατριβὰς γενέσθαι, τίς ὁ καλέσων ἐσται. 305 Τοὔνομ' αἴσθηται] τὸ γὰρ ὄνομα Οἰδίπους πανταχοῦ. 307. Πολλὰ δ' ἐμπόρων ἔπη] εἰκὸς οὖν ἐστιν ἡμῶν ἀκηκοότων, καὶ ἕτερον μεμαθηκέναι. ὁ γὰρ ἀπεληλυθὼς πρότερον, οὐδέπω μεμαθήκει ὅστις ἦν. τῷ γὰρ χορῷ πρώτῳ ὡμολόγησε. διὰ μέσου δὲ τὸ θάρσει. 309. Πολὺ γὰρ, ὦ γέρον, τὸ σὸν ὄνομα] τοῦτο λέγει διὰ τὰς πράξεις αὐτοῦ τάς τε κατὰ τῆς Σφιγγὸς, καὶ ὅσα ἄλλα αὐτῷ πέπρακται. 311. Κλύων σοῦ] λείπει ἡ Περί. περὶ σοῦ κλύων. 313. Οὐχ' αὑτῷ φίλος] χρήσιμος. ὁ γὰρ ἀγαθὸς, αὑτῷ τε καὶ τοῖς φίλοις ἐστὶ χρήσιμος. 316. Γυναῖχ' ὁρῶ] ἡ Ἰσμήνη πρόσεισι τὰ κατὰ τοὺς ἄρρενας ἀπαγγέλλουσα παῖδας τοῦ Οἰδίπου πῶς ἔσχον.

317.

*Oe.* At ubi eſt regionis hujus rex, hoſpites?
*Ch.* Paternam urbem habitat. Sed nuncius ipſum
Qui & me huc accivit, abit vocaturus.
*Oe.* Reverentiamne aut curam aliquam cæci hominis
Eum habiturum putatis, & non gravatim ad-
*Ch.* Omnino: ubi tuum nomen audierit. [venturum?
*Oe.* Quis vero eſt, qui ei hoc nunciabit?
*Ch.* Longa eſt via; multa autem euntium dicta
Solent diſpergi, quæ ille audiens
(Confide) aderit: tuum enim, O ſenex, admodum
Nomen dimanavit ad omnes, ut licet lentus
Dormiat, tuo nomine audito huc venturus ſit ci-
*Oe.* Sed fauſtus veniat ſuæque ipſius urbi, [tus.
Mihique: quis enim bonus non *eſt* ſibi ipſi amicus?
*An.* O Jupiter, quid dicam? Quid cogitem, pater?
*Oe.* Quid eſt, O filia Antigone?
*An.* Video mulierem
Prope ad nos venientem, grandi
Equo vectam, & capite ſolem arcens
Galerus ei faciem Theſſalicus cingit.

317. Αἰτναίας ἔπι] τῆς Σικελικῆς. λέγει δὲ ἀντὶ τῆς μεγάλης. 318. Ἡλιοστερὴς] σκιαστική. πλατύπιλος κυνῆ, ἤτοι περικεφαλαία, τὴν ὄψιν αὐτῆς περιέχει, καλύπτουσα, καὶ ἀφαιρουμένη τὴν ἡλίωσιν. τὸ ἑξῆς δὲ, κρατὶ ἡλιοστερὴς κυνῆ. 319. Κυνῆ πρόσωπα Θεσσαλίς νιν] καὶ γὰρ περισσοὶ ἦσαν οἱ Θεσσαλικοὶ πῖλοι. ὡς καὶ Καλλίμαχος, Εἴδιος ἀμφὶ δέ οἱ κεφαλῇ νέον αἱμονίηθεν Μεμβλωκὸς, πίλημα τι πέτρου ἄλκαρ ἔκειτο. Ἄλλως. Κυνῆ Θετταλικὴ τὴν κεφαλὴν αὐτῆς περιεκάλυπτε πλατύπιλος ἀποπέμπουσα τοῦ προσώπου αὐτῆς τὰς τοῦ ἡλίου ἐκκαύσεις, ἣν ἡλιοστερῆ ὠνόμασεν. ὅτι δὲ πλατεῖς ἦσαν οἱ Θεσσαλικοὶ πῖλοι. καὶ Καλλίμαχος λέγει, Εἴδιος ἀμφί σέ οἱ, καὶ τὰ ἑξῆς.



Digitized by Google

Τί φῶ;
Ἆρ' ἐστιν; ἆρ' οὐκ ἐστιν; ἢ γνώμη πλανᾷ;
Καὶ φημὶ κἀπόφημι, κοὐκ ἔχω τί φῶ,
Τάλαινα.
Οὐκ ἔστιν ἄλλη. φαιδρὰ γοῦν ἀπ' ὀμμάτων
Σαίνει με προστείχουσα· σημαίνει δ' ὅτι
Μόνης τόδ' ἐστὶ δῆλον Ἰσμήνης κάρα.

Οἰ. Πῶς εἶπας, ὦ παῖ;
Αν. Παῖδα σὴν, ἐμὴν δ' ὁρᾶν
Ὅμαιμον. αὐδῇ δ' αὐτίκ' ἔξεστιν μαθεῖν.

Ισ. Ὦ δισσὰ πατρὸς καὶ κασιγνήτης ἐμοὶ
Ἥδιστα προσφωνήμαθ', ὡς ὑμᾶς μόλις
Εὑροῦσα λύπῃ δεύτερον μόλις βλέπω.

Οἰ. Ὦ τέκνον, ἥκεις;
Ισ. Ὦ πάτερ δύσμοιρ' ὁρᾶν.

Οἰ. Ὦ σπέρμ' ὅμαιμον.
Ισ. Ὦ δυσάθλιαι τροφαί.

Οἰ. Τέκνον πέφηνας;
Ισ. Οὐκ ἄνευ μόχθου γέ μοι.

Οἰ. Πρόσψαυσον, ὦ παῖ.
Ισ. Θιγγάνω δυοῖν ὁμοῦ.

Οἰ. Ἦ τῆσδε κἀμοῦ;
Ισ. Δυσμόρου δ' ἐμοῦ τρίτης.

321. Ἆρ' ἐστιν] ἆρα ἐστιν ἡ Ἰσμήνη; ἆρα οὐκ ἐστιν; 324. Φαιδρὰ γοῦν] τὸ ἑξῆς, φαιδρὰ προστείχουσα. φαιδρὰ δὲ ἀντὶ τοῦ φαιδρῶς. 325. Σημαίνει με] εἰς γνῶσιν με ἐφέλκεται. 329. Αὐδῇ δ' αὐτίκ'] ἐκ τῆς φωνῆς ἔξεστί σοι μαθεῖν. 332. Εὑροῦσα λύπῃ δεύτερον] τὸ ἑξῆς, εὑροῦσα δεύτερον. ἴσως τὸ δεύτερον διὰ τὸ δὶς μόλις εἰρηκέναι. 336. Ὦ δυσάθλιαι τροφαὶ] ἡμῶν δηλονότι. 340. Δυοῖν ὁμοῦ] σοῦ καὶ Ἀντιγό-

νης

Quid dicam?
An eſt ea *quam puto?* an non eſt? an animo fallor?
Et aio, negoque, nec quid dicam ſcio
Miſera.
Non alia eſt: hilari oculorum aſpectu
Adblanditur mihi accedens, indicatque quòd
Solius hoc eſt clarum Iſmenes caput.

*Oe.* Quid dixiſti, nata?
*An.* Filiam tuam, meamque *me* videre
Sororem. ſed ſtatim ex voce cognoſcere licebit.

*Iſ.* O geminus patris & ſororis mihi
Dulciſſimus affatus, quàm ægrè vos
Repertos nunc præ dolore ægrè aſpicio.

*Oe.* O filia, veniſti?
*Iſ.* O pater miſerabilis aſpectu.

*Oe.* O ſata mecum ex eodem ſanguine.
*Iſ.* O miſerrima *noſtra* educatio!

*Oe.* Filia apparuiſti?
*Iſ.* Non quidem ſine labore meo.

*Oe.* Attinge *me*, O filia.
*Iſ.* Amplector duos ſimul.

*Oe.* Hancne & me *quoque?*
*Iſ.* Et me infelicem tertiam.

νης. 342. Δυσμόρυ δ' ἐμῦ τρίτης] οἱ γὰρ περιλαμβάνοντές τινα, καὶ ἑαυτὸς τρόπον τινὰ περιλαμβάνυσι. ἰδιαζόντως δὲ εἶπεν ὡς ἑαυτῆς τρίτης θιγγάνει, εἰ μὴ ἄρα πρὸς τὸ δυσάθλιαι ὑπήντηκε.

ΣΧΟΛ. ΤΡΙΚΛ. 335. Ὦ σπέρμ' ὅμαιμον] διότι ἐκ τῆς μητρὸς αὐτῦ ταύτην ἐγέννησεν, ὅμαιμον σπέρμα ταύτην καλεῖ.



Digitized by Google

Οἰ. Τέκνον, τί δ' ἦλθες;
Ισ. Σῇ, πάτερ, προμηθίᾳ.
Οἰ. Πότερα πόθοισι;
Ισ. Καὶ λόγοις αὐτάγγελος
Ξὺν ᾧπερ εἶχον οἰκετῶν πιστῷ μόνῳ.
Οἰ. Οἱ δ' αὖ ὅμαιμοι, ποῖ νεανίαι πονεῖν;
Ισ. Εἴσ' ὅπερ εἰσι· δεινὰ δ' ἐν κείνοις τὰ νῦν.
Οἰ. Ὦ πάντ' ἐκείνω τοῖς ἐν Αἰγύπτῳ νόμοις
Φύσιν κατεικασθέντε καὶ βίου τροφάς.
Ἐκεῖ γὰρ οἱ μὲν ἄρσενες κατὰ στέγας
Θακοῦσιν ἱστουργοῦντες· αἱ δὲ σύννομοι
Τἄξω βίου τροφεῖα πορσύνουσ' ἀεί.
Σφῷν δ' ὦ τέκν' οὓς μὲν εἰκὸς ἦν πονεῖν τάδε,
Κατ' οἶκον οἰκουροῦσιν ὥστε παρθένοι.
Σφὼ δ' ἀντ' ἐκείνων τἀμὰ δυστήνου κακὰ
Ὑπερπονεῖτον. ἡ μὲν, ἐξ ὅτου νέας
Τροφῆς ἔληξε, καὶ κατίσχυσεν δέμας,
Ἀεὶ μεθ' ἡμῶν δύσμορος πλανωμένη,
Γερονταγωγεῖ, πολλὰ μὲν κατ' ἀγρίαν
Ὕλην ἄσιτος νηλίπους τ' ἀλωμένη,

344. Σῇ, πάτερ, προμηθίᾳ] ἀντὶ τοῦ διὰ τὴν σὴν πρόνοιαν. 348. Ποῖ νεανίαι πονεῖν] ποῦ τὸ πονεῖν ἐστι. 349. Δεινὰ δ' ἐκείνοις τὰ νῦν] νῦν δὲ τὰ ἐν ἐκείνοις ἐστὶ δεινά. 350. Ὦ πάντ' ἐκείνω τοῖς ἐν Αἰγύπτῳ] διαβάλλει τοὺς Αἰγυπτίους ὡς παρὰ τὸ πρέπον διαιτωμένους, καὶ γυναῖκας καὶ ἄνδρας. Νυμφόδωρος δὲ ἐν τῷ τρισκαιδεκάτῳ τῶν Βαρβαρικῶν γράφει οὕτως, Ἔθεσι δὲ, τὰ μὲν ἐναντίοις, τὰ δὲ ὁμοίοις χρῶνται τοῖς Ἕλλησι. τὸ μὲν γὰρ ἐξίστασθαι τοῖς πρεσβυτέροις τοὺς νεωτέρους, ὁμοτρόπως καὶ ἡμῖν διοικοῦσι, τῶν δ' ἄλλων οὐδέν· ἐν μὲν γὰρ τοῖς Ἕλλησιν οἱ μὲν ἄνδρες τὰ κατὰ τὴν ἀγορὰν οἰκονομοῦσιν, αἱ δὲ γυναῖκες, ἔνδον μένουσαι, ταλασιουργοῦσιν· ἐκεῖ δὲ αἱ μὲν γυναῖκες ἐν ἀγορᾷ περιπατοῦσι καὶ καπηλεύουσιν, οἱ δὲ ἄνδρες κατὰ τὴν οἰκίαν ὑφαίνουσιν. ὁ γὰρ Σέσωστρις ἐκθηλύναι τοὺς ἄνδρας βουλόμενος, ἅτε μεγίστης χώρας γεγενημένους

Digitized by Google

*Oe.* Filia, cur huc venisti?

*If.* Tuam ob curam, pater.

*Oe.* Meine desiderio?

*If.* Et ipsa ut nuncia essem veni
Cum servo hoc unico fideli.

*Oe.* Fratres autem tui adolescentes quo occupantur [labore?

*If.* Sunt quidem ubi sunt; atrocia verò inter eos modo sunt exorta.

*Oe.* Quàm sunt prorsus illi Ægyptiis legibus
Ingenio similes atque vivendi modo.
Ibi enim viri in ædibus
Sedent telam texentes, uxores verò
Foris quæ ad victum pertinent, comparant sem- [per.
Sic ex vobis, O liberi, quos par erat labore isto
*Hi* domi desident ceu virgines: [occupari,
Vos verò illorum loco ob mea miseri mala
Capitis laborem. Et hæc quidem ex quo ab pueri- [li
Desiit educatione, et firmavit corpus *justis viribus*,
Semper nobiscum infelix pererrans
Senem *me* ducit; frequenter & per horridam
Sylvam jejuna nudipesque vagans,

μένυς κ̀ πολλὰς ὅπλας, ὅπως μὴ συςραφένlες ἐπ' ἰσ̣μοιρίαν ὁρμήσωσι, τὰ μὲν ἐκείνων ἔργα ταῖς γυναιξὶ, τὰ δὲ τῶν γυναικῶν ἐκείνοις προσέταξεν· ἵνα μὴ μόνον τῶν ὅπλων ἀναγκαίως ςερηθένlες, ἀλλὰ κ̀ τὴν ψυχὴν ὑπὸ τῶν ἐπιτηδευμάτων ἀνεθένlες, ἀσμένως ἐπὶ τοῖς ὑπάρχυσι καταμένωσιν. ὅθεν τὲς μὲν ψιλὲς εἶναι, τὰς δὲ ἀνιέναι τὰς τρίχας προσέταξε· κ̀ τὺς μὲν ἐπὶ τῶν κεφαλῶν φέρειν τὰ φορτία, τὰς δὲ ἐπὶ τῶν ὤμων ἠνάγκασε· ἔπειτα δὲ τὺς μὲν, καθημένυς, τὰς δὲ, ὀρθὰς ἑςώσας ὑρεῖν. κ̀ ταῖς μὲν δύο ἱμάτια περιέβαλε, τοῖς δὲ ἓν, ὑπολαμβάνων ἅμα τοῖς ἐπιτηδεύμασι κ̀ τὰς ψυχὰς αὐτῶν ἐκθηλύνεσθαι. ὃ κ̀ Λυδοῖς ὕςερον συμπεσεῖν φασιν. 353. Αἱ δὲ σύννομοι] αἱ ἀδελφαὶ, ἢ αἱ γυναῖκες. 362. Νηλίπυς] ἀνυπόδητος.

Πολλοῖσι δ' ὄμβροις ἡλίου τε καύμασι
Μοχθοῦσα τλήμων, δεύτερ' ἡγεῖται τὰ τῆς
Οἴκοι διαίτης, εἰ πατὴρ τροφὴν ἔχοι.
Σὺ δ' ὦ τέκνον πρόσθεν μὲν ἐξίκου πατρὶ
Μαντεῖ' ἄγουσα πάντα Καδμείων λάθρα,
Ἃ τοῦδ' ἐχρήσθη σώματος· φύλαξ δέ μου
Πιστὴ κατέστης, γῆς ὅτ' ἐξηλαυνόμην·
Νῦν δ' αὖ, τίν' ἥκεις μῦθον Ἰσμήνη πατρὶ
Φέρουσα; τίς σ' ἐξῆρεν οἴκοθεν στόλος;
Ἥκεις γὰρ οὐ κενή γε· τοῦτ' ἐγὼ σαφῶς
Ἔξοιδα, μὴ οὐχὶ δεῖμ' ἐμοὶ φέρουσά τι.
Ισ. Ἐγὼ τὰ μὲν παθήματ' ἃ ἔπαθον, πάτερ,
Ζητοῦσα τὴν σὴν τοῦ κατοικοίης τροφὴν,
Παρεῖσ' ἐάσω· (δὶς γὰρ οὐχὶ βούλομαι
Πονοῦσά τ' ἀλγεῖν, καὶ λέγουσ' αὖθις πάλιν)
Ἃ δ' ἀμφὶ τοῖν σοῖν δυσμόροιν παίδοιν κακὰ
Νῦν ἐστι, ταῦτα σημανοῦσ' ἐλήλυθα.
Πρὶν μὲν γὰρ αὐτοῖς ἦν ἔρις, Κρέοντί τε
Θρόνους ἐᾶσθαι, μηδὲ χραίνεσθαι πόλιν·
Λόγῳ σκοποῦσι τὴν πάλαι γένους φθορὰν,
Οἵα κατέσχε τὸν σὸν ἄθλιον δόμον·
Νῦν δ' ἐκ θεῶν του κἀξ ἀλιτηροῦ φρενὸς,
Εἰσῆλθε τοῖν τρισαθλίοιν ἔρις κακὴ,
Ἀρχῆς λαβέσθαι καὶ κράτους τυραννικοῦ.

367. Μαντεῖ' ἄγουσα] ποῖα μαντεῖα φησίν; ὅτι ὅπου δ' ἂν ταφήσεται, σωτήριος ἔσται τῇ γῇ ἐκείνῃ. 375. Ζητοῦσα τὴν σὴν] τὸ ἑξῆς, ζητοῦσα τὴν σὴν τροφήν. ἀντὶ τοῦ τὴν δίαιταν. 376. Δὶς γὰρ] τὸ ἑξῆς, δὶς γὰρ οὐ βούλομαι ἀλγεῖν. 380. Πρὶν μὲν γὰρ αὐτοῖς]

πρέων

Digitized by Google

Multisque imbribus solisque ardoribus
Afflicta miserè, posthabet domestici
Victûs *commoda*, pater si modò victum paret.
Tuque, O filia *Ismene*, egressa es patri
Oracula afferens omnia clàm *civibus* Cadmeis,
Quæ de hoc corpore data erant, custosque mei
Fidelis extitisti, cum terrâ pulsus eram.
Et nunc rursùs quem nuncium Ismene patri
Affers? Quis ortus est domi motus?
Venis enim utique non vacua, hoc ego certo
Scio, quin semper pavorem mihi nuncies ali-
*Is.* Ego quas passus sum, pater, miserias [quem.
Quærens ubi commoratus esses
Missas faciam: (bis enim dolere non volo
Ferendoque & iterum memorando)
At quæ tuorum infelicium natorum mala
Nunc sunt, ea nunciatum veni.
Prius enim hæc inter eos orta lis est, Creontine
Solium concederent, nec inquinarent urbem,
Cum ratione considerantes veterem generis la-
Quæ tuam occupavit miseram domum. [bem,
Nunc autem ex deorum aliquo, & ex scelestâ
Incessit ter infelices contentio mala, [mente
Quis regnum consequatur potentiamque tyran-
nicam.

πρώτη ἦσαν σκοπήσαντες, τῷ Κρέοντι παραχωρῆσαι τὴν σὴν βασιλείαν. Ib. Κρέοντί τι] ὃ Τε πλεονάζει. 382. Λόγῳ σκοποῦσι] μετοχή ἐστιν, οὐ ῥῆμα. 384. Ἀλιτηροῦ] μιαρᾶς. 386. Λαβέσθαι] ἀντιλαβέσθαι.

Χὠ μὲν νεάζων καὶ χρόνῳ μείων γεγὼς
Τὸν πρόσθε γεννηθέντα Πολυνείκην θρόνων
Ἀποστερίσκει, κἀξελήλακεν πάτρας.
Ὁ δ', (ὡς καθ' ἡμᾶς ἔσθ' ὁ πληθύων λόγος)
Τὸ κοῖλον Ἄργος βὰς φυγὰς, προσλαμβάνει
Κῆδός τε καινὸν καὶ ξυνασπιστὰς φίλους,
Ὡς αὐτίκ' Ἄργος ἢ τὸ Καδμείων πέδον
Τιμῇ καθέξων, ἢ πρὸς οὐρανὸν βιβῶν.
Ταῦτ' οὐκ ἀριθμός ἐστιν, ὦ πάτερ, λόγων,
Ἀλλ' ἔργα δεινά· τοὺς δὲ σοὺς ὅποι θεοὶ
Πόνους κατοικτιοῦσιν οὐκ ἔχω μαθεῖν.
Οἰ. Ἤδη γὰρ ἔσχες ἐλπίδ' ὡς ἐμοῦ θεοὺς
Ὤραν τιν' ἕξειν, ὥστε σωθῆναί ποτε;
Ισ. Ἔγωγε, τοῖς νῦν γ', ὦ πάτερ, μαντεύμασι.
Οἰ. Ποίοισι τούτοις; τί δὲ τεθέσπισται, τέκνον;
Ισ. Σὲ τοῖς ἐκεῖ ζητητὸν ἀνθρώποις ποτὲ
Θανόντ' ἔσεσθαι ζῶντά τ', εὐνοίας χάριν.
Οἰ. Τίς δ' ἂν τοιοῦδ' ὑπ' ἀνδρὸς εὖ πράξειεν ἄν;
Ισ. Ἐν σοὶ τὰ κείνων φασὶ γίγνεσθαι κράτη.

388. Τὸν πρόσθε γεννηθέντα Πολυνείκη] τὸ Χ παράκειται ὅτι πρεσβύτερόν φησι τὸν Πολυνείκη. 391. Τὸ κοῖλον Ἄργος] πολλαχοῦ τὸ Ἄργος κοῖλόν φησι, καθάπερ καὶ ἐν Ἐπιγόνοις, Τὸ κοῖλον Ἄργος οὐ κατοικήσαντ' ἔτι. καὶ ἐν Θαμύρᾳ, Ἐκ μὲν Ἐριχθονίου ποτιμάσιον ἔσχεθε κοῦρον Αὐτόλυκον, πολίων κτεάνων σίνιν Ἀργεῖ κοίλῳ. καὶ Ὅμηρος, Οἳ δ' εἶχον κοίλην Λακεδαίμονα. 393. Ὡς αὐτίκ' Ἄργος] ὡς αὐτίκα καὶ τὸ Ἄργος πρὸς οὐρανὸν βιβῶν, καὶ τὸ Καδμείων πέδον τιμωρίᾳ ὑποτάξων. τὸ γὰρ τιμὴ ἔσθ' ὅτε πρόστιμον δηλοῖ. Ὅμηρος, Εἰ δ' ἂν ἐμοὶ τιμὴν Πρίαμος Πριάμοιό τε παῖδες Τίνειν οὐκ ἐθέλωσιν. ἑκάτερον δὲ ἢ ἀντὶ τοῦ καὶ ἐστί. τὸ δὲ ἑξῆς, οὕτως, αὐτίκα ἢ τὸ Καδμείων πέδον τιμῇ καθέξων, ἢ τὸ Ἄργος πρὸς οὐρανὸν βιβῶν ὑψώσω τῇ εὐκλείᾳ. ὡς πορθησόντων Ἀργείων τὰς Θήβας, καὶ κατὰ τοῦτο ἐνδόξων γενησομένων. ὑπερβατὸν οὖν ἐστι,

ἢ

Et ille junior, & altero natu minor
Natu priorem Polynicem throno
Privavit, & e patriâ egit.
Ille verò (ut fama apud nos vulgi obtinet)
Cavum Argos profectus exul adjungit
Novosque affines, & amicorum sociam manum,
Ut qui statim Argos vel Thebanorum solum
Pœnis deprimeret, vel ad astra tolleret:
Nec hæc verba sunt tantùm, vel numerus, pater,
Sed facta atrocia: tuorum verò quando Dii
Laborum misertur i sunt, nequeo dicere.

*Oe.* An nunc spem habes aliquam, Deos mei
Curam habituros, ut consequar salutem? [datis.

*Is.* *Habeo* ego quidem, pater, & ex oraculis modò

*Oe.* Quibus? quid oraculo responsum est, filia?

*Is.* Fore aliquando, ut cives illic te requirant
Mortuum viventemque salutis causâ.

*Oe.* Quis tali a viro successum capiat suum?

*Is.* In te suum situm esse dicunt robur.

κ̀ τὸ ἑξῆς, ὕτως, ὡς αὐτίκα ἢ πρὸς ὐρανὸν τὸ Ἄργος οἴσων, ἤγυν ἐπὶ μέγα αὔξημα· ἢ τὸ Καδμείων πέδον τιμῇ καθέξων. ἄλλως γὰρ ἀκύειν τραχύτερον. 395. Ταῦτ' ὐκ ἀριθμὸς] ὐ μέχρι λόγων προκόπτοντα. 399. Ὥραν τιν' ἕξειν] φροντίδα. 401. Ποίοισι τύτοις] οἱ ὑπομνηματισάμενοι γράφυσιν ὕτω, χρησμὸς τοιῦτος γέγονεν, ὁποτέρῳ ἂν ὁ Οἰδίπυς πρόσθηται, τῦτον κρατήσειν. κ̀ χωρὶς κατὰ κοινὸν τοῖς Θηβαίοις, ὅτι ἔςαι αὐτοῖς μεγάλων κακῶν αἴτιος, ἐὰν μὴ θάψωσιν αὐτὸν ἐπὶ τῆς χώρας. ἐβυλόμην δὲ αὐτῦς μαρτυρίᾳ χρήσασθαι ἢ συγγραφέως τινὸς ἢ ποιητῦ. 403. Εὐνοίας χάριν] ἵνα εὐνοῆς αὐτοῖς. ἐν τοῖς ἀρχαιοτέροις τῶν ἀντιγράφων γράφεται, εὐσοίας χάριν. ὃ κ̀ οἱ ὑπομνηματισάμενοι ἀξιῦσιν. εὐσοίαν δέ φασι τὴν εὐσθένειαν. καθάπερ κ̀ ἐν Ἀμφιτρύωνι, Ἐπεὶ δὲ βλαςοῖ, τῶν τριῶν μίαν λαβεῖν Εὔσοιαν ἀρκεῖ.



Digitized by Google

Οἰ. Ὅτ' οὐκέτ' εἰμὶ, τηνικαῦτ' ἄρ' εἴμ' ἀνήρ;
Ισ. Νῦν γὰρ θεοί σ' ὀρθοῦσι, πρόσθε δ' ὤλλυσαν.
Οἰ. Γέροντα δ' ὀρθοῦν, φλαῦρον, ὃς νέος πέσοι.
Ισ. Καὶ μὴν Κρέοντά γ' ἴσθι σοι τούτων χάριν
Ἥξοντα βαιοῦ κοὐχὶ μυρίου χρόνου.
Οἰ. Ὅπως τί δράσῃ, θύγατερ; ἑρμήνευέ μοι.
Ισ. Ὥς σ' ἄγχι γῆς στήσωσι Καδμείας, ὅπως
Κρατῶσι μὲν σοῦ, γῆς δὲ μὴ 'μβαίνῃς ὅρων.
Οἰ. Ἡ δ' ὠφέλησις τίς θύραισι κειμένου;
Ισ. Κείνοις ὁ τύμβος δυστυχῶν ὁ σὸς βαρύς.
Οἰ. Κἄνευ θεοῦ, τίς τοῦτό γ' ἂν γνώμῃ μάθοι;
Ισ. Τούτου χάριν τοίνυν σε προσθέσθαι πέλας
Χώρας θέλουσι· μηδ' ἵν' ἂν σαυτοῦ κρατῇς.
Οἰ. Ἦ καὶ κατασκιῶσι Θηβαίᾳ κόνει;
Ισ. Ἀλλ' οὐκ ἐᾷ τοὔμφυλον αἷμά σ', ὦ πάτερ.
Οἰ. Οὐκ ἄρ' ἐμοῦ γε μὴ κρατήσωσίν ποτε;
Ισ. Ἔσται πότ' ἄρα τοῦτο Καδμείοις βάρος.
Οἰ. Ποίας φανείσης, ὦ τέκνον, συναλλαγῆς;
Ισ. Τῆς σῆς ὑπ' ὀργῆς, σοῖς ὅταν στῶσιν τάφοις.
Οἰ. Ἃ δ' ἐννέπεις, κλύουσα τοῦ λέγεις, τέκνον;
Ισ. Ἀνδρῶν θεωρῶν Δελφικῆς ἀφ' ἑστίας.
Οἰ. Καὶ ταῦτ' ἐφ' ἡμῖν Φοῖβος εἰρηκὼς κυρεῖ;

408. Γέροντα δ' ὀρθοῦν, φλαῦρον] τὸν ἅπαξ ἐν νεότητι πεσόντα, ἐν γήρᾳ ὀρθοῦσθαι ἀδύνατον. ἢ φλαῦρον, χαλεπόν. 412. Ὥς σ' ἄγχι γῆς στήσωσι] ὅπως σχῶσί σε, ἢ κατοικίσωσι. 414. Θύραισι κειμένου] ἀντὶ τοῦ οἰκοῦντος. 415. Κείνοις ὁ τύμβος] ὁ τύμβος δυστυχῶν ὁ σὸς, κείνοις βαρύς. ἀντὶ τοῦ, ἐπὶ ξένης σου θαπτομένου, δυστυχήσουσιν ἐκεῖνοι. 416. Κἄνευ θεοῦ] δηλ. πῶς ἄν τις ταῦτα δύναιτο μαθεῖν ἄνθρωπος ὢν, θείας δυνάμεως χωρίς; τοῦτο δὲ λέγει ἐπεὶ οὐκ ἐπίσταται ὅτι πυθόχρηστόν ἐστι τὸ λεγόμενον. 417. Προσθέσθαι πέλας] ἀντὶ τοῦ κατοικίσαι. 418. Χώρας] τῆς Θήβης. Ib. Μηδ' ἵν' ἂν σαυτοῦ κρατῇς] μηδὲ ἐᾶν σε

ὅπου

Digitized by Google

*Oe.* Quando amplius non ſum, tunc ego ero vir?
*Iſ.* Nunc autem Dii te erigunt, prius autem perdiderunt. [concidit.
*Oe.* Senem verò erigere frivolum eſt, qui juvenis
*Iſ.* Atqui ſcito Creontem tibi ob hæc
Venturum brevi, & non longo tempore.
*Oe.* Quidnam facturus eſt, filia; expone mihi.
*Iſ.* Ut te terram prope Thebanam ſiſtant, utque
Compotes fiant tui, neq. tamen terræ fines intres.
*Oe.* Quid autem utilitatis capient ex me foris jacente?
*Iſ.* Tumulus tuus in peregrino ſolo illis erit gravis:
*Oe.* Sine Deo, quis hoc vi mentis ſolâ cognoſcat?
*Iſ.* Ob hanc cauſam igitur te locare
Ad limites terræ volunt, ne tui juris ſis.
*Oe.* An me recondent etiam Thebano pulvere?
*Iſ.* At non patitur te tuus cognatus ſanguis, O pater.
*Oe.* Nunquam ergo me redigent in ſuam poteſtatem.
*Iſ.* Erit aliquando hoc Thebanis grave. [*fiet?*
*Oe.* Quânam ortâ, O filia, rerum viciſſitudine *id*
*Iſ.* Tuam ob iram, ubi ad buſta conſtiterint tua.
*Oe.* Quæ autèm dicis, a quo audita dicis, filia?
*Iſ.* Ex viris legatis, ab Delphicâ *reverſis* arâ.
*Oe.* Et hæc propter nos Phœbus prædixit?

ὅπου ἂν σαυτοῦ ἐξουσιάζῃς. λείπει δὲ τὸ ἐὰν ῥῆμα. ἢ ἀπὸ κοινοῦ τὸ προσθέσθαι νόει. 419. Ἡ καὶ κατασκιῶσι] ὅτι ἐν Θήβαις με χώσουσι. 420. Τοὐμφύλιον αἷμα] ὁ πατρῷος φόνος. 421. Μη κρατήσωσιν] ἤγουν θάπτειν με ἐν Θήβῃ. ὁ δὲ μὴ, πλεονάζει· ἔστι γὰρ τὸ μὴ καὶ τὸ οὐ ἐκ παραλλήλου. 422. Ἔσται πότ' ἄρα] διὰ τὸ μὴ κατασχεῖν σε. 423 Ποίας φανείσης] ποίας αἰτίας γενομένης βλαβήσονται; ἀντὶ τοῦ, ὑπὸ θεῶν; ὑπὸ ἐριννύων; ἢ ὑπ. τίνος; 426. Ἀνδρῶν θεωρῶν] παρὰ τῶν θεωρῶν κλύουσα.



Digitized by Google

Ισ. Ὥς φασιν οἱ μολόντες εἰς Θήβης πέδον.
Οἰ. Παίδων τίς οὖν ἤκουσε τῶν ἐμῶν τάδε;
Ισ. Ἄμφω γ᾽ ὁμοίως, κἀξεπίσταθον καλῶς.
Οἰ. Κᾆθ᾽ οἱ κάκιστοι τῶνδ᾽ ἀκούσαντες, πάρος
Τοῦ ᾽μοῦ πόθου προὔθεντο τὴν τυραννίδα;
Ισ. Ἀλγῶ κλύουσα ταῦτ᾽ ἐγώ· φέρω δ᾽ ὅμως.
Οἰ. Ἀλλ᾽ οἱ θεοί σφι μήτε τὴν πεπρωμένην
Ἔριν κατασβέσειαν, ἐν δ᾽ ἐμοὶ τέλος
Αὐτοῖν γένοιτο τῆσδε τῆς μάχης πέρι,
Ἧς νῦν ἔχονται, κἀπαναιροῦνται δόρυ·
Ὡς οὔτ᾽ ἂν ὃς νῦν σκῆπτρα καὶ θρόνους ἔχει,
Μείνειεν, οὔτ᾽ ἂν οὐξεληλυθὼς πόλιν
Ἔλθοι πότ᾽ αὖθις, οἵγε τὸν φύσαντ᾽ ἐμὲ
Οὕτως ἀτίμως πατρίδος ἐξωθούμενον
Οὐκ ἔσχον, οὐδ᾽ ἤμυναν· ἀλλ᾽ ἀνάστατος
Αὐτοῖν ἐπέμφθην, κἀξεκηρύχθην φυγάς.
Εἴποις ἂν ὡς θέλοντι τοῦτ᾽ ἐμοὶ τότε
Πόλις τὸ δῶρον εἰκότως κατήνυσεν.
Οὐ δῆτ᾽, ἐπεί τοι τὴν μὲν αὐτίχ᾽ ἡμέραν
Ὁπηνίκ᾽ ἔζει θυμὸς, ἥδιστον δέ μοι
Τὸ κατθανεῖν ἦν, καὶ τὸ λευσθῆναι πέτροις,
Οὐδεὶς ἔρωτος τοῦδ᾽ ἐφαίνετ᾽ ὠφελῶν·
Χρόνῳ δ᾽ ὅτ᾽ ἤδη πᾶς ὁ μόχθος ἦν πέπων,

427. Ἐφ᾽ ἡμῖν] ἀντὶ τοῦ δι᾽ ἐμέ. 428. Ὥς φασιν] οἱ θεωροί. 435. Ἐν δ᾽ ἐμοὶ τέλος] ἐν μηδενὶ ἑτέρῳ τὸ τέλος αὐτοῖς ἀποβαίη τῆς μάχης ἢ ἐν ἐμοί. ὅ ἐστι, μηδεὶς ἄλλος κύριος γένοιτο ὥστε διαλῦσαι τὴν ἔριν αὐτῶν, ἢ ἐγώ. 437. Κἀπαναιροῦνται δόρυ] κατ᾽ ἀλλήλων ἐπαίρουσιν. 438. Ὡς οὔτ᾽ ἂν ὃς νῦν σκῆπτρα] εἰ γὰρ ἐν τῇ ἐμῇ ἐξουσίᾳ γένοιτο,

*Is.* Sic aiunt qui Thebas rediere.
*Oe.* Et filiorum uter meorum audivit hæc?
*Is.* Uterque pariter, & norunt probè.
*Oe.* Et ista cum audierint pessimi,
Præ meo desiderio præponunt tyrannidem.
*Is.* Doleo hæc audiens ego, persero tamen.
*Oe.* At Dii illis neque fatalem
Extinguant, quæso, contentionem, inque me finis
Consistat illis prœlii hujus,
Quo nunc tenentur, & in se arma inferunt.
Ut neque qui jam sceptra soliumque tenet,
Ibi maneat, neque qui exul, in urbem
Redeat unquàm denuò; qui me parentem
Adeo ignominiosè patriâ expulsum
Non retinuerunt, nec tutati sunt; sed loco motus
Ab ipsis ejectus sum, & renunciatus exul.
Sed dixeris, quod volenti hoc mihi tunc
Urbs donum meritò dederit.
Non ita est: nam statim primo die
Cum ferveret animus, & dulcissimum mihi
Esset mori, lapidibusque obrui,
Nemo comparuit, qui meam expleret cupiditatem.
Tandem verò cùm jam omnis dolor mollitus esset,

οιτο; ὐδὲ εἷς αὐτῶν ζήσιται. 443. Αὐτοῖν ἐπέμφθην] τὸ ἐφ' ἑαυτοῖς ὐκ ἐπέρχεσται. ἐνῆν γὰρ αὐτοῖς τὸ ἐφ' αὐτοῖς τῦτο πρᾶξαι, ὡς αὐτάρκως κεκολασμένῳ τῇ πηρώσει. 444. Θέλοντι τῦτ' ἐμοὶ] τὸ ἐξορισθῆναι. 449. Οὐδεὶς ἔρωτος τῦδε] τύτυ τῦ ἔρωτος ὐδείς με ἐποίει ἀπολαῦσαι, τῦ ἀποθανεῖν δέ φησιν. 450. Ὁ μόχθος ἦν πέπων] ὅτι θυμὸς ἦν πέπειρος.

Κἀμάνθανον τὸν θυμὸν ἐκδραμόντα μοι
Μείζω κολαστὴν τῶν πρὶν ἡμαρτημένων,
Τὸ τηνίκ' ἤδη τοῦτο μὲν πόλις βίᾳ
Ἤλαυνέ μ' ἐκ γῆς χρόνιον· οἱ δ' ἐπωφελεῖν
Οἱ τοῦ πατρὸς τῷ πατρὶ δυνάμενοι, τὸ δρᾶν
Οὐκ ἠθέλησαν, ἀλλ' ἔπους μικροῦ χάριν
Φυγάς σφιν ἔξω πτωχὸς ἠλώμην ἐγώ.
Κἀκ ταῖνδε δ' οὔσαιν παρθένοιν, ὅσον φύσις
Δίδωσιν αὐτῶν, καὶ τροφὰς ἔχω βίου,
Καὶ γῆς ἄδειαν, καὶ γένους ἐπάρκεσιν·
Τὼ δ' ἀντὶ τοῦ φύσαντος εἱλέσθην θρόνους
Καὶ σκῆπτρα κραίνειν, καὶ τυραννεύειν χθονός.
Ἀλλ' οὔτι μὴ λάχωσι τοῦδε συμμάχου,
Οὔτέ σφιν ἀρχῆς τῆσδε Καδμείας ποτὲ
Ὄνησις ἥξει. τοῦτ' ἐγ' ᾦδα τῆσδέ γε
Μαντεῖ' ἀκούων, συννοῶν τά τ' ἐξ ἐμοῦ
Παλαίφαθ', ἅ μοι Φοῖβος ἤνυσέν ποτε.
Πρὸς ταῦτα, καὶ Κρέοντα πεμπόντων ἐμοῦ
Μαστῆρα, κεἴ τις ἄλλος ἐν πόλει σθένει.
Ἐὰν γὰρ ὑμεῖς, ὦ ξένοι, θέλητέ μου
Σὺν ταῖσι ταῖς σεμναῖσι δημούχοις θεαῖς
Ἀλκὴν ποιεῖσθαι, τῇδε μὲν πόλει μέγαν
Σωτῆρ' ἀρεῖσθε, τοῖς δ' ἐμοῖς ἐχθροῖς πόνους.
Χο. Ἐπάξιος μὲν Οἰδίπους κατοικτίσαι

451. Κἀμάνθανον τὸν θυμὸν] ὅτι ἐκεῖνοι ἔγνωσαν τρέψαντά με τὸν θυμόν. 461. Τὼ δ' ἀντὶ τοῦ φύσαντος] ἐκεῖνοι οἱ ἄῤῥενες δηλονότι. 463. Λάχωσι τοῦδε] ἀντὶ τοῦ ἐμοῦ. 465. Ἐγ' ᾦδα] ἐγὼ οἶδα. 470. Ἐὰν γὰρ ὑμεῖς] εἰ ὑμεῖς συμβάλλεσθέ μοι, ἑαυτοῖς συμβάλλεσθε· χρησμὸς γὰρ ἦν ὡς ἣν οἱ Ἀθηναῖοι τοῦ τάφου αὐτοῦ ἐγκρατεῖς γένωνται, ἔσεσθαι τὸ αὐ-

τοῖς

Et cùm vidiſſent animum exæſtuantem graves a
Pœnas ſumſiſſe priorum delictorum, [me
Tum jam me longo moratum tempore
Urbs hæc vi me ejecit ex terrâ: illi vero
Patris pulchra ſoboles patri opem ferre valentes,
Noluerunt, verum ob parvulum dictum [afferre
Exul illis atque mendicus foris vagor:
Et a virginibus his (quantum ſexus
Earum permittit) & vitæ alimoniam habeo,
Et loci ſecuritatem, & generis ſubſidium.
At illi, patre poſtpoſito, legerunt thronos
Et ſceptra regere, tyrannidemque terræ.
At nunquam me ſortientur auxiliatorem,
Neque Thebano regno unquam
Proſperè fruentur. Hoc ego novi, hujuſque
Oracula audiens, ſimulque reputo mecum
Vetera reſponſa, quæ mihi Phœbus edidit olim.
Mittant proinde Creonta, qui me
Quæritet, vel ſiquis alius in urbe potens eſt.
Si enim vos, O hoſpites, velitis mihi,
Cum his venerandis civium-rectricibus Diis,
Auxilio adeſſe, huic quidem urbi magnum
Soſpitatorem comparabitis, meis autem inimicis
*Ch*. Dignus ſanè es, Œdipe, miſericordiâ [labores.

τοῖς ποτὲ σωτὴρ πολιορκουμένοις ὑπὸ Θηβαίων εἴτε κατὰ τὸν Πελοποννησιακὸν πόλεμον, εἴτε καθ' ἕτερον. ταῦτα δὲ εἰκὸς ποιητικώτερον ὑπὸ τοῦ Σοφοκλέους πεπλάσθαι, ἐπὶ θεραπείᾳ τῶν Ἀθηναίων. πολλαχοῦ γὰρ οἱ ποιηταὶ χαρίζονται ταῖς πατρίσιν ἔτικ.

Αὐτός τε, παῖδές θ' αἵδ'· ἐπεὶ δὲ τῆσδε γῆς
Σωτῆρα σαυτὸν τῷδ' ἐπεμβάλλεις λόγῳ,
Παραινέσαι σοι βούλομαι τὰ ξύμφορα.
Οἰ. Ὦ φίλταθ', ὡς νῦν πᾶν τελοῦντι προξένει.
Χο. Θοῦ νῦν καθαρμὸν τῶνδε δαιμόνων, ἐφ' ἃς
Τὸ πρῶτον ἵκου, καὶ κατέστειψας πέδον.
Οἰ. Τρόποισι ποίοις; ὦ ξένοι, διδάσκετε.
Χο. Πρῶτον μὲν, ἱερὰς ἐξ ἀειρρύτου χοὰς
Κρήνης ἐνεγκοῦ δι' ὁσίων χειρῶν θιγών.
Οἰ. Ὅταν δὲ τοῦτο χεῦμ' ἀκήρατον λάβω;
Χο. Κρατῆρές εἰσιν, ἀνδρὸς εὔχειρος τέχνη,
Ὧν κρᾶτ' ἔρεψον καὶ λαβὰς ἀμφιστόμους.
Οἰ. Θαλλοῖσιν, ἢ κρόκαισιν; ἢ ποίῳ τρόπῳ;
Χο. Οἰὸς νεαρᾶς οἰοπόκῳ μαλλῷ λαβών.
Οἰ. Εἶεν. τὸ δ' ἔνθεν ποῖ τελευτῆσαί με χρή;
Χο. Χοὰς χέασθαι στάντα πρὸς πρώτην ἕω.
Οἰ. Ἦ τοῖσδε κρωσσοῖς οἷς λέγεις χέω τάδε;

475. Ἐπεὶ δὲ τῆσδε γῆς] ὅτι δὲ σώζειν ὑπισχνῆ τὴν πόλιν, ὑποθέσθαι σοὶ βούλομαι τὰ χρήσιμα. ἀττικῶς δὲ πάνυ τῇ συντάξει. καὶ πιθανή. λοιπὸν ἡ χάρις τῶν ἐγχωρίων ἀνδρῶν. παραινοῦσι γὰρ αὐτὸν καθαρσίων τυχεῖν, ἵνα ἧττόν πως ἐναγὴς φαίνοιτο. 478. Προξένει] λέγε μοι καὶ πάρεχε τὰ χρήσιμα. οὐ γὰρ ὀκνήσαιμι τελεῖν. ἢ, πρόξενος ἐμοὶ καὶ φίλος γενοῦ, ὑποσχόμενος πᾶν ὃ λέγω ποιήσειν. 480. Κατέστειψας] κατεβάτευσας ἀπὸ τοῦ στείβω. γράφεται καὶ κατάστειψον· ἤγουν, μεθ' ἱκετηρίων ἀφηγοῦ. Ἄλλως. Κατάστειψον. καθικέτευσον, μετὰ ἱκετηρίων ἀφίκου. ἐὰν δὲ γράφηται κατέστειψας, δηλ. κατεβάτευσας. ὃ καὶ πιθανώτερον. δι' αὐτὸ γὰρ τοῦτο κελεύουσιν αὐτῷ καθαίρεσθαι ὅτι εἰς ἄβατον ἐπέβη τόπον τοῦ ἱεροῦ τῶν Σεμνῶν. 482. Πρῶτον μὲν ἱερὰς ἐξ ἀειρρύτου] ἐξ ἀενάου πηγῆς ὕδωρ ἄρυσαι, καὶ οὕτω χοὰς ταῖς θεαῖς ποίησον ἀπὸ τῶν κρατήρων, πλήσας αὐτοὺς ἀπὸ τοῦ ἀντληθέντος ὕδατος. 484. Ὅταν δὲ τοῦτο χεῦμ' ἀκήρατον λάβω] ἀντὶ τοῦ, καὶ ὅταν ἀρύσωμαι, τί πράξω; 485. Ἀνδρὸς εὔχειρος] εὐπαλάμου,

καὶ

Ipſeque, tuæque filiæ: quoniam verò huic terræ
Servatorem te verbis promittis,
Admonere te volo de commodis. [parato.
*Oe.* O chariſſime, adjutor ſis mihi omnia facere
*Cb.* Statue igitur piaculare ſacrum deabus ad quas
Primus veniſti, & quarum calcaſti ſolum.
*Oe.* Quibus modis? O hoſpites, docete *me*.
*Cb.* Primùm quidèm ſacra perenni ex
Fonte libamina affer puris tangens manibus.
*Oe.* *Quid deinde*, poſtquam libamen illud integrum
*Cb.* Crateres ſunt, artificis periti opus, [accepero?
Quorum capita & anſas coronâ cingito utrinque
prominentes.
*Oe.* Frondibuſne viridibus? an filis? aut quo modo?
*Cb.* Ove juvenculâ detractam novam lanam accipe.
*Oe.* Eſto. Quod vero reliquum, quî me expedire
convenit? [roram.
*Cb.* Libationes effundere converſum ad primam au-
*Oe.* An hiſce fundam poculis, de quibus locutus es?

κατὰ τὴν μετάληψιν. ἐπὶ τὸν Δαίδαλον ἡ ἀναφορά, περὶ ἧ Φερεκύδης φησὶν ὕτω, Μητίνῃ δὲ τῷ Ἐρεχθέως κ̀ Ἰφινόῃ γίγνεται Δαίδαλος, ἀφ' ἧ ὁ δῆμος καλεῖται Δαιδαλίδαι Ἀθήνησι. 486. Καὶ λαβὰς ἀμφιςόμυς] τὰ ὦτα διὰ τὴν προτομὴν, ἣν ἐςι λαβέσθαι. ἀμφιςόμυς δὲ τὰς ἑκατέρωθεν ἐςομωμένας, ἢ διὰ τὸ ἑκατέρωθεν τῦ ςόματος ταύτας εἶ). ἢ, τὰς πρόσωπά τινα θηρίων ἑκατέρωθεν ἐχύσας. ἔρεψον δὲ τῶν κρατήρων τὴν κεφαλήν. 488. Οἰοπόκῳ μαλλῷ λαβών] ὅ ἐςι, ςολισμῷ κ̀ κροκισμῷ λαβὼν ςέψον. ἢ ἐρίῳ ςέψον. ὅτι δὲ ςέμματα ἔλεγον τὰ ἔρια, κ̀ παρ' Εὐριπίδῃ, ῷ ςέμματα ξήνασ' ἐπέκλωσε θεά. 490. Πρὸς πρώτην ἕω] πρὸς τὴν ἀνατολὴν, ἢ περὶ τὸν ὄρθρον. κ̀ γὰρ δὴ κ̀ τὰς ἐκθύσεις πρὸς ἥλιον ἐποιῦντο, καθάπερ κ̀ ἐν Ἠλέκτρᾳ φησὶ, Τοιαῦτά τυ παρόντος, ἡνίκ' ἡλίῳ Δείκνυσι τὔναρ, ἔκλυον ἐξηγυμένυ. κ̀ οἱ τὺς καθαρμὺς δὲ ἐπιτελῦντες πρὸς τὴν ἕω ἵςανται. Κρατῖνος ἐν Χείρωνι, Ἄγε δὴ πρὸς ἕω πρῶτον ἁπάντων ἵςω, κ̀ λάμβανε χερσὶ σχῖνον μεγάλην. 491. Χέω τόδε] τὸ ὕδωρ ἐπὶ τῶν κρατήρων χέω.

Χο. Τρισσάς γε πηγὰς, τὸν τελευταῖον δ' ὅλον.
Οἰ. Τοῦ τόνδε πλήσας θῶ; δίδασκε καὶ τόδε.
Χο. Ὕδατος, μελίσσης· μηδὲ προσφέρειν μέθυ.
Οἰ. Ὅταν δὲ τούτων γῆ μελάμφυλλος τύχῃ;
Χο. Τρὶς ἐννέ' αὐτῇ κλῶνας ἐξ ἀμφοῖν χεροῖν
 Τιθεὶς ἐλαίας, τάσδ' ἐπεύχεσθαι λιτάς.
Οἰ. Τούτων ἀκοῦσαι βούλομαι· μέγιστα γάρ.
Χο. Ὥς σφας καλοῦμεν Εὐμενίδας, ἐξ εὐμενῶν
 Στέρνων δέχεσθαι τὸν ἱκέτην σωτήριον,
 Αἰτοῦ σύ γ' αὐτὸς, κεἴτις ἄλλος ἀντὶ σοῦ,
 Ἄπυστα φωνῶν, μηδὲ μηκύνων βοήν.
 Ἔπειτ' ἀφέρπειν ἄστροφος· καὶ ταῦτά σοι
 Δράσαντι θαῤῥῶν ἂν παραςαίμην ἐγώ·
 Ἄλλως δὲ δειμαίνοιμ' ἂν ὦ ξέν' ἀμφὶ σοί.
Οἰ. Ὦ παῖδε, κλύετον τῶνδε προσχώρων ξένων
Ισ. Ἠκούσαμέν τε, χὤ, τι δεῖ πρόςασσε δρᾶν.
Οἰ. Ἐμοὶ μὲν οὐχ ὁδωτά. λείπομαι γὰρ ἐν

492. Τρισσάς γε πηγὰς] ἀντὶ τοῦ, τὸ ὕδωρ ἀπὸ τριῶν πηγῶν. Ib. Τὸν τελευταῖον] τὸν ὕστερον κρατῆρα. 494. Ὕδατος, μελίσσης] ὕδατος καὶ μέλιτος. λείπει δὲ ὁ καί. ἀπὸ γὰρ τοῦ ποιοῦντος τὸ ποιούμενον. καὶ ἐν Ἐρασταῖς, Γλώσσης μελίσσης τῷ κατιεῤῥυηκότι. βούλεται δὲ λέγειν τὸ μελίκρατον. Ἄλλως. Ὕδατος μελίσσης ἤγουν μέλιτος. ἀπὸ τοῦ ποιοῦντος τὸ ποιούμενον, ὡς ἐν Ἐρασταῖς, Γλώσσης, καὶ τὰ ἑξῆς. Ib. Μηδὲ προσφέρειν μέθυ] ἄοινοι γὰρ αἱ θεαί. 495. Ὅταν δὲ τούτων γῆ] ὅταν δὲ τὰς χοὰς χέωμεν ἐπὶ γῆς, τί χρή με ὕστερον δρᾶσαι; Ib. Τρὶς ἐννέ' αὐτῇ] τρὶς ἐννέα τιθεὶς κλῶνας ἐλαίας, ταύτας ποιοῦ τὰς εὐχάς. 498. Τούτων ἀκοῦσαι] ἡδέως ἀκούσαιμι τῶν εὐχῶν. μέγιστον γὰρ ταύτας μαθεῖν. 499. Ὥς σφας καλοῦμεν] αὐτὰς, Εὐμενίδας δηλονότι, οὕτως αὐτὰς καλῶν κεχαρισμένων, καὶ ἵλεως ποιούμενος, ἱκέτευε αὐτὰς δέχεσθαί σε τὸν ἱκέτην ἐπὶ σωτηρίᾳ, ἐξ εὐμενῶν στέρνων. δηλονότι, μὴ ἐξ ἐπιπολῆς, ἀλλ' ἐνδιαθέτως. 501. Αἰτοῦ σύ γ' αὐτός] δηλονότι, ἢ σὺ ταῦτα ποίει, ἢ ἄλλος τις ὑπὲρ σοῦ ταῦτα ποιείτω. 502. Ἄπυστα

φωνῶν

*Ch*. *Aquam* de tribus fontibus, noviſſimumque totum
*funde*.
*Oe*. Quo plenum hoç apponam liquore? doce & hoc.
*Ch*. Aquâ & melle: vinum ne addideris.
*Oe*. Cum hæc frondoſa terra acceperit, quid tum?
*Ch*. Ter novem ipſi ramos ambabus manibus
Oleæ offerens, has ſimul funde precationes.
*Oe*. Hæc cupio audire, maxima enim ſunt. [volo
*Ch*. Quemadmodum eas vocamus Eumenidas, bene-
Ut pectore accipiant ſupplicem, ſerventque,
Pete vel tu ipſe, vel quivis alius pro te,
Voce ſubmiſsâ, neque prolixâ.
Deinde abi averſus. Hæc ſi feceris
Audacter tibi ego adſtitero,
Aliàs metuerem, O hoſpes, tibi.
*Oe*. O filiæ, auditiſne hos incolas hoſpites?
*Iſ*. Audivimuſque, & quod facto opus eſt impera.
*Oe*. Ego hæc obire non poſſum, impedior enim

φωνῶν] ἀνήκουσα. ἀντὶ τοῦ ἠρέμα καὶ συντόμως. τοῦτο ἀπὸ τῆς δρωμένης θυσίας ταῖς Εὐμενίσι φησί. μετὰ γὰρ ἡσυχίας τὰ ἱερὰ δρῶσι. καὶ διὰ τοῦτο οἱ ἀπὸ Ἡσύχου καταγόμενοι θύουσιν αὐταῖς, καθάπερ Πολέμων ἐν τοῖς περὶ Ἐρατοσθένην φησὶν, οὕτω, Τὸ δὲ τῶν Εὐπατριδῶν γένος οὐ μετέχει τῆς θυσίας ταύτης. εἶτα ἑξῆς, τῆς δὲ πομπῆς ταύτης Ἡσυχίδαι. ὃ δὴ γένος ἐστὶ παρὰ τὰς σεμνὰς θεὰς, καὶ τὴν ἡγεμονίαν ἔχει. καὶ προθύονται πρὸ τῆς θυσίας ταύτης κριὸν Ἡσύχῳ ἱερὸν ἥρωϊ, τοῦτον οὕτω καλοῦντες διὰ τὴν εὐφημίαν. οὗ τὸ ἱερόν ἐστι παρὰ τὸ Κυλώνιον, ἐκτὸς τῶν ἐννέα πυλῶν. καὶ Ἀπολλόδωρος δὲ ἐν τῇ περὶ θεῶν ἑπτακαιδεκάτῃ περὶ τοῦ τῶν Ἡσυχιδῶν γένους καὶ τῆς ἱερᾶς φησι. καὶ Καλλίμαχος, Νηφάλιαι καὶ τῇσιν ἀεὶ μελιηδέας ὄμπας Λήτειραι καίειν ἔλλαχον Ἡσυχίδαι. 504. Παρασταίμην ἐγὼ] ὡς καθαρθέντι. 504. Δειμαίνοιμ' ἂν] μὴ καθαρθέντι. 508. Οὐχ ὁδωτὰ] οὐκ ἐν ὁδῷ, οὐκ ἀνυστά ἐστι, οὐ βαδιστέα μοι, οὐδὲ πρακτέον ταῦτα. λείπομαι γὰρ τῆς πράξεως ὑπὸ δύο κακῶν, τοῦ τε μὴ δύνασθαι καὶ τοῦ μὴ ὁρᾶν.

509.

Τῷ μὴ δύνασθαι μήθ᾽ ὁρᾶν, δυοῖν κακοῖν.
Σφῷν δ᾽ ἡτέρα μολοῦσα πραξάτω τάδε.
Ἀρκεῖν γὰρ οἶμαι κἀντὶ μυρίων μίαν
Ψυχὴν τάδ᾽ ἐκτείνουσαν, ἢν εὔνους παρῇ.
Ἀλλ᾽ ἐν τάχει τι πράσσετον. μόνον δέ με
Μὴ λείπετ᾽. οὐ γὰρ ἂν σθένοι τοὐμὸν δέμας
Ἔρημον ἕρπειν, οὐδ᾽ ὑφηγητοῦ γ᾽ ἄνευ.
Ισ. Ἀλλ᾽ εἶμ᾽ ἐγὼ τελοῦσα· τὸν τόπον δ᾽ ἵνα
Χρῆ 'σται μ᾽ ἐφευρεῖν, τοῦτο βούλομαι μαθεῖν.
Χο. Τοῦ 'κεῖθεν ἄλσους, ὦ ξένη, τοῦδ᾽· ἢν δέ του
Σπάνιν τίν᾽ ἴσχῃς, ἔστ᾽ ἔποικος ὃς φράσει.
Ισ. Χωροῖμ᾽ ἂν εἰς τόδ᾽, Ἀντιγόνη· σὺ δ᾽ ἐνθάδε
Φύλασσε πατέρα τόνδε. τοῖς τεκοῦσι γὰρ
Οὐδ᾽ εἰ πονεῖ τις, δεῖ πόνου μνήμην ἔχειν.

Χο. Δεινὸν μὲν τὸ πάλαι κείμενον ἤδη κακὸν
Ὦ ξεῖν᾽ ἐπεγείρειν,
Ὅμως δ᾽ ἔραμαι πυθέσθαι.
Οἰ. Τί τοῦτο;
Χο. Τᾶς δειλαίας ἀπόρου φανείσας

510. Σφῷν δ᾽ ἡτέρα] εἰρήκεισαν γὰρ ὅτι ἄλλους ἐχρῆν ὑπὲρ αὐτοῦ τὸν καθαρμὸν ποιήσασθαι. 512. Ψυχὴν τάδ᾽ ἐκτείνουσαν] τεταμένως καὶ συντόνως δρῶσαν καὶ διακονοῦσαν. 515. Οὐδ᾽ ὑφηγητοῦ γ᾽ ἄνευ] ἄνευ χειραγωγοῦ. ἀπὸ κοινοῦ δὲ τὸ ἕρπειν. οὐκ ἰσχύω βαδίζειν. 517. Χρῆ 'σταί μ᾽ ἐφευρεῖν] χρεία ἐσται. κατὰ συναλοιφὴν χρῆ 'σται, ἀντὶ τοῦ χρεία ἔσται, δηλοῦται δὲ ταυτὸν τῷ δεήσει. καὶ ἐν Τριπτολέμῳ, Χρῆ 'σται δέ σ᾽ ἐνθένδε αὖτις. Ib. Τοῦτο βούλομαι μαθεῖν] ἔνθα τὸ ὕδωρ ἐστὶν, ἡδέως ἂν εἰδείην. 518. Τοῦ 'κεῖθεν ἄλσους] τὸ ἐκεῖθεν τοῦ ἄλσους τούτου. ἐὰν δέ τι τούτων ἀγνοῇς, παρά τινος τῶν ἐπιχωρίων τοῦτο μαθήσῃ. Ib. Ἢν δέ του

σπάνιν

Duplici malo, virium defectu & cæcitate.
Ex vobis verò altera accedens administret hæc.
Sufficere enim arbitror, ut pro multis una
Anima hæc accuret, si benevola aderit.
Verum ocyùs ea facite, tantùm verò me
Ne deserite; non enim valet meum corpus
Desertum incedere, nec absque duce.

*If.* Sed ego eo *hæc* peractura; locum verò, quem
Oportet me invenire, noscere volo.

*Ch.* Parte in alterâ istius, O hospes, luci: si quâ verò
Re indigebis, est, qui dicet, incola.

*If.* Discedo igitur ad hoc, Antigone; tu verò hîc
Tuere patrem. Parentibus enim
Neque si laboraverit aliquis, laboris debet meminisse.

MONOSTROPHICA.

*Ch.* Grave quidem est, sopitum jam diu malum,
O hospes, excitare,
Tamen audire cupio.

*Oe.* Quidnam?

*Ch.* De miserando inexplicabili isto

σπάνιν τὶν ἰσχῆς] ἀντὶ τῦ, εἴτι τῆς εἰδήσεως ἀγνοῆς περὶ τὸν τόπον. 521. Τοῖς τεκῦσι γὰρ] ὅταν τὶς ὑπὲρ γονέων ποιῇ, μὴ ἡγείσθω πόνον εἶ) τὸν κάματον. 523. Δεινὸν μὲν τὸ π.] τῆς Ἰσμήνης ἀποςάσης, ὁ χορὸς ἐρωτᾷ τὸν Οἰδίποδα, καί φησι, τὸ ἐπεγείρειν μὲν κ) ἀνακινεῖν τὰ πάλαι συμβάντα δυσχερὲς, ὅμως δὲ μαθεῖν ἐπιθυμῶ τὴν αἰτίαν τῆς πηρώσεως. κ) ἔςι παθητικά. Καλλίμαχος, Τί δάκρυον εὗδον ἐγείρεις; 526. Τὶ τῦτο] ἀ), τί θέλει πυθέσθαι; 527. Τᾶς δειλαίας ἀπόρυ] περὶ τῆς ἐγκειμένης σοι ἀλγηδόνος ἡδέως ἂν πυθοίμην. ἔξωθεν δὲ ἡ Περὶ.



Digitized by Google

Ἀλγηδόνος, ἃ ξυνέστας.

Οἰ. Μὴ πρὸς ξενίας ἀνοίξῃς
Τᾶς σᾶς· πέπονθ' ἔργ' ἀναιδῆ.

Χο. Τό τοι πολὺ καὶ μηδαμᾶ λῆγον
Χρήζω, ξεῖν', ὀρθὸν ἄκουσμ' ἀκοῦσαι.

Οἰ. Ἰώ μοι.

Χο. Στέρξον, ἱκετεύω.

Οἰ. Φεῦ, φεῦ.

Χο. Πείθου· κἀγὼ γὰρ ὅσον σὺ προσχρῄζεις.

Οἰ. Ἤνεγκον κακότητ', ὦ ξένοι, ἤνεγ-
κον, ἄκων μὲν, θεὸς ἴστω·
Τούτων δ' αὐθαίρετον οὐδέν.

Χο. Ἀλλ' ἐς τί;

Οἰ. Κακᾷ μὲν εὐνᾷ πόλις οὐδὲν ἴδριν
Γάμων ἐνέδησεν ἄτᾳ.

Χο. Ἦ μητρόθεν, ὡς ἀκούω,
Δυσώνυμα λέκτρ' ἐπλήσω;

Οἰ. Ὤ μοι, θάνατος μὲν τάδ' ἀκούειν,
Ὦ ξεῖν', αὗται δὲ δύ' ἐξ ἐμοῦ.

Χο. Πῶς φῄς;

Οἰ. Παῖδες, δύο δ' ἄτα.

Χο. Ὦ Ζεῦ.

Οἰ. Ματρὸς κοινᾶς ἀπέβλαστον ὠδῖνος.

Χο. Αὗταρ εἰσὶν ἀπόγονοί τε Ȼ

529. Μὴ πρὸς ξενίας] μὴ πρὸς τῆς σῆς ξενίας ἀναπτύξῃς μου τὰ ἀναιδῆ ἔργα ἤ, οὐ μὴ τὰς προξενίας σου ἐπὶ ἔργα ἀναιδῆ καταγάγῃς. ἄλλως, εἰ μὴ κατὰ τὴν προξενίαν τὴν σὴν ἔργων γένοιο φαύλων ἀκροατὴς, ἀναπτύξαι καὶ φανερῶσαι τὰ κατ' ἐμὲ βουληθείς. 531. Τό τοι πολὺ] τὸ ἀδιάλειπτον κακὸν τὸ κατὰ τὴν πήρωσιν χρήζω ἀκοῦσαι. 534. Στέρξον, ἱκετεύω]

Dolore, quo conflictaris.

*Oe.* Ne per hospitalitatem aperias hoc
Tuam, oro: turpia mihi contigerunt facta.

*Ch.* Latè diffusam, & nondum desinentem
Cupio, hospes, famam rectè cognoscere.

*Oe.* Hei mihi!

*Ch.* Obsequere, obsecro.

*Oe.* Heu, heu.

*Ch.* Obsequere. etenim ego, quantum tu vis, *tibi* [obsequar.

*Oe.* Sustinui pessima, hospites, sustinui,
At sanè invitus, Deus scit.
Horum enim nil voluntarium fuit.

*Ch.* Sed quid isthuc?

*Oe.* Civitas quidem, me inscia,
Pessimo nuptiarum illigavit calamitate atroci.

*Ch.* Num matris, ut audio,
Nefandum torum implesti.

*Oe.* Hei mihi, mors quidem est hæc audire,
O hospes. At hæ duæ ex me.

*Ch.* Quid dicis?

*Oe.* Filiæ, et duæ noxæ

*Ch.* O Jupiter!

*Oe.* Matris communis natæ sunt partu?

*Ch.* Sunt igitur filiæque

ἱκετεύω] στέρξον ὃ λέγω, καὶ μὴ ἀποστραφῇς τὴν αἰτίαν εἰπεῖν. ὅ ἐστι πρόσδεξαι ἃ λέγω, 536. Πείθου. κἀγὼ γὰρ] πείσομαι δηλονότι εἰς ὅσον βούλει. 540. Ἀλλ' ἐς τί;] συγχωρήσει σοι τὰ πράγματα; 541. Οὐδὲν ἴδρις] ἐγώ, οὐδὲν εἰδυῖα, ἡ πόλις ἐνέδησέ με τῇ τοῦ γάμου ἄτῃ.

Κοιναί γε πατρὸς ἀδελφαί.
Οἰ. Ἰώ.
Χο. Ἰὼ δῆτα.
Οἰ. Μυρίων ἐπιστροφαὶ κακῶν.
Χο. Ἔπαθες;
Οἰ. Ἔπαθον ἄλαστ' ἔχειν.
Χο. Ἔρεξας;
Οἰ. Οὐκ ἔρεξα.
Χο. Τί γάρ;
Οἰ. Ἐδεξάμην δῶρον,
Ὃ μήποτ' ἐγὼ ταλακάρδιος
Ἐπωφέλησα πόλεως ἐξελέσθαι.
Χο. Δύστανε, τί γάρ; ἔθου φόνον;
Οἰ. Τί τοῦτο; τί δ' ἐθέλεις μαθεῖν;
Φο. Πατρός;
Οἰ. Παπαῖ. δευτέραν ἔπαισας ἐπὶ νόσῳ νόσον.
Χο. Ἔκανες;
Οἰ. Ἔκανον. ἔχει δέ μοι.
Χο. Τί τοῦτο;
Οἰ. Πρὸς δίκας τι.
Χο. Τί γάρ;
Οἰ. Ἐγὼ φράσω.
Καὶ γὰρ ἄλλους ἐφόνευσα κἀπώλεσα,
Νόμῳ δὲ καθαρὸς, ἄϊδρις εἰς τόδ' ἦλθον.

555. Ἐπιστροφαὶ κακῶν] συναθροίσεις. πλῆθος. 561. Ἐδεξάμην δῶρον] τὸν γάμον τῆς μητρὸς (φησὶν) ἀντὶ τῆς λύσεως τοῦ αἰνίγματος δῶρον ἐδεξάμην. ὃ μήποτε ὤφελον λαβεῖν. ἀντὶ δὲ τοῦ εἰπεῖν, μήποτε ὤφελον ἐγὼ παρὰ τῆς πόλεως ἐξαίρετον λαβεῖν, οὕτως εἴρηκεν, ἐπωφέλησα

πόλεως

Simul & patris ſorores.

*Oe*. Io!

*Ch*. Io! ſane.

*Oe*. Infinitorum cumuli malorum.

*Ch*. Paſſus es?

*Oe*. Paſſus ſum non ferenda.

*Ch*. Perpetraſti?

*Oe*. Non patravi.

*Ch*. Quid itaque?

*Oe*. Donum accepi,

Quod utinam ego miſerrimus

Nunquam recepiſſem ab urbe.

*Ch*. Miſer, cur homicidium patraſti?

*Oe*. Quodnam id eſt? quid ſcire vis?

*Ch*. Patris cædem.

*Oe*. Papæ! alterum intuliſti ſuper priore morbo mor-[bum.

*Ch*. Enecaſti illum?

*Oe*. Enecavi. ſed res præſtat mihi

*Ch*. Quid?

*Oe*. Ad defenſionem aliquid.

*Ch*. Quid, quæſo?

*Oe*. Ego dicam.

Etenim alios occidi & perdidi,

Lege autem purus *ſum*; cum ignarus ad hoc ve-[nerim.

πόλεως ἐξελέσθαι. 574. Καὶ γὰρ ἄλλους ἐφόνευσα] τοὺς παρόντας σὺν τῷ Λαΐῳ. ἤγουν, ὡς ἄλλους φονεύσας, ἀθῷός εἰμι καὶ οὐ γέγονα ἔνοχος τῷ μύσει· οὕτω καὶ ἐπὶ τοῦ πατρός· οὐ γὰρ ᾔδειν.

578.

Digitized by Google

Χο. Καὶ μὴν ἄναξ ὅδ' ἡμῖν Αἰγέως γόνος
Θησεὺς κατ' ὀμφὴν σὴν ἀποσταλεὶς πάρα.
Θη. Πολλῶν ἀκούων ἔν τε τῷ πάρος χρόνῳ
Τὰς αἱματηρὰς ὀμμάτων διαφθορὰς,
Ἔγνωκά σ' ὦ παῖ Λαΐου, τανῦν θ' ὁδοῖς
Ἐν ταῖσδ' ἀκούων, μᾶλλον ἐξεπίσταμαι.
Σκευή τε γάρ σε καὶ τὸ δύστηνον κάρα
Δηλοῦτον ἡμῖν ὄνθ' ὃς εἶ, καί σ' οἰκτίσας
Θέλω σ' ἐρέσθαι, δύσμορ' Οἰδίπου, τίνα
Πόλεως ἐπέστης προστροπὴν ἐμοῦ τ' ἔχων
Αὐτός τε χἠ σὴ δύσμορος παραστάτις,
Δίδασκε· δεινὴν γάρ τιν' ἂν πρᾶξιν τύχοις
Λέξας, ὁποίας ἐξαφισταίμην ἐγώ.
Ὡς οἶδά γ' αὐτὸς ὡς ἐπαιδεύθην ξένος,
Ὥσπερ σὺ, χὤστις πλεῖστ' ἀνὴρ ἐπὶ ξένης
Ἤθλησα κινδυνεύματ' ἐν τῷ 'μῷ κάρᾳ.
Ὥστε ξένον γ' ἂν οὐδέν' ὄνθ', ὥσπερ σὺ νῦν,
Ὑπεκτραποίμην μὴ οὐ συνεκσώζειν σ'· ἐπεὶ
Ἔξοιδ' ἀνὴρ ὢν, χὤτι τῆς ἐς αὔριον
Οὐδὲν πλέον μοι σοῦ μέτεστιν ἡμέρας.
Οἰ. Θησεῦ, τὸ σὸν γενναῖον ἐν σμικρῷ λόγῳ
Παρῆκεν, ὥστε βραχέ' ἐμοὶ δεῖσθαι φράσαι.
Σὺ γάρ μ' ὃς εἰμι, κἀφ' ὅτου πατρὸς γεγὼς,
Καὶ γῆς ὁποίας ἦλθον, εἰρηκὼς κυρεῖς.

578. Πολλῶν ἀκούων] χρηστὸς ὁ Θησεὺς τὸ ἦθος εἰσάγεται, καὶ ἔχει καὶ ἐπὶ τούτῳ τῆς οἰκονομίας δεξιώτατα. 585. Προστροπὴν] ὠφέλειαν.

589.

Digitized by Google

IAMBI.

*Ch.* Atqui rex nobis; ille Ægei alumnus
Theſeus, tuâ famâ accitus adeſt.
*Th.* Ex multis audiens & ſuperiori tempore
De cruentâ tuâ oculorum extinctione,
Novi te, O fili Laii: at nunc viis
In his *eadem* audiens, magis multò ſcio.
Habitus enim hic, & *tuum* miſerandum caput
Indicant eum eſſe te: egoque tui miſertus
Volo te id interrogare, infelix Oedipe, quas
Ad urbem meque ſupplices habens preces
Adveniſti & ipſe, & hæc tua infelix miniſtra.
Expone, gravem enim rem admodum dixeris,
Quam ego facere *tibi* refugerem.
Nam & ipſe novi, & didici, (peregrinus cum
Eſſem ut tu *nunc es*) plurimaq. ut alius quiſquam
Extra patriam pertuli certamina capitis mei
Periculo; ideò nullum, hoſpes qui ſit ut tu nunc
Es, averſabor, ut non e *malis* ſervem.
Novi enim, vir cum ſim, quod in craſtinam
Nihilo plus juris mihi ſit quam tibi, diem.
*Oe.* Theſeu, tua generoſitas brevi ſermone
Emicuit ut paucis tantùm mihi verbis opus ſit.
Tu enim de me, qui ſim et quo patre genitus,
Et quâ terrâ venerim, dixiſti.

589. Ὡς ἐπαιδεύθην] τὸ ὡς ἀντὶ, τοῦ ὅτι.
¶ Σχήμ. Τρικλ. 593. Μὴ ὐ συνεκ.] συνίζησις.

608.

Ὥστ' ἐστί μοι τὸ λοιπὸν οὐδὲν ἄλλο, πλὴν
Εἰπεῖν ἃ χρήζω χὠ λόγος διέρχεται.
Θη. Τοῦτ' αὐτὸ νῦν δίδασκ', ὅπως ἂν ἐκμάθω.
Οἰ. Δώσων ἱκάνω τοὐμὸν ἄθλιον δέμας
Σοὶ δῶρον, οὐ σπουδαῖον εἰς ὄψιν. τὰ δὲ
Κέρδη παρ' αὐτοῦ κρείσσον' ἢ μορφὴ καλή.
Θη. Ποῖον δὲ κέρδος ἀξιοῖς ἥκειν φέρων;
Οἰ. Χρόνῳ μάθοις ἄν, οὐχὶ τῷ παρόντι που.
Θη. Ποίῳ γὰρ ἡ σὴ προσφορὰ δηλώσεται;
Οἰ. Ὅταν θάνω 'γὼ, καὶ σύ μου ταφεὺς γένῃ.
Θη. Τὰ λοίσθι' αἰτῇ τοῦ βίου· τὰ δ' ἐν μέσῳ
Ἢ λῆστιν ἴσχεις, ἢ δι' οὐδενὸς ποιῇ.
Οἰ. Ἐνταῦθα γάρ μοι κεῖνα συγκομίζεται.
Θη. Ἀλλ' ἐν βραχεῖ δὴ τήνδε μ' ἐξαιτῇ χάριν.
Οἰ. Ὅρα γε μήν· οὐ σμικρὸς ἐστ' ἀγὼν ὅδε.
Θη. Πότερα δὲ τῶν σῶν ἐκγόνων ἢ 'μοῦ λέγεις;
Οἰ. Κεῖνοι κομίζειν 'κεῖσ' ἀναγκάζουσί με.
Θη. Ἀλλ' εἰ θέλοιεν, οὐδὲ σοι φεύγειν καλόν.
Οἰ. Ἀλλ' οὐδ' ὅτ' αὐτὸς ἤθελον παρίεσαν.
Θη. Ὦ μῶρε. θυμὸς δ' ἐν κακοῖς οὐ ξύμφορον.
Οἰ. Ὅταν μάθῃς μου, νουθέτει. τανῦν δ' ἔα.
Θη. Δίδασκ'. ἄνευ γνώμης γὰρ οὔ με χρὴ λέγειν.
Οἰ. Πέπονθα, Θησεῦ, δεινὰ πρὸς κακοῖς κακά.
Θη. Ἢ τὴν παλαιὰν ξυμφορὰν γένους ἐρεῖς;

608. Προσφορὰ] προσθήκη. πρόσδοσις. τὸ δὲ Δηλώσεται, ἀντὶ τοῦ δηλωθήσεται. 610. Τὰ λοίσθι' αἰτῇ τοῦ βίου] γράφεται, τὰ λοίσθι' ἄρ' αἰτῇ τοῦ βίου. Ib. Τὰ δ' ἐν μέσῳ ἢ λῆστιν ἴσχεις] τοῦ ζῆν. ἢ ἐπιλέλησαι, ἢ οὐ φροντίζεις. 612. Ἐνταῦθα γάρ μου κεῖνα] διὰ τοῦ τέλους (φησὶ)

Digitized by Google

Quare nihil aliud mihi reliquum est, quàm
Ut dicam, quid velim, & sic oratio *tota* peracta est.

*Th.* Id ipsum ergò jam expone, ut liquidò sciam.

*Oe.* Venio daturus meum miserum corpus
Tibi dono, aspectu non æstimandum, lucra verò
Ex eo potiora sunt, quàm *ejus* forma venusta.

*Th.* Quod autem lucri te afferre dicis?

*Oe.* Tempore scies futuro, non autem præsenti.

*Th.* Quando tuum, quod adfers, commodum, fiet palàm?

*Oe.* Cùm ego mortuus fuero, & tu me sepeliveris.

*Th.* Postrema vitæ postulas; quæ verò sunt media,
Vel oblivione præteris, vel nihili facis.

*Oe.* Ea hic conferentur mihi simul.

*Th.* Exiguum sanè hoc beneficium a me petis.

*Oe.* Vide tamen: non exiguum hoc erit certamen.

*Th.* Utrum *de* tuis natis an *de* me dicis?

*Oe.* Illi me illuc referre gradum cogent.

*Th.* At si volunt, tibi exulare non est honestum.

*Oe.* At neque quando ipse volebam, id concesserunt.

*Th.* O stulte, ira in malis *versanti* non est utilis.

*Oe.* Ubi me audieris, *tunc* admone: nunc verò desine.

*Th.* Doce. nisi re cognitâ non enim me decet loqui.

*Oe.* Sustinui, Theseu, atrocia super malis mala.

*Th.* Num de veteri illâ generis calamitate dicis?

(φησὶ) καὶ τὰ μέσα τοῦ βίου εὐτυχήσει. προσδοκῶν γὰρ σὺ ὠφεληθήσεσθαι ὑπ' ἐμοῦ ὅταν ἀποθάνω, ζῶντά με γηροβοσκήσεις. 613. Ἀλλ' ἐν βραχεῖ δὴ] βραχὺ δῶρόν με αἰτεῖς, τὸ ἐν Ἀθήναις θάψαι σε.
Σχημ. Τρικλ. 619. Θυμὸς δ' ἐν κακοῖς] γνωμικόν.



Digitized by Google

Οἰ. Οὐ δῆτ᾽· ἐπεὶ πᾶς τοῦτό γ᾽ Ἑλλήνων θροεῖ.

Θη. Τί γὰρ τὸ μεῖζον ἢ κατ᾽ ἄνθρωπον νοσεῖς;

Οἰ. Οὕτως ἔχει μοι. γῆς ἐμῆς ἀπηλάθην
Πρὸς τῶν ἐμαυτοῦ σπερμάτων· ἔστιν δέ μοι
Πάλιν κατελθεῖν μήποτ᾽, ὡς πατροκτόνῳ.

Θη. Πῶς δῆτά σ᾽ ἂν πεμψαίαθ᾽ ὥς᾽ οἰκεῖν δίχα;

Οἰ. Τὸ θεῖον αὐτοὺς ἐξαναγκάσει στόμα.

Θη. Ποῖον πάθος δείσαντας ἐκ χρηστηρίων;

Οἰ. Ὅτι σφ᾽ ἀνάγκη τῇδε πληγῆναι χθονί.

Θη. Καὶ πῶς γένοιτ᾽ ἂν τἀμὰ κἀκείνων πικρά;

Οἰ. Ὦ φίλτατ᾽ Αἰγέως παῖ, μόνοις οὐ γίνεται
Θεοῖς τὸ γῆρας, οὐδὲ κατθανεῖν ποτέ.
Τὰ δ᾽ ἄλλα συγχεῖ πάνθ᾽ ὁ παγκρατὴς χρόνος.
Φθίνει μὲν ἰσχὺς γῆς, φθίνει δὲ σώματος.
Θνήσκει δὲ πίστις, βλαστάνει δ᾽ ἀπιστία.
Καὶ πνεῦμα ταὐτὸν οὔποτ᾽ οὔτ᾽ ἐν ἀνδράσι
Φίλοις βέβηκεν, οὔτε πρὸς πόλιν πόλει.
Τοῖς μὲν γὰρ, ἤδη, τοῖς δ᾽ ἐν ὑστέρῳ χρόνῳ
Τὰ τερπνὰ πικρὰ γίνεται, κᾆυθις φίλα.
Καὶ ταῖσι Θήβαις εἰ τανῦν εὐημερεῖ
Καλῶς τε πρὸς σὲ, μυρίας ὁ μυρίος
Χρόνος τεκνοῦται νύκτας ἡμέρας τ᾽ ἰὼν,
Ἐν αἷς τὰ νῦν ξύμφωνα δεξιώματα
Ἐν δορὶ διασκεδῶσιν ἐκ σμικροῦ λόγου·
Ἵν᾽ οὑ᾽μὸς εὕδων καὶ κεκρυμμένος νέκυς

629. Πῶς δῆτα σ᾽ ἂν] πῶς δῆτα οὖν (φησὶ) μεταπέμψαιντο ἄν σε, εἰ μή ἐστι δυνατὸν κατελθεῖν, διὰ τὸ πατροκτόνον εἶναι; ὁ δέ φησι, τὸ θεῖον αὐτοὺς ἐξαναγκάσει τοῦτο πράττειν. 632. Τῇδε πληγῆναι χθονί] αὐτῇ τῇ,

*Oe*. Non ſanè. quia omnes hoc Græci ſonant.
*Th*. At quo majore, quàm pro homine, laboras morbo?
*Oe*. Sic *res* habet mihi. patria mea expulſus ſum
Meis ipſius filiis, & licet mihi
Nunquam redire, utpote parricidæ.
*Th*. Cur igitur te accerſent, qui ſeparatim debeas ha-
*Oe*. Divinum eos cogit oraculum. [bitare?
*Th*. Quid mali timentes ex oraculis.
*Oe*. Quia eos neceſſe *eſt* ab hujus terræ *incolis* cædi.
*Th*. At unde inter me & illos tam acerba eveniant?
*Oe*. O chariſſime Ægei filî, ſolis datur
Diis non ſeneſcere nec mori unquam.
Cætera autem omnia miſcet omnipotens tempus.
Conſumitur enim vigor terræ, conſumitur & cor-
Moriturque fides, ſuccreſcitque perfidia: [poris,
Et ſpiritus idem nunquam neque inter
Amicos manet, nec in urbem urbi.
Et his quidem jam, illis vero poſt tempus
Jucunda fiunt amara, & rurſus grata.
Sic Thebis etſi res nunc tranquillæ ſint
Et bene erga te habent, tamen infinitas infinitum
Tempus gignit noctes dieſque gradiens,
In quibus præſentem concordiam per dextras
Pactam armis diſſipabunt leves ob cauſas:
Ibi meum dormiens & conditum cadaver,

τῦ, ὑπὸ ταύτης τῆς χθονὸς πληγῆναι. 646. Ἐν αἷς τὰ νῦν ξύμφωνα] τὰ νῦν ξύμφωνα, λέγει ἐπεὶ ὔπω ἦν ἔχθρα Θηβαίοις καὶ Ἀθηναίοις.



Digitized by Google

Ψυχρὸς ποτ' αὐτῶν θερμὸν αἷμα πίεται,
Εἰ Ζεὺς ἔτι Ζεύς, χὠ Διὸς Φοῖβος σαφής.
Ἀλλ' οὐ γὰρ αὐδᾶν ἡδὺ τἀκίνητ' ἔπη.
Ἔα μ' ἐν οἷσιν ἠρξάμην, τὸ σὸν μόνον
Πιστὸν φυλάσσων· κοὔποτ' Οἰδίπουν ἐρεῖς
Ἀχρεῖον οἰκητῆρα δέξασθαι τόπων
Τῶν ἐνθάδ', εἴπερ μὴ θεοὶ ψεύσουσί με.
Χο. Ἄναξ, πάλαι καὶ ταῦτα καὶ τοιαῦτ' ἔπη
Γῇ τῇδ' ὅδ' ἀνὴρ ὡς τελῶν ἐφαίνετο.
Θη. Τίς δῆτ' ἂν ἀνδρὸς εὐμένειαν ἐκβάλοι
Τοιοῦδ', ὅτου πρῶτον μὲν ἡ δορύξενος
Κοινή τ' ἄρ' ἡμῖν αἰὲν ἐστιν ἑστία;
Ἔπειτα δ' ἱκέτης δαιμόνων ἀφιγμένος
Γῇ τῇδε κἀμοὶ δασμὸν οὐ σμικρὸν τίνει.
Ἃ 'γὼ σεβασθεὶς, οὔποτ' ἐκβαλῶ χάριν
Τὴν τοῦδε, χώρᾳ δ' ἔμπαλιν κατοικιῶ.
Εἰ δ' ἐνθάδ' ἡδὺ τῷ ξένῳ μίμνειν, σέ νιν
Τάξω φυλάσσειν· εἰ δ' ἐμοῦ στείχειν μέτα
Τόδ' ἡδὺ, τούτων, Οἰδίπους, δίδωμί σοι
Κρίναντι χρῆσθαι. τῇδε γὰρ ξυνοίσομαι.
Οἰ. Ὦ Ζεῦ, διδοίης τοῖσι τοιούτοισιν εὖ.
Θη. Τί δῆτα χρῄζεις; ἐς δόμους στείχειν ἐμούς;
Οἰ. Εἴ μοι θέμις γ' ἦν· ἀλλ' ὁ χῶρός ἐσθ' ὅδε.

650. Φοῖβος σαφής] ἀντὶ τοῦ ἀληθής. ὡς καὶ Ὅμηρος, Ἐπιστάμενος σάφα εἰπεῖν. ἀντὶ τοῦ ἀληθῶς. 657. Ἐφαίνετο] ἀντὶ τοῦ ἀπεφαίνετο. τοιοῦτόν ἐστι καὶ τὸ παρ' Ὁμήρῳ. --καὶ εἴρετο δεύτερον αὖτις. 659. Ταῦδ' ὅτου] φίλου δηλονότι. Ib. Ἡ δορύξενος] φίλος. ἁπλοϊκώτερον δορυξένους καλοῦσι καὶ τοὺς ὁπωσδηποτοῦν ἐπιξενωθέντας, ἢ ἐπιστατικοὺς καὶ πολεμίους

Jamq. frigidum eorum calidum ſanguinem bibet,
Siquidem Jupiter eſt Jupiter, & Jovis filius
Apollo verax.
Sed non jucundum eſt tacenda verba proloqui.
Permitte me, quæ cœperam, perſequi, tuam
Tantùm fidem ſervans: nec unquam poſteà
Dices Oedipum inutilem incolam loci hujus te
Accepiſſe, niſi Dii me fefellerint.
*Ch.* Rex, vir hic jam diu & hæc & talia oracula
Huic terræ, tanquam effecturus, extulit.
*Th.* Quis ergo viri benevolentiam rejiciat
Hujuſmodi, cui primum hoſpitalis
Communiſque apud nos ſemper eſt ara?
Deinde venit his ſupplex deabus, terræque
Huic & mihi non exiguum tributum pendit.
Quorum ego religione motus, nunquam rejiciam
Beneficium illius, ſed in hâc terrâ contrà ſedem
Præbebo. Sive hîc ſuave eſt hoſpiti manere, te
Eum jubeo tueri; ſi vero mecum ire
Hoc ſuave eſt, horum, Oedipe, tibi *utrumvis*
Eligenti, ut utaris tribuo. ſic enim tibi opem fe-
*Oe.* O Jupiter, benefac *viciſſim* talibus. [ram.
*Th.* Quid ergo vis? ad ædes ire meas?
*Oe.* Si mihi fas quidem eſſet. at hic eſt locus.

λεμίοις φίλυς. 663. Οὔποτ' ἐκβαλῶ χάριν] ἀ καταφρονῶ τῆς εἰς αὐτὸν χάριτος, ἀλλὰ κ) ἐκ τῦ ἐναντίυ ὑποδέχομαι. 665. Σέ νιν] σὲ τὸν χορόν. 666. Εἴτ' ἐμῶ ςείχειν μέτα] εἰς τὸ ἄςυ δηλονότι. 668. Ξυνοίσομαι] συμπράξομαι ὡς σὺ βύλει.

674.

Θη. Ἐν ᾧ τί πράξεις; ȣ̓ γὰρ ἀντιςήσομαι.
Οἰ. Ἐν ᾧ κρατήσω τῶν ἔμ' ἐκϐεϐληκότων.
Θη. Μέγ' ἂν λέγοις δώρημα τῆς συνȣσίας.
Οἰ. Εἰ σοίγ' ἅπερ φὴς ἐμμένοι τελȣ̃ντί μοι.
Θη. Θάρσει τὸ τȣ̃δέ γ' ἀνδρὸς, ȣ̈ σε μὴ προδῶ.
Οἰ. Οὔτοι σ' ὑφ' ὅρκȣ γ' ὡς κακὸν πιςώσομαι.
Θη. Οὔκȣν πέρα γ' ἂν ȣ̓δὲν ἢ λόγῳ φέροις.
Οἰ. Πῶς ȣ̃ν ποιήσεις;
Θη. Τȣ̃ μάλις' ὄκνος σ' ἔχει.
Οἰ. Ἥξȣσιν ἄνδρες.
Θη. Ἀλλὰ τοῖσδ' ἔςαι μέλον.
Οἰ. Ὅρα με λείπων.
Θη. Μὴ δίδασχ' ἃ χρή με δρᾶν.
Οἰ. Ὀκνȣ̃ντ' ἀνάγκη.
Θη. Τȣ̓μὸν ȣ̓κ ὀκνεῖ κέαρ.
Οἰ. Οὐκ οἶσθ' ἀπειλάς;
Θη. Οἶδ' ἐγώ σε μήτινα
Ἐνθένδ' ἀπάξοντ' ἄνδρα πρὸς βίαν ἐμοῦ.
Πολλαὶ δ' ἀπειλαὶ, πολλὰ δὴ μάτην ἔπη
Θυμῷ κατηπείλησαν· ἀλλ' ὁ νȣ̃ς ὅταν
Αὐτȣ̃ γένηται, φρȣ̃δα τἀπειλήματα.
Κείνοις δ' ἴσως κεἰ δείν' ἐπερρώσθη λέγειν,

674. Μέγ' ἂν λέγοις δώρημα] εἰ ἐμμένοι σοι τὰ ἐπαγγελθέντα, ἢ εἰ δύναιο κρατεῖν τῶν ἐχθρῶν ἐνθάδε μένων, μέγα ἂν δώρημα λέγοις τῆς ἐνταῦθα διατριϐῆς. 676. Τὸ τȣ̃δέ γ' ἀνδρὸς] ἐφ' ἑαυτȣ̃ πεποίηται τὴν δεῖξιν ὁ Θησεύς. 677. Οὔτοι σ' ὑφ' ὅρκȣ γ' ὡς κακὸν πιςώσομαι] ȣ̓ πίςιν (φησὶ) δι' ὅρκȣ ἐπιθεῖναί σε παρακελεύσομαι. πρὸς ὃ ἐπάγει, Οὔκȣν πέραν γ' ἂν ȣ̓δὲν ἢ λόγῳ φέροις. τȣτέςιν, ȣ̓κ ἂν πλέον λάϐοις ὁρκίσας με, ἢ λόγῳ πιςεύσας μοι. 680. Ὄκνος ἔχει] φόϐος.

*Th.* In quo quid es facturus? non enim resistam.
*Oe.* In quo eos superabo, qui me ejecerunt. [nos.
*Th.* Beneficium ingens prædicas consortii *tui* apud
*Oe.* Si tibi quidem, quæ mihi promittis, facere statutum est. [dam.
*Th.* Confide, quod ad hunc virum: non enim te pro-
*Oe.* Nequaquam te juramento ut infidum alligabo.
*Th.* Non quicquam magis sic, quam nudo promisso
*Oe.* Quid igitur facies? [ferres.
*Th.* Rei cujus maximè te tenet metus.
*Oe.* Venient viri.
*Th.* Illud vero hisce curæ erit.
*Oe.* Vide, si me relinquis.
*Th.* Ne doce quid me oportet agere.
*Oe.* Timenti ità necesse est.
*Th.* Meum non timet cor.
*Oe.* An ignoras minas?
*Th.* Novi ego te neminem
Hinc abducturum hominem, me invito.
Multæ quidem minæ, multaque inania verba
Furore proferuntur, sed quando mens
Ad se redit, evanidæ abeunt minaciæ.
Sic illis, etsi fortasse atrocia admodùm minati

682. Ἀλλὰ τοῖσδ' ἔςαι μέλον] τοῖς τῦ χορῦ. 685. Ὀκνῦντ' ἀνάγκη] ὐ νεμεσητόν μοι (φησὶ) εἰ ὑπὸ δέυς τὰ αὐτὰ συνεχῶς λέγω. τὸν φοβύμενον γὰρ ἀνάγκη ταῦτα λέγειν. 686. Τὐμὸν ὐκ ὀκνεῖ κέαρ] ὐδὲν δέδοικε. 690. Πολλαὶ δ' ἀπειλαὶ] ἀντὶ τῦ πολλοὶ ἄνθρωποι πολλὰ ἀπειλήσαντες ἐκ θυμῦ, πέψαντες τὸν θυμὸν, καὶ τὸν καθεςηκότα νῦν ἀναλαβόντες, ἐπαύσαντο τῶν ἀπειλῶν. Κείνοισι δ' ἴσως] τοῖς Θηβαίοις.

694.

Digitized by Google

Τῆς σῆς ἀγωγῆς (οἶδ' ἐγὼ) φανήσεται
Μακρὸν τὸ δεῦρο πέλαγος οὐδὲ πλώσιμον.
Θαρσεῖν μὲν οὖν ἔγωγε κἄνευ τῆς ἐμῆς
Γνώμης ἐπαινῶ, Φοῖβος εἰ προὔπεμψέ σε·
Ὅμως δὲ κἀμοῦ μὴ παρόντος, οἶδ' ὅτι
Τοὐμὸν φυλάξει σ' ὄνομα μὴ πάσχειν κακῶς.

Χο. Εὐίππου, ξένε, τᾶσδε χώρας
Ἵκου τὰ κράτιστα γᾶς ἔπαυλα,
Τὸν ἀργῆτα Κολωνόν·
Ἔνθα λίγεια μινύρεται
Θαμίζουσα μάλιστ' ἀηδὼν
Χλωραῖς ὑπὸ βάσσαις
Τὸν οἰνωπ' ἀνέχουσα κισσὸν,
Καὶ τὰν ἄβατον θεοῦ
Φυλλάδα μυριόκαρπον, ἀνάλιον,
Ἀνήνεμόν τε πάντων
Χειμώνων· ἵν' ὁ βακχειώτας ἀεὶ
Διόνυσος ἐμβατεύει,
Θείαις ἀμφιπολῶν τιθήναις.

Θάλλει δ' οὐρανίας ὑπ' ἄχνας

694. Τῆς σῆς ἀγωγῆς] λείπει ἡ Περί. ἵν' ᾖ, περὶ τῆς σῆς ἀγωγῆς, ἤγουν ἐπανόδου. 695. Οὐδὲ πλώσιμον] εὐδιάβατον. δεδοίκασι γὰρ ἡμᾶς. 700. Εὐίππου ξένε τᾶσδε χώρας] ὦ ξένε, ὦ Οἰδίπου. μέχρι τοῦ ἀηδὼν, ἡ διατριβὴ τοῦ χοροῦ πρὸς τὸ ἐγκώμιον τῆς χώρας, αὐτοῦ τοῦ Σοφοκλέους ἐπὶ τὸ ἴδιον ἀπαντῶντος χαρακτηριστικὸν, τὸ γλαφυρὸν καὶ ᾠδικὸν μέλος. 702. Τὸν ἀργῆτα] τὸν λευχόγεων. 706. Ἀνέχουσα κισσὸν] ὑπὲρ

Sunt de tuâ reductione, (ſat ſcio) videbitur.
Longum huc iter pelagium, nec navigabile.
Bono igitur ut ſis animo, vel abſque meo
Conſilio, hortor, Apollo ſi te miſit huc:
Tamen, etiam me haud præſente, novi quod
Meum tuebitur te nomen ab injuriâ.

## Antistrophica. Strophe I.

*Ch.* Equis gaudentis, hoſpes, in hujus regionis
Optimam veniſti ſedem
Candidum Colonum.
Ubi canora ſtrepit
Frequens admodum luſcinia
Per viridantes valles,
Nigricantem ſuprà habens hederam,
Denſaſque Dei frondes
Multiplices fructus ferentes, a ſole immunes
Ventiſque, & ab omni
Hieme; ubi Bacchus ſemper
Dionyſus inambulat,
Divinis miniſtrans nutricibus.

## Antistrophe I.

Floretque rore cœleſti

ὑπὲρ ἑαυτὴν ἔχουσα τὸ φυτὸν, ἄνω ἔχουσα τὸν κισσόν. ὡς ἐν Λυκούργῳ Αἰσχύλος, Ἄκει δ᾽ ἄν᾽ οὖς ἔχων. ἀντὶ τοῦ ἄνω τὸ οὖς ἔχων. 708. Ἀνήλιον] παρὰ τὸ Ὁμηρικὸν, Τὴν μέν γ᾽ οὔτ᾽ ἀνέμων διαειμένος ὑγρὸν ἀέντων, Οὔτε μὲν ἠέλιος φαέθων ἀκτῖσιν ἔβαλλεν. ἀπὸ κοινοῦ δὲ τὸ ἀνέχουσα. ἀνήλιον δὲ, διὰ τὴν δασύτητα τῶν φυτῶν. 713. Θάλλει δ᾽ οὐρανίας]. οἱ μὲν ὑπομνηματισάμενοι τῆς Δήμητρος καὶ Κόρης φασὶ στεφάνωμα τὸν νάρ-



Digitized by Google

Ὁ καλλίβοτρυς κατ' ἦμαρ αἰεὶ
Νάρκισσος, μεγάλαιν θεαῖν
Ἀρχαῖον στεφάνωμ', ὅ,τε
Χρυσαυγὴς κρόκος. οὐδ' ἄϋπνοι
Κρῆναι μινύθουσι,
Κηφισοῦ νομάδες ῥεέθρων,
Ἀλλ' αἰὲν ἐπ' ἤματι
Ὠκυτόκος πεδίων ἐπινίσσεται,
Ἀκηράτῳ ξὺν ὄμβρῳ
Στερνούχου χθονός. οὐδὲ Μουσᾶν χοροί
Νιν ἀπεστύγησαν, οὐδ' αὖ
Ἁ χρυσάνιος Ἀφροδίτα.

Ἔστιν δ' οἷον ἐγὼ

νάρκισσον ἐστὶ, οὐ γὰρ μόνον στάχυσιν αὐτὰς στεφανοῦσι. μήποτε δὲ γραπτέον μεγάλαιν θεαῖν, τοῖν ἐριννύων. καὶ γὰρ τὸ χωρίον ἐν ᾧ ἦν ὁ Οἰδίπους, αὐταῖς ἀνεῖτο. ὅτι δ' Ἐριννύων ἐστὶ τὸ στεφάνωμα, δῆλον ἐν οἷς Εὐφορίων φησὶ, Πρόσθε δέ μιν δασπλῆτες ὀφειλομένην οἶμον, Εὐμενίδες ἄργητα θυγατρίδαι Φόρκυνος, ναρκίσσοιο ἐπιστεφέες πλοκαμῖδες. ἴσως ὅτι παρὰ τοῖς μνήμασιν ὅτι πλεῖστον ἐκφύεται. ἢ ὅτι τοῦ φρίττειν καὶ ναρκᾶν εἰσὶν αἱ δαίμονες αἴτιαι, ὥστε διὰ τὸ ὄνομα συνῳκειῶσθαι τὸ φυτὸν αὐταῖς. Μήποτε δὲ τὸν νάρκισσον μεγάλαιν θεαῖν ἀρχαῖον στεφάνωμα ἔφη ὁ Σοφοκλῆς, τῷ συλληπτικῷ χρησάμενος τρόπῳ, ἀντὶ τοῦ εἰπεῖν, θεᾶς ἀρχαῖον στεφάνωμα, τῆς Κόρης. τί δήποτε; ὅτι πρὶν ἢ τὸν Πλούτωνα αὐτὴν ἁρπάσαι, τούτῳ ἐτέρπετο. συλλέγουσαν οὖν φασὶν αὐτὴν τὸν νάρκισσον ἁρπασθῆναι, ὥστε τὸ ἀρχαῖον τούτου ἕνεκα προσκεῖσθαι· ἐστὶ, ὃ ἦν αὐτῇ θυμήρες στεφάνωμα πρὶν ἢ συλληφθῆναι. αὖθις γοῦν φασι τὰς θεὰς ἀνθινοῖς μὴ κεχρῆσθαι, ἀλλὰ καὶ ταῖς θεσμοφοριαζούσαις τὴν τῶν ἀνθινῶν στεφάνων ἀπειρῆσθαι χρῆσιν. ὁ δ' Ἴστρος τῆς Δήμητρος ἐστὶ στέμμα τὴν μυρρίνην, καὶ τὴν σμίλακα, περὶ οὗ γίγνεσθαι τὴν διαδικασίαν· καὶ τὸν ἱεροφάντην καὶ τὰς ἱεροφαντίδας καὶ τὸν δᾳδοῦχον καὶ τὰς ἄλλας ἱερείας μυρρίνης ἔχειν στέφανον, δι' ἃ καὶ τῇ Δήμητρι προσθέσθαι ταύτην φησί.

715.

Digitized by Google

Pulchros gerens flores quotidiè
Narcissus, magnarum Dearum [Furiarum]
Vetus corona,
Auricolorque crocus. Neque perennes
Fontes deficiunt
Cephisi cum pascui undis,
Sed assiduo indies
Fœcundus admodùm per campos labitur,
Liquido cum imbre
Soli campestris. Neque Musarum chori
Hunc perosi sunt, neque etiam
Habenis quæ fertur aureis Venus.

STROPHE II.

Est verò hîc germen *ejusmodi*, quale ego

715. Μεγάλαιν θεαῖν] ταῖς ἐριννύσιν. 717. Ὅ τε χρυσαυγὴς κρόκος] ἀπὸ κοινοῦ, τὸ θάλλει κατ' ἦμαρ. τοῖς τὸν νάρκισσον τῇ Δήμητρι ἀπονέμουσι τοῦτο συμπεραίνει, ὅτι κἂν τῇ Νιόβῃ ὁ Σοφοκλῆς τὸν κρόκον ἄντικρυς τῇ Δήμητρι ἀνατίθεται. ὥστε νῦν τὸν λόγον εἶναι περὶ τῶν Δήμητρος στεφανωμάτων. καὶ αὐτὸ δὲ τοῦτο ἴδιον ἂν εἴη Σοφοκλέους. τοῖς γὰρ ἀνθινοῖς οὐ πάνυ φασὶν ἥδεσθαι τὴν Δήμητρα. 718. Μινύθουσι] λήγουσι τοῦ ῥεῖν. 719. Κηφισοῦ νομάδες] κρῆναι νομάδες, αἱ ἐπινεμόμεναι, ὥσπερ καὶ καταῤῥέουσαι τὴν γῆν τοῦ Κηφισοῦ πηγαί. ἢ ἃς ὁ Κηφισὸς ἐπινέμεται. λέγοι δ' ἂν τὸν ἐν τῇ Καδμείᾳ. 720. Ἀλλ' αἰὲν ἐπ' ἤματι] ἀλλ' ἀεὶ καθ' ἡμέραν (φησὶν) ἐπινίσσεται ὁ Κηφισός. 721. Ὠκυτόκος] ἤγουν, ὠκυτόκα ποιῶν τὰ πεδία καὶ ἔγκαρπα. 723. Στερνούχου χθονὸς] ἴσον τῷ γονίμου γῆς, ἢ ἐπιπέδου καὶ πεδιούχου χθονός. μεταφορικῶς γὰρ καὶ στέρνα καὶ νῶτα φασὶ τὰ πεδιώδη καὶ εὐρέα, καθάπερ αὖ πάλιν αὐχένας, τὰ στενά. τὸ δὲ ὅλον πεδίον ἐπὶ στερνούχου χθονὸς, ἀντὶ τοῦ ἐπὶ τῶν πεδιάδων τῆς γονίμου χθονός. Ib. Χοροί νιν ἀπεστύγησαν] τὴν Ἀττικήν.

¶ Σχημ. Τρικλ. 715. Θεαῖν] συνίζησις.

Γᾶς Ἀσίας οὐκ ἐπακούω,
Οὐδ᾽ ἐν τᾷ μεγάλᾳ Δωρίδι νάσῳ
Πέλοπός ποτε βλαστὸν,
Φύτευμ᾽ ἀχείρωτον αὐτόποιον
Ἐγχέων φόβημα δαΐων,
Ὃ τᾷδε θάλλει μέγιστα χώρᾳ
Γλαυκᾶς παιδοτρόφου φύλλον ἐλαίας.
Τὴν μέν τις οὔτε νέος, οὔτε γήρᾳ
Σημαίνων ἁλιώσει χειρὶ πέρσας.
Ὁ γὰρ εἰσαιὲν ὁρῶν κύκλος
Λεύσσει νιν μορίου Διὸς,
Χἀ γλαυκῶπις Ἀθάνα.

Ἄλλον δ᾽ αἶνον ἔχω
Ματροπόλει τᾷδε κράτιστον
Δῶρον τοῦ μεγάλου δαίμονος εἰπεῖν,
Αὔχημα μέγιστον,
Εὔιππον, εὔπωλον, εὐθάλασσον.
Ὦ παῖ Κρόνου, σὺ γάρ νιν εἰς

730. Φύτευμ᾽ ἀχείρ. αὐτόποιον] ὅτι ἀπέσχοντο τῶν ἐλαιῶν τῆς θεοῦ τῶν μορίων ὀνομαζομένων οἱ Λακεδαιμόνιοι, καὶ ἄλλοι ἱστοροῦσι καὶ Φιλόχορος, ὥστε ταῖς ἀληθείαις ἐγχέων αὐτὰς φόβημα τοῖς πολεμίοις γενέσθαι. Λακεδαιμόνιοι γὰρ ἐμβαλόντες ἐν τῇ Ἀττικῇ δέκα μυριάσι Πελοποννησίων καὶ Βοιωτῶν, ἡγουμένου Ἀρχιδάμου τοῦ Ζευξιδάμου Λακεδαιμονίων βασιλέως, ἀπέσχοντο τῶν λεγομένων μορίων Ἀθηνᾶς, ὡς καὶ Ἀνδροτίων φησίν. ἀλλὰ καὶ Ἀριστοφάνης ἐν Νεφέλαις γράφει, Ἀλλ᾽ εἰς Ἀκαδημίαν κατιὼν, ὑπὸ ταῖς μορίαις ἀποθρέξεις. ὁ δ᾽ Ἴστρος καὶ τὸν ἀριθμὸν αὐτῶν δεδήλωκε, γράφων οὕτως, * ἦν δὲ κλάδοι τῆς ἐν Ἀκαδημίᾳ ἐλαίας, ἣν ἀπὸ τῆς ἐν ἀκροπόλει φυτευθῆναι φασίν. ἐπάρατον δὲ ἐποιήσαντο εἴτις τῶν ἐμβαλόντων αὐτὰς ἐκκόψειε, φίλος ἢ πολέμιος. διὸ Λακεδαιμόνιοι τὴν λοιπὴν γῆν δῃοῦντες, τῆς μὲν τετραπόλεως ἀπέσχοντο διὰ τοὺς Ἡρακλείδας, τῶν δὲ μορίων, διὰ τὰς ἀράς. ὁ δὲ Ἀριστοτέλης καὶ τοῖς

νικό-

Terrâ in Asiæ esse non audivi,
Nec in magnâ Doricâ insulâ
Pelopis unquam,
Germen, quod ipsum per se sine manibus nascitur,
Infundens hostibus terrorem,
Quod in hâc maxime floret terrâ,
Glaucæ liberûm nutricis folium oleæ.
Quam quidem neque juvenis, neque senex aliquis
Imperans audebit manibus excidere.
Semper enim intentus oculus
Morii Jovis eam tuetur,
Et cæsiis oculis Minerva.

ANTISTROPHE II.

Sed & aliam laudem memorare valeo,
Metropoli huic optimum
Donum magni Dei Neptuni,
Maximam gloriandi materiam, quod equis
Præstat & equitibus, & navali apparatu.
O Saturnia proles, rex Neptune,

νικήσασι τὰ Παναθήναια ἐλαίε τῦ ἐκ μορίων γιγνομένε δίδοσθαι φησί. 734. Τὸ μέν τις] τὸ φυτὸν τῆς ἐλαίας. 737. Μορίε διὸς] μορίον Δία εἶπε τὸν ἐπόπτην τῶν μορίων ἐλαιῶν. κὴ ἔστω ὁ λεγόμενος μόριος Ζεὺς περὶ Ἀκαδημίαν, ὥς φησιν Ἀπολλόδωρος, Περὶ Ἀκαδημίαν, ἔστιν ὅ, τι τῦ καταιβάτε Διὸς βωμὸς, ὃν κὴ μόριον καλῦσι· τῶν ἐκεῖ μορίων παρὰ τὸ τῆς Ἀθηνᾶς ἱερὸν ἱδρυμένων. 743. Εὔιππον, εὔπωλον] παρ᾽ ὅσον ὁ Κολωνὸς ἱππεὺς ἐλέγετο, κὴ Ποσειδῶν κὴ Ἀθηνᾶ αὐτόθι ἵππειοι. 744. Ὦ παῖ Κρόνε] αὐτόθι φασὶ Ποσειδῶνα πρῶτον ἵππους ζεῦξαι κὴ χαλινῶσαι. κὴ ταῦτα δὲ ἐπὶ θεραπείᾳ φησὶ τῆς οἰκείας πόλεως ὁ Σοφοκλῆς. ὁ γὰρ Κολωνὸς ἱππεὺς ὠνομάσθη παρ᾽ ἃς ἐξεθέμην αἰτίας κατὰ Ἀνδροτίωνα. ἀλλ᾽ οὗτος ἐπὶ τὸ σεμνότατον ἄγει τὸ πρᾶγμα, τῇ ποιητικῇ καταχρώμενος ἀδείᾳ.

¶ Σχημ. Τρικλ. 731. Ἐσχέων] συνίζησις.

747.

Digitized by Google

Τόδ' εἵσας αὔχημ', ἄναξ Ποσειδάν·
Ἵπποισιν τὸν ἀκεστῆρα χαλινὸν
Πρώταισι ταῖσδ' ἔκτισας ἀγυιαῖς.
Ἁ δ' εὐήρετμος ἔκπαγλ' ἁλία χερ-
σὶ παραπτομένα πλάτα
Θρώσκει τῶν ἑκατομπόδων
Νηρήδων ἀκόλουθος.

Αν. Ὦ πλεῖστ' ἐπαίνοις εὐλογούμενον πέδον,
Νῦν σοὶ τὰ λαμπρὰ ταῦτα δεῖ φαίνειν ἔπη.
Οἰ. Τί δ' ἐστὶν, ὦ παῖ καινόν;
Αν. Ἆσσον ἔρχεται
Κρέων ὅδ' ἡμῖν οὐκ ἄνευ πομπῶν, πάτερ.
Οἰ. Ὦ φίλτατοι γέροντες, ἐξ ὑμῶν ἐμοὶ
Φαίνοιτ' ἂν ἤδη τέρμα τῆς σωτηρίας.
Χο. Θάρσει, παρέσται. καὶ γὰρ εἰ γέρων κυρῶ,
Τὸ τῆσδε χώρας οὐ γεγήρακε σθένος.
Κρ. Ἄνδρες χθονὸς τῆσδ' εὐγενεῖς οἰκήτορες,
Ὁρῶ τιν' ὑμᾶς ὀμμάτων εἰληφότας
Φόβον νεωρῆ τῆς ἐμῆς ἐπεισόδου·
Ὃν μήτ' ὀκνεῖτε, μήτ' ἀφεῖτ' ἔπος κακόν.
Ἥκω γὰρ οὐχ ὡς δρᾷν τι βουληθεὶς· ἐπεὶ

747. Πρώταισι ταῖσδ' ἔκτισας] περὶ τὰ τρία ταῦτα κεφάλαια μάλιστα διατρίβουσι τοῦ ἐγκωμίου, ὅτι εὔφορος ἡ χώρα, καὶ ὅτι ἱππικοὶ Ἀθηναῖοι, καὶ ὅτι ναυτικοί. 749. Πλάτα θρώσκει] κώπη. 751. Νηρήδων ἀκόλουθος] ἀκολούθως. ὅτι αἱ Νηρηΐδες πεντήκοντά εἰσιν. 752. Ὦ πλεῖστ' ἐπαίνοις] ἡ Ἀντιγόνη ταῦτά φησιν ὁρῶσα προσιόντα τὸν Κρέοντα μετὰ χαρᾶς. 759. Εἰ γέρων ἐγὼ] κυρῶ δηλονότι. 761. Ἄνδρες χθονὸς]

Tu enim eam eò gloriæ evexisti,
Tu equis regendis frænos
Primus his in regionibus reperisti;
Apta verò remo palma marina manibus
Tractata mira celeritate
Currit centipedum
Nereidum comes.

IAMBI.

*An.* O terra plurimis laudibus celebrata,
Nunc te præclara ista verba decet probare.
*Oe.* Quid novi est, O filia?
*An.* Propius accedit
Creon hic non sine satellitibus, pater.
*Oe.* O charissimi senes, ex vobis mihi
Appareat jam salutis refugium.
*Ch.* Confide, aderit *salus:* etsi enim senex sum,
Hujus terræ non consenuit robur.
*Cr.* Viri nobiles, terræ hujus incolæ, video
Ex oculis vos aliquem concepisse
Metum novum meum ob adventum: quem
Neque metuatis *oro,* nec emittatis verba mala.
Venio enim, non ut *vi* quicquam facturus:

χθονὸς] ἐπὶ τὸν Οἰδίπουν ἀφῖκται ὁ Κρέων, καὶ μὴ πείσας αὐτὸν ἐλθεῖν εἰς τὴν αὐτοῦ πατρίδα, παρασπᾶται αὐτοῦ τὴν Ἀντιγόνην, φθάσας κατὰ τὴν ὁδὸν καὶ τὴν Ἰσμήνην ἀφελέσθαι. 764. Οἱ μήτ' ὀκνεῖτε] ὅντινα ἐμὲ δηλονότι μὴ φοβεῖσθε.

¶ Σχημ. Τρικλ. 751. Νηρῄδων] συνίζησις.

Γνώμην μετοίσεις· εἰ δ' ...

Χο. Τί δρῶμεν ἐν σοί; καὶ ...

Ἤδη 'στι, καὶ τοῖς τοῦδε π...

Νε. Ἐμοὶ μὲν οἶκτος δεινὸς ...

Τοῦδ' ἀνδρὸς, οὐ νῦν π...

Φιλ. Ἐλέησον, ὦ παῖ, πρὸς ...

Σαυτοῦ βροτοῖς ὄνειδος ...

Νε. Οἴμοι τί δράσω; μή ...

Τὴν Σκῦρον· οὕτω τοῖς ...

Φιλ. Οὐκ εἶ κακὸς σὺ, πρ...

Ἔοικας ἥκειν αἰσχρά ...

Οἷς εἰκὸς, ἔκπλει, τ...

Νε. Τί δρῶμεν, ἄνδρες;

Οδ. Ὦ ...

Οὐκ εἶ μεθεὶς τὰ τόξ...

Φιλ. Οἴμοι τίς ἀνήρ; ἆρ' ...

Οδ. Ὀδυσσεὺς, σάφ' ἴσθ' ...

Φιλ. Οἴμοι· πέπραμαι κα...

Ὁ ξυλλαβών με, κα...

Οδ. Ἐγὼ, σάφ' ἴσθ', ...

Φιλ. Ἀπόδος, ἄφες μοι, ...

Οὐδ' ἢν θέλῃ δράσ...

Στείχειν ἅμ' αὐτοῖς, ...

985. Μετοίσεις] μετανοήσεις ... Νῦν δ' ἄλλοισι δοὺς] νῦν δὲ ἄλλ... ἐμὰ ὅπλα ἐμοὶ δός. 1002. Π...

…iam senex sum, ad urbem verò scio
…enire præpotentem, si qua alia Græciæ.
…irum hunc tantæ ætatis missus sum
…ersuaderem me sequi terram ad Thebanam;
…n ab uno missus, sed civibus ab
…iversis jussus, quod decuit me ob propinquum
…genus
…jus lugere mala magis quàm cæteros cives.
… O miserrime Oedipe, auscultans mihi
…di domum: totus te populus Thebanus
…eritò vocat, & ex omnibus ego maximè.
…uanto magis, nisi longè omnium sim
…essimus, doleo tuas ob ærumnas, senex,
…idens te miserrimum quidem hospitem,
…emperque vagum, victu egentem, unâque
…olùm a ministrâ ductum, quam ego miser
…unquam has tantas in ærumnas casuram
…atus sum, quantas miserrima hæc incidit,
Dum te semper curat; & tuum caput
Mendicato cibo, jam grandis, nuptias non experta,
Sed quasi ad raptum exposita cujuslibet.
Certè miserum probrum (O miser ego)
Conjeci in te, & in me, & totum genus.
Sed non licet manifesta abscondere. Tu verò
Per Deos patrios, Oedipe, persuasus mihi

779. Κἀπὶ προπόλου μιᾶς] τῆς Ἀντιγόνης. εἴληπτο γὰρ ὑπ' αὐτοῦ ἡ Ἰσμήνη. 788. Ἀλλ' οὐ γάρ ἐστι τἀμφανῆ κρύπτειν] ὥστε συγγνώμης εἰμὶ ἄξιος λέγων· οὐ γὰρ δύναμαι κρύπτειν.



Digitized by Google

Γέρων μὲν εἰμι, πρὸς πόλιν δ' ἐπίσαμαι
Σθένυσαν ἥκων, εἴ τιν' Ἑλλάδος, μέγα.
Ἀλλ' ἄνδρα τόνδε τηλίκον ἀπεςάλην
Πείσων ἕπεσθαι πρὸς τὸ Καδμείων πέδον·
Οὐκ ἐξ ἑνὸς ςείλαντος, ἀλλ' ἀνδρῶν ὕπο
Πάντων κελευσθεὶς, ὕνεχ' ἧκέ μοι γένει
Τὰ τῦδε πενθεῖν πήματ', ἢ πλεῖςον πόλεως.
Ἀλλ', ὦ ταλαίπωρ' Οἰδίπυς, κλύων ἐμῦ,
Ἴκυ πρὸς οἴκυς. πᾶς σε Καδμείων λεὼς
Καλεῖ δικαίως· ἐκ δὲ τῶν πάντων ἐγὼ,
Ὅσῳ περ (εἰ μὴ πλεῖςον ἀνθρώπων ἔφυν
Κάκιςος) ἀλγῶ τοῖσι σοῖς κακοῖς, γέρον,
Ὁρῶν σε τὸν δύςηνον ὄντα μὲν ξένον,
Ἀεὶ δ' ἀλήτην, κἀπὶ προσπόλυ μιᾶς
Βιοςερῆ χωρῦντα· τὴν ἐγὼ τάλας
Οὐκ ἄν ποτ' ἐς τοσῦτον αἰκίας πεσεῖν
Ἔδοξ' ὅσον πέπτωκεν ἥδ' ἡ δύσμορος,
Ἀεί σε κηδεύυσα καὶ τὸ σὸν κάρα
Πτωχῇ διαίτῃ, τηλικῦτος· ὐ γάμων
Ἔμπειρος, ἀλλὰ τῦ 'πιόντος ἁρπάσαι.
Ἆρ' ἄθλιον τὔνειδος, ὦ τάλας ἐγὼ,
Ὠνείδισ' εἰς σὲ, κἀμὲ, καὶ τὸ πᾶν γένος;
Ἀλλ' ὐ γάρ ἐςι τἀμφανῆ κρύπτειν. σύ νυν
Πρὸς θεῶν πατρῴων, Οἰδίπυς, πεισθεὶς ἐμοὶ,

771. Σύνεχ' ἧκέ μοι γένει] ἀντὶ τῦ ὅτι προσήκει μοι πενθεῖν τὰ τῦτε ἀτυχήματα ὑπὲρ πάντας Θηβαίυς. 775. Ἐκ δὲ τῶνδε μάλις' ἐγὼ] ἐγὼ μάλιςά σε καλῶ, ὅσῳπερ πλεῖςον ἀλγῶ τοῖς σοῖς παθήμασι.

779.

Quoniam ſenex ſum, ad urbem verò ſcio
Me venire præpotentem, ſi qua alia Græciæ.
Sed virum hunc tantæ ætatis miſſus ſum
Ut perſuaderem me ſequi terram ad Thebanam;
Non ab uno miſſus, ſed civibus ab
Univerſis juſſus, quod decuit me ob propinquum genus
Hujus lugere mala magis quàm cæteros cives.
At, O miſerrime Oedipe, auſcultans mihi
Redi domum: totus te populus Thebanus
Meritò vocat, & ex omnibus ego maximè.
Quanto magis, niſi longè omnium ſim
Peſſimus, doleo tuas ob ærumnas, ſenex,
Videns te miſerrimum quidem hoſpitem,
Semperque vagum, victu egentem, unâque
Solùm a miniſtrâ ductum, quam ego miſer
Nunquam has tantas in ærumnas caſuram
Ratus ſum, quantas miſerrima hæc incidit,
Dum te ſemper curat; & tuum caput
Mendicato cibo, tam grandis, nuptias non experta,
Sed quaſi ad raptum expoſita cujuſlibet.
Certè miſerum probrum (O miſer ego)
Conjeci in te, & in me, & totum genus.
Sed non licet manifeſta abſcondere. Tu verò
Per Deos patrios, Oedipe, perſuaſus mihi

779. Κἀπὶ προπόλυ μιᾶς] τῆς Ἀντιγόνης. εἴληπτο γὰρ ὑπ' αὐτῦ ἡ Ἰσμήνη. 788. Ἀλλ' ὐ γάρ ἐστι τἀμφανῆ κρύπτειν] ὥστε συγγνώμης εἰμὶ ἄξιος λέγων· ὐ γὰρ δύναμαι κρύπτειν.

Κύψον, θελήσας ἄστυ καὶ δόμους μολεῖν
Τοὺς σοὺς πατρῴους, τήνδε τὴν πόλιν φίλως
Εἰπών. ἐπαξία γάρ. ἡ δ' οἴκοι πλέον
Δίκῃ σέβοιτ' ἂν οὖσα σὴ πάλαι τροφός.
Οἰ. Ὦ πάντα τολμῶν, κἀπὸ παντὸς ἂν φέρων
Λόγου δικαίου μηχάνημα ποικίλον,
Τί ταῦτα πειρᾷ, κἀμὲ δεύτερον θέλεις
Ἑλεῖν ἐν οἷς μάλιστ' ἂν ἀλγοίην ἁλούς;
Πρόσθεν τε γάρ με τοῖσιν οἰκείοις κακοῖς
Νοσοῦνθ', ὅτ' ἦν μοι τέρψις ἐκπεσεῖν χθονός,
Οὐκ ἤθελες θέλοντι προσθέσθαι χάριν.
Ἀλλ' ἡνίκ' ἤδη μεστὸς ἦν θυμούμενος,
Καὶ τοὐν δόμοισιν ἦν διαιτᾶσθαι γλυκύ,
Καὶ μάνθανον τὸν θυμὸν ἐκδραμόντα μοι,
Τότ' ἐξεώθεις, κἀξέβαλλες· οὐδέ σοι
Τὸ συγγενὲς τοῦτ' οὐδαμῶς τότ' ἦν φίλον.
Νῦν τ' αὖθις ἡνίκ' εἰσορᾷς πόλιν τέ μοι
Ξυνοῦσαν εὔνουν τήνδε, καὶ γένος τὸ πᾶν,
Πειρᾷ μετασπᾶν, σκληρὰ μαλθακῶς λέγων.
Καίτοι τοσαύτη τέρψις ἄκοντας φιλεῖν·
Ὥσπερ τις εἴ σοι λιπαροῦντι μὲν τυχεῖν
Μηδὲν διδοίη, μηδ' ἐπαρκέσαι θέλοι,
Πλήρη δ' ἔχοντι θυμὸν ὧν χρῄζεις, τότε

794. Ὦ πάντα τολμῶν] ὦ ἐν εὐλογοφανέσι λόγοις πανοῦργα βουλευόμενε. 796. Τί ταῦτα πειρᾷ;] βαρυτόνως ἀναγνωστέον πείρα, οὐ περισπωμένως. οὕτω Δίδυμος. 801. Ἡνίκ' ἤδη μεστὸς ἦν] ὡς ἐπὶ κεραμείου τινὸς ἢ ἄλλου σκεύους εἴρηκε. τοῦτ' ἔστιν, ὅτι κορεσθεὶς τοῦ θυμοῦ, λοιπὸν
τὰ

Digitized by Google

Cede, & volens ad urbem & domos redi
Tuas paternas, & huic urbi amanter [patriam
Valedicito: meruit enim. Sed pietas in urbem
Plus colatur, cum tua olim fuerit altrix.

*Oe.* O ad omnia audax, & e quolibet
Justo sermone machinas producens subdolas,
Quid hisce *me* tentas? & me denuò vis
Capere, quibus maximè dolerem captus?
Ante etenim mihi malis domesticis
Laboranti, cum volupe esset mihi ejici terrâ,
Noluisti volenti conferre hoc beneficium:
Sed ubi jam satur eram furoris,
Et domí meæ vitam agere erat dulce,
Et sentiebam animum impotentem abiisse mihi,
Tunc expulisti & ejecisti: neque tibi sanguinis
Hæc conjunctio omninò tum erat chara.
Nunc autem rursus, cum vides urbemque hanc
Mihi esse benevolam, & simul omne genus,
Conaris avellere, aspera verbis mollibus loquens.
Tanta tibi voluptas est invitos amare:
Ut si quis tibi petenti quidem consequi
Nihil tribuat, nec opem suppeditare velit,
Saturum autem animum habenti, quorum eges,

τὰ συμφέροντα ἐβουλευόμην, καὶ οὐκ ἔτι ἤθελον φεύγειν. 802. Καὶ τοῖν δόμοισιν] ἐν Θήβαις δηλονότι. 807. Γένος τὸ πᾶν] τὸ Ἀττικόν. 809. Καίτοι τοσαύτη τέρψις;] καὶ σὺ οὐ βούλει με εὐεργετεῖν μὴ θέλοντα.



Digitized by Google

Δωροῖθ᾽, ὅτ᾽ οὐδὲν ἡ χάρις χάριν φέρει,
Ἆρ᾽ ἂν ματαίου τῆσδ᾽ ἂν ἡδονῆς τύχοις;
Τοιαῦτα μέντοι καὶ σὺ προσφέρεις ἐμοὶ,
Λόγῳ μὲν ἐσθλὰ, τοῖσι δ᾽ ἔργοισιν κακά.
Φράσω δὲ καὶ τοῖσδ᾽, ὥς σε δηλώσω κακόν.
Ἥκεις ἔμ᾽ ἄξων, οὐχ ἵν᾽ εἰς δόμους ἄγῃς,
Ἀλλ᾽ ὡς πάραυλον οἰκίσῃς· πόλις δέ σοι
Κακῶν ἄνατος τῶνδ᾽ ἀπαλλαχθῇ χθονός.
Οὐκ ἔστι σοι ταῦτ᾽· ἀλλά σοι τάδ᾽ ἔστ᾽, ἐκεῖ
Χώρας ἀλάστωρ οὑμὸς ἐνναίων ἀεί.
Ἔστιν δὲ παισὶ τοῖς ἐμοῖσι τῆς ἐμῆς
Χθονὸς λαχεῖν τοσοῦτον, ἐνθανεῖν μόνον.
Ἆρ᾽ οὐκ ἄμεινον ἢ σὺ τὰν Θήβαις φρονῶ;
Πολλῷ γ᾽, ὅσῳ περ ἐκ σαφεστέρων κλύω,
Φοίβου τε, κἀυτοῦ Ζηνὸς, ὃς κείνου πατήρ.
Τὸ σὸν δ᾽ ἀφῖκται δεῦρ᾽ ὑπόβλητον στόμα
Πολλὴν ἔχον στόμωσιν. ἐν δὲ τῷ λέγειν,
Κάκ᾽ ἂν λάβοις τὰ πλείον᾽ ἢ σωτήρια.
Ἀλλ᾽ οἶδα γάρ σε ταῦτα μὴ πείθων· ἴθι,
Ἡμᾶς δ᾽ ἔα ζῆν ἐνθάδ᾽. οὐ γὰρ ἂν κακῶς
Οὐδ᾽ ὧδ᾽ ἔχοντες ζῷμεν, εἰ τερποίμεθα.
Κρ. Πότερα νομίζεις δυστυχεῖν ἔμ᾽ εἰς τὰ σὰ,

815. Προσφέρεις ἐμοὶ] ἀντὶ χάριτος δηλονότι. 819. Ὡς πάραυλον] ἀντὶ τοῦ ἐν ἀγροῖς. Ib Πόλις δέ σοι] καὶ ἵν᾽ αἱ Θῆβαι ἀβλαβεῖς ἔσονται ἐκ ταύτης τῆς γῆς. ἄνατος δὲ, ἀντὶ τοῦ ἀβλαβὴς, ἢ ἀναίτιος. 821. Οὐκ ἔστι σοι ταῦτα] οὐ προβήσεταί σοι ὁ σκοπός. 825. Ἆρ᾽ οὐκ ἄμεινον] ἆρα οὐ πλέον σου τὰ ἀποβησόμενα ἐν ταῖς Θήβαις οἶδα; 826. Ἐκ σαφεστέρων κλύω] ἀντὶ τοῦ, καὶ σαφέστερον οἶδα. 827. Φοίβου τε κἀυτοῦ Ζηνὸς] δοκεῖ γὰρ ὁ Ἀπόλλων παρὰ Διὸς λαμβάνειν τοὺς χρησμοὺς

αἰ

Tunc donet, cum gratia nihil gratum ferat,
An inanem hanc voluptatem optes consequi?
Hujusmodi sane & tu *dona* offers mihi.
Verbis quidem bona, sed ipsâ re mala.
Dicam autem & his, ut te malum esse probem.
Venis reductum me, non ut domum *me* ducas,
Sed ut accolam *in finibus* me loces, urbsque tua
Malis libera sit ab hâc terrâ *imminentibus.*
Non hæc consequêris; sed tibi illa evenient;
Ibique regionem genius meus malus incolet usque.
Filiique mei meæ terræ
Sortientur tantum, ubi moriantur solùm.
An non melius quàm tu res Thebarum nosse vi-
Multò quidèm: quanto certiores audio [deor?
Apollinemq. & ipsum Jovem, qui illius pater est.
Tuum verò pervenit huc mendax os, multum
Habens vehementiæ. sed hoc ex sermone
Mala auferes plura quàm commoda.
Nam scio te hæc mihi persuadere non posse:
Abi, nosque sine hîc vivere; neque enim malè
Ne sic quidem vivemus, si vivere juvet.
*Cr.* Num putas infelicem me fore propter tua quàm

ὡς ϗ ἐν Ἰφικλείᾳ φησί. ϗ Αἰσχύλος ἐν Ἱερείαις, Στέλλειν ὅπως τάχιστα. ταῦτα γὰρ πατὴρ Ζεὺς ἐγκαθιεῖ Λοξίᾳ. ϗ Ἀριστοφάνης Ἥρωσιν. 828 Ὑπόβλητον] οὐκ ἀληθὲς, ἀλλὰ πεπλασμένον. ἀπὸ τῶν ὑποβαλλομένων εἰς τὰ γένη παίδων ἀλλοτρίων. 829. Στόμωσιν] δείνωσιν, ϗ πανουργίαν. 834. Πότερα νομίζεις δυστυχεῖν] ἀντὶ τοῦ, ἐν τῷ μὴ πείθεσθαί σε μᾶλλον σὺ δυστυχεῖς ἢ ἐγώ.

837.

Digitized by Google

Δωροῖθ', ὅτ' οὐδὲν ἡ χάρις χάριν φέρει,
Ἆρ' ἂν ματαίου τῆσδ' ἂν ἡδονῆς τύχοις;
Τοιαῦτα μέντοι καὶ σὺ προσφέρεις ἐμοὶ,
Λόγῳ μὲν ἐσθλὰ, τοῖσι δ' ἔργοισιν κακά.
Φράσω δὲ καὶ τοῖσδ', ὥς σε δηλώσω κακόν.
Ἥκεις ἔμ' ἄξων, οὐχ ἵν' εἰς δόμους ἄγῃς,
Ἀλλ' ὡς πάραυλον οἰκίσῃς· πόλις δέ σοι
Κακῶν ἄνατος τῶνδ' ἀπαλλαχθῇ χθονός.
Οὐκ ἔστι σοι ταῦτ'· ἀλλά σοι τάδ' ἔστ', ἐκεῖ
Χώρας ἀλάστωρ οὑμὸς ἐνναίων ἀεί.
Ἔστιν δὲ παισὶ τοῖς ἐμοῖσι τῆς ἐμῆς
Χθονὸς λαχεῖν τοσοῦτον, ἐνθανεῖν μόνον.
Ἆρ' οὐκ ἄμεινον ἢ σὺ τὰν Θήβαις φρονῶ;
Πολλῷ γ', ὅσῳ περ ἐκ σαφεστέρων κλύω,
Φοίβου τε, κἀυτοῦ Ζηνὸς, ὃς κείνου πατήρ.
Τὸ σὸν δ' ἀφῖκται δεῦρ' ὑπόβλητον στόμα
Πολλὴν ἔχον στόμωσιν. ἐν δὲ τῷ λέγειν,
Κάκ' ἂν λάβοις τὰ πλείον' ἢ σωτήρια.
Ἀλλ' οἶδα γάρ σε ταῦτα μὴ πείθων· ἴθι,
Ἡμᾶς δ' ἔα ζῆν ἐνθάδ'. οὐ γὰρ ἂν κακῶς
Οὐδ' ὧδ' ἔχοντες ζῷμεν, εἰ τερποίμεθα.
Κρ. Πότερα νομίζεις δυστυχεῖν ἔμ' εἰς τὰ σὰ,

815. Προσφέρεις ἐμοὶ] ἀντὶ χάριτος δηλονότι. 819. Ὡς πάραυλον] ἀντὶ τοῦ ἐν ἀγροῖς. Ib. Πόλις δέ σοι] καὶ ἵν' αἱ Θῆβαι ἀβλαβεῖς ἔσονται ἐκ ταύτης τῆς γῆς. ἄνατος δὲ, ἀντὶ τοῦ ἀβλαβὴς, ἢ ἀναίτιος. 821. Οὐκ ἔστι σοι ταῦτα] οὐ προβήσεταί σοι ὁ σκοπός. 825. Ἆρ' οὐκ ἄμεινον] ἆρα οὐ πλέον σου τὰ ἀποβησόμενα ἐν ταῖς Θήβαις οἶδα; 826. Ἐκ σαφεστέρων κλύω] ἀντὶ τοῦ, καὶ σαφέστερον οἶδα. 827. Φοίβου τε κἀυτοῦ Ζηνὸς] δοκεῖ γὰρ ὁ Ἀπόλλων παρὰ Διὸς λαμβάνειν τοὺς χρησμοὺς

ἀϊ

Tunc donet, cum gratia nihil gratum ferat,
An inanem hanc voluptatem optes conſequi?
Hujuſmodi ſane & tu *dona* offers mihi.
Verbis quidem bona, ſed ipsâ re mala.
Dicam autem & his, ut te malum eſſe probem.
Venis reductum me, non ut domum *me* ducas,
Sed ut accolam *in finibus* me loces, urbſque tua
Malis libera ſit ab hâc terrâ *imminentibus*.
Non hæc conſequêris; ſed tibi illa evenient;
Ibique regionem genius meus malus incolet uſque.
Filiique mei meæ terræ
Sortientur tantum, ubi moriantur ſolùm.
An non melius quàm tu res Thebarum noſſe vi-
Multò quidèm: quanto certiores audio [deor?
Apollinemq. & ipſum Jovem, qui illius pater eſt.
Tuum verò pervenit huc mendax os, multum
Habens vehementiæ. ſed hoc ex ſermone
Mala auferes plura quàm commoda.
Nam ſcio te hæc mihi perſuadere non poſſe:
Abi, noſque ſine hîc vivere; neque enim malè
Ne ſic quidem vivemus, ſi vivere juvet.
*Cr*. Num putas infelicem me fore propter tua quàm

ὡς καὶ ἐν Ἰφικλείᾳ φυσί. καὶ Αἰσχύλος ἐν Ἱερείαις, Στέλλειν ὅπως τάχιστα. ταῦτα γὰρ πατὴρ Ζεὺς ἐγκαθιεῖ Λοξίᾳ. καὶ Ἀριστοφάνης Ἥρωσιν. 828 Ὑπόβλητον] οὐκ ἀληθὲς, ἀλλὰ πεπλασμένον. ἀπὸ τῶν ὑποβαλλομένων εἰς τὰ γένη παίδων ἀλλοτρίων. 829. Στόμωσιν] δείνωσιν, καὶ πανουργίαν. 834. Πότερα νομίζεις δυστυχεῖν] ἀντὶ τοῦ, ἐν τῷ μὴ πείθεσθαί σε μᾶλλον σὺ δυστυχεῖς ἢ ἐγώ.

837.

Ἤ σ' εἰς τὰ σαυτοῦ μᾶλλον ἐν τῷ νῦν λόγῳ;
Οἰ. Ἐμοὶ μὲν ἔσθ' ἥδιστον εἰ σὺ μήτ' ἐμὲ
Πείθειν οἷός τ' εἶ, μήτε τούσδε τοὺς πέλας.
Κρ. Ὦ δύσμορ', οὐδὲ τῷ χρόνῳ φύσας φανῇ
Φρένας ποτ', ἀλλὰ λῦμα τῷ γήρᾳ τρέφῃ;
Οἰ. Γλώσσῃ σὺ δεινός. ἄνδρα δ' οὐδέν' οἶδ' ἐγὼ
Δίκαιον, ὅστις ἐξ ἅπαντος εὖ λέγει.
Κρ. Χωρὶς τό, τ' εἰπεῖν πολλά, καὶ τὰ καίρια.
Οἰ. Ὡς δὴ σὺ βραχέα, ταῦτα δ' ἐν καιρῷ λέγεις.
Κρ. Οὐ δῆθ'. ὅτῳ γε νοῦς ἴσος καὶ σοὶ πάρα.
Οἰ. Ἄπελθ'. ἐρῶ γὰρ καὶ πρὸ τῶνδε. μηδέ με
Φύλασσ' ἐφορμῶν ἔνθα χρὴ ναίειν ἐμέ.
Κρ. Μαρτύρομαι τούσδ', οὐ σέ. πρὸς δὲ τοὺς φίλους,
Οἷ' ἀνταμείβῃ ῥήματ' ἢν σ' ἕλω ποτέ.
Οἰ. Τίς δ' ἄν με τῶνδε συμμάχων ἕλοι βίᾳ;
Κρ. Ἦ μὴν σὺ κἄνευ τῶνδε λυπηθεὶς ἔσῃ.
Οἰ. Ποίῳ σὺν ἔργῳ τοῦτ' ἀπειλήσας ἔχεις;
Κρ. Παίδοιν δυοῖν σοι τὴν μὲν ἀρτίως ἐγὼ
Ξυναρπάσας ἔπεμψα, τὴν δ' ἄξω τάχα.
Οἰ. Ὤ μοι.
Κρ. Τάχ' ἕξεις μᾶλλον οἰμώζειν τάδε.
Οἰ. Τὴν παῖδ' ἔχεις μου;
Κρ. Τήνδε γ' οὐ μακροῦ χρόνου.

837. Πείθειν οἷός τ' εἶ] πείθειν με εἰς τὸ ἀκολουθῆσαί σοι. Ib. Τοὺς πέλας] τοὺς ἀπὸ τοῦ χοροῦ. 839. Λῦμα τῷ γήρᾳ] κάθαρμα. ὅ ἐστιν, ἀπαίδευτος μέχρι γήρως μενεῖς. 841. Δίκαιον, ὅστις ἐξ ἅπαντος] ὅστις βούλεται ἐκ παντὸς δοκεῖν δίκαια λέγειν. 842. Πολλὰ καὶ τὰ καίρια] ἄλλο ἐστὶ τὸ φλυαρεῖν, καὶ ἄλλο τὸ ἀναγκαῖα λέγειν. 844. Οὐ δῆτα] τοῖς κατὰ σὲ οὐ δοκῶ καίρια λέγειν. 845. Καὶ πρὸ

τῶνδε

Te tua ipſius ob *facta* magis in hac contentione?

*Oe*. Mihi quidem eſt jucundiſſimum, ſi tu neque me
Perſuadere poteris, nec hoſce, qui prope aſtant.

*Cr*. O miſer, qui longo temporis ſpatio neque
Sapientiam videris conciliaſſe, ſed etiam delirium
in ſenectute alis.

*Oe*. Linguâ tu acer *es*. virum autem ego neminem
Novi juſtum, qui in omnibus rectè loquitur.

*Cr*. Longe aliud multa loqui, & opportuna.

*Oe*. Quàm tu jam breviter hæc, ſed opportunè dicis!

*Cr*. Non ſanè *opportune illi*, cuicunq. eadem eſt mens,

*Oe*. Abi. dicam enim et pro his: neque me [quæ tibi.
Obſerva, hortans ubi habitare me oporteat.

*Cr*. Teſtor hos, non te, qualibus nunc verbis [pœnas.
Reſponderis amicis. Si te aliquando cepero, *dabis*

*Oe*. Et quis me hiſce adjutoribus invitis eripiat?

*Cr*. Certè tu etiam abſque his dolebis.

*Oe*. Quonam ex facto hæc minaris?

*Cr*. Filiarum tibi duarum alteram quidèm modò ego
Abreptam ablegavi, alteram autèm mox abdu-

*Oe*. Hei mihi! [cam.

*Cr*. At mox habebis quod plores magis.

*Oe*. Filiamne meam habes?

*Cr*. Et hanc habebo haud longum poſt tempus.

τῶνδε] κ̀ πρὸ τȣ̃ χορȣ̃. 847. Μαρτύρομαι] μάρτυρας καλῶ, ἐάν σε ἕλω, δικαίως τιμωρήσομαι, οἷα ἀντιμείβῃ με ῥήματα. 849. Τῶνδε συμμάχων] τῶν ἀπὸ τȣ̃ χορȣ̃. Ib. Ἕλοι βίᾳ] βιαζόμενος τȣ̀ς ἐμȣ̀ς συμμάχȣς κ̀ φύλακας. 850. Ἦ μὴν σὺ κἄνευ] κ̀ χωρὶς τȣ̃ λαβεῖν σε εἰς Θήβας. 857. Τάνδε γ' ȣ̓ μακρȣ̃] τὴν Ἀντιγόνην δηλονότι. 858.

Digitized by Google

Οἰ. Ἰὼ ξένοι, τί δράσετ'; ἢ προδώσετε;
Κοὐκ ἐξελᾶτε τὸν ἀσεβῆ τῆσδε χθονός;
Χο. Χώρει, ξέν', ἔξω θᾶσσον· οὔτε γὰρ τὰ νῦν
Δίκαια πράσσεις, οὔθ' ἃ πρόσθεν εἴργασαι.
Κρ. Ὑμῖν ἂν εἴη τήνδε καιρὸς ἐξάγειν
Ἄκουσαν, εἰ θέλουσα μὴ πορεύσεται.
Αν. Οἴμοι τάλαινα, ποῖ φύγω; ποίαν λάβω
Θεῶν ἄρηξιν, ἢ βροτῶν;
Χο. Τί δρᾷς, ξένε;
Κρ. Οὐχ' ἅψομαι τοῦδ' ἀνδρός, ἀλλὰ τῆς ἐμῆς.
Οἰ. Ὦ γῆς ἄνακτες.
Χο. Ὦ ξέν', οὐ δίκαια δρᾷς.
Κρ. Δίκαια.
Χο. Πῶς δίκαια;
Κρ. Τοὺς ἐμοὺς ἄγω.

Αν. Ἰὼ πόλις.
Χο. Τί δρᾷς, ὦ ξέν'; οὐκ ἀφήσεις; τάχ' εἰς
Βάσανον εἶ χερῶν.
Κρ. Εἴργου.
Χο. Σοῦ μὲν οὔ τάδε γε μωμένου.
Οἰ. Πόλει μάχῃ γὰρ, εἴ τι πημαίνεις ἐμέ.
Χο. Οὐκ ἠγόρευον ταῦτ' ἐγώ;
Κρ. Μέθες χεροῖν

858. Ἰὼ ξένοι] τῷ χορῷ φησίν. 862. Ὑμῖν ἂν εἴη τήνδε] τὴν Ἀντιγόνην. τοῖς ἀκολούθοις δὲ ἑαυτοῦ φησὶν ὁ Κρέων. 866. Τί δρᾷς, ξένε] πρὸς τὸν Κρέοντα ἕλκοντα τὴν Ἀντιγόνην. 867. Ἀλλὰ τῆς ἐμῆς]

ἀδελφῆς

*Oe.* O hoſpites, quidnam agetis? an me prodituri eſtis?

Et non abigetis hunc impium ex hâc terrâ?

*Ch.* Abi, hoſpes, hinc ocyus: neque enim præſentia

Juſtè facis, neque priora feciſti.

*Cr.* Vobis tempus eſt hanc abducere

Invitam, ſi ſponte non ibit.

*An.* Hei mihi, miſera quo fugiam? quod accipiam Deorum effugium aut hominum?

*Ch.* Quid agis, hoſpes?

*Cr.* Non attingam hunc virum, ſed meam.

*Oe.* O terræ principes.

*Ch.* O hoſpes, injuſtè facis.

*Cr.* Juſtè.

*Ch.* Quomodo juſtè?

*Cr.* Meos abduco.

ANTISTROPHICA. STROPHE I.

*An.* O civitas.

*Ch.* Quid agis, hoſpes? non dimittes? mox

Ad certamen manuum venies.

*Cr.* Prohibe.

*Ch.* Ita ſanè, ut tu ipſe culpare nequeas.

*Oe.* Pugnas enim cum civitate, ſiquid me lædis.

*Ch.* Num non ego prædixeram hæc?

*Cr.* Dimitte manibus

ἀδελφῆς· μοῦ γὰρ θυγάτηρ ἐστιν. 876. Εἴργου] φυλάττου, χωρίζου 877. Σοῦ μὲν οὔ] οὐκ ἀφέξομαι. 878. Πόλει μάχῃ] ταῖς Ἀθήναις ὀχλοῦντι.



Digitized by Google

Τὴν παῖδα θᾶσσον.
Χο. Μὴ 'πίτασσ' ἃ μὴ κρατεῖς.
Κρ. Χαλᾶν λέγω σοί.
Χο. Σοὶ δ' ἔγωγ' ὁδοιπορεῖν.
Προβᾶθ' ὧδε, βᾶτε, βᾶτ' ἐντόπιοι.
Πόλις ἐναίρεται, πόλις ἐμὰ, σθένει.
Προβᾶτέ μ' ὧδε.

Αν. Ἀφέλκομαι δύστηνος, ὦ ξένοι, ξένοι.
Οἰ. Ποῦ τέκνον εἶ μοι;
Αν. Πρὸς βίαν πορεύομαι.
Οἰ. Ὄρεξον, ὦ παῖ, χεῖρας.
Αν. Ἀλλ' οὐδὲν σθένω.
Κρ. Οὐκ ἄξεθ' ὑμεῖς;
Οἰ. Ὦ τάλας ἐγὼ, τάλας.
Κρ. Οὔκουν ποτ' ἐκ τούτοιν γε μὴ σκήπτροιν ἔτι
Ὁδοιπορήσῃς· ἀλλ' ἐπεὶ νικᾶν θέλεις
Πατρίδα τε τὴν σὴν, καὶ φίλους, ὑφ' ὧν ἐγὼ
Ταχθεὶς τάδ' ἔρδω, καὶ τύραννος ὢν ὅμως,
Νίκα. χρόνῳ γὰρ (οἶδ' ἐγὼ) γνώσῃ τάδε,
Ὅθ' οὕνεκ' αὐτὸς αὑτὸν οὔτε νῦν καλὰ
Δρᾷς, οὔτε πρόσθεν εἰργάσω βίᾳ φίλων,
Ὀργῇ χάριν δοὺς, ἥ σ' ἀεὶ λυμαίνεται.
Χο. Ἐπίσχες αὐτοῦ, ξεῖνε.

884. Ὁδοιπορεῖν] ἀναχωρεῖν ἐντεῦθεν, ὦ Κρέον. 886. Ἐναίρεται πόλις ἐμὰ σθένει] τουτέστι, βίᾳ πορθεῖται. 890. Πρὸς βίαν πορεύομαι] ὑπὸ τῶν προστεταγμένων παρὰ τοῦ Κρέοντος ἀπάγομαι ἑλκομένη. ἐν μέ-
ρει

Puellam ocyùs.
*Ch.* Ne manda, quæ te penes non ſunt.
*Cr.* Dimitte, inquam tibi.
*Ch.* Et ego inquam tibi, ut abeas.
Progredimini huc, ite, venite, incolæ,
Urbs vaſtatur, urbs mea, per vim.
Progredimini huc mihi.

IAMBI.

*An.* Abducor infelix, O hoſpites, hoſpites.
*Oe.* Ubi es mihi filia?
*An.* Per vim abducor.
*Oe.* Porrige, filia, manum.
*An.* At non valeo.
*Cr.* Non abducetis vos?
*Oe.* O miſer ego, miſer.
*Cr.* Non ampliùs poſthac hiſce ſcipionibus
Gradiere fultus: ſed quoniam vincere vis
Patriamque tuam, et amicos, a quibus ego
Juſſus hæc facio, tametſi rex ſim; age vince.
Cum tempore enim (ſat ſcio) hoc intelliges,
Quod ipſe tibi nunc nil agis
Boni, nec olim feciſti invitis amicis, iræ
Gratificans, quæ tibi ſemper plurimum nocet.
*Ch.* Subſiſte hîc, hoſpes.

ρει δὲ παθητικά ἐϛιν. 895. Ἐκ τούτοιν γε μὴ σκήπτροιν] ἐκ τῶν θυγατέρων, αἷς ὡς σκήπτροις ἐχρῆτο καὶ βακτηρίᾳ.

Κρ. Μὴ ψαύειν λέγω.
Χο. Οὔτοι σ' ἀφήσω, τῶνδέ γ' ἐστερημένος.
Κρ. Καὶ μεῖζον ἆρα ῥύσιον πόλει τάχα
Θήσεις· ἐφάψομαι γὰρ οὐ ταύταιν μόναιν.
Χο. Ἀλλ' ἐς τί τρέψῃ;
Κρ. Τόνδ' ἀπάξομαι λαβών.
Χο. Δεινὸν λέγεις.
Κρ. Ὡς τοῦτο νῦν πεπράξεται,
Ἢν μή μ' ὁ κραίνων τῆσδε γῆς ἀπειργάθῃ.
Οἰ. Ὦ φθέγμ' ἀναιδὲς, ἦ σὺ γὰρ ψαύσεις ἐμοῦ;
Κρ. Αὐδῶ σιωπᾶν.
Οἰ. Μὴ γὰρ αἵδε δαίμονες
Θεῖέν μ' ἄφωνον τῆσδε γῆς ἀρᾶς ἔτι.
Ὅς μ', ὦ κάκιστε, ψιλὸν ὄμμ' ἀποσπάσας
Πρὸς ὄμμασιν τοῖς πρόσθεν ἐξοίχῃ βίᾳ.
Τοιγάρ σε καὐτὸν, καὶ γένος τὸ σὸν, θεῶν
Ὁ πάντα λεύσσων ἥλιος δοίη βίον
Τοιοῦτον οἷον κἀμὲ γηρᾶναι ποτέ.
Κρ. Ὁρᾶτε ταῦτα τῆσδε γῆς ἐγχώριοι;
Οἰ. Ὁρῶσι κἀμὲ καί σε· καὶ φρονοῦσ' ὅτι
Ἔργοις πεπονθὼς, ῥήμασίν σ' ἀμύνομαι.
Κρ. Οὔτοι καθέξω θυμὸν, ἀλλ' ἄξω βίᾳ,
Κεἰ μοῦνός εἰμι, τόνδε, καὶ χρόνῳ βραδύς.

Οἰ. Ἰὼ τάλας.

906. Πόλει τάχα] ταῖς Ἀθήναις. 916. Θεῖέν μ' ἄφωνον] μὴ ἄφωνος γενοίμην εἰς τὸ καταρᾶσθαί σε. 917. Ψιλὸν ὄμμα] ὄμμα φησὶ

φησὶ

*Cr*. Edico ne quis tangat.

*Ch*. At non te abire sinam hisce ego privatus.

*Cr*. Majus igitur redemtionis pretium urbi statim
Conflabis: tangam enim non has solas.

*Ch*. Sed quò te vertes?

*Cr*. Hunc quoque raptum abducam.

*Ch*. Rem narras atrocem.

*Cr*. Quòd hoc jam peractum erit, *scito*,
Nisi me rex terræ hujus prohibeat.

*Oe*. O os impudens! tune me tanges?

*Cr*. Jubeo *te* tacere.

*Oe*. Non profectò Deæ
Terræ hujus me mutum reddent, ne imprecer
Tibi, qui mihi, O pessime, unicum oculum
Abtraxeris per vim super oculos ante amissos.
Quare & teipsum & genus tuum Deorum
Cuncta cernens Sol det vitam
Talem, qualem ego, exigere in senectute.

*Cr*. Videtisne hæc, terræ hujus incolæ?

*Oe*. Vident & me & te, & intelligunt quod
Factis læsus, verbis te ulciscor.

*Cr*. Non jam tenebo iram; sed vi abducam hunc,
Licèt solus sim, & senio gravis.

ANTISTROPHE.

*Oe*. O miser,

φησὶ τὴν Ἀντιγόνην 926. Καὶ χρόνῳ βραδὺς] γράφεται καὶ βαρύς. 930

Χο. Ὅσον λῆμ' ἔχων ἀφίκου, ξέν', εἰ
Τάδε δοκεῖς τελεῖν.
Κρ. Δοκῶ.
Χο. Τάνδ' ἄρ' οὐκέτι νέμω πόλιν.
Κρ. Τοῖς τοι δικαίοις χὠ βραχὺς νικᾷ μέγαν.
Οἰ. Ἀκούεθ' οἷα φθέγγεται;
Χο. Τά γ' οὐ τελεῖ.
Κρ. Ζεὺς ταῦτ' ἂν εἰδείη, σὺ δ' οὔ.
Χο. Ἆρ' οὐχ ὕβρις τάδ';
Κρ. Ὕβρις. ἀλλ' ἀνεκτέα.
Χο. Ἰὼ πᾶς λεώς· ἰὼ γᾶς τε πρόμοι
Μόλετε σὺν τάχει, μόλετ'· ἐπεὶ πέραν
Περῶσι δῆτα.

Θη. Τίς ποθ' ἡ βοή; τί τοὔργον; ἐκ τίνος φόβου ποτὲ
Βουθυτοῦντά μ' ἀμφὶ βωμὸν ἔσχετ' ἐναλίῳ θεῷ,
Τοῦδ' ἐπιστάτῃ Κολωνοῦ; λέξαθ', ὡς ἴδω τὸ πᾶν
Οὗ χάριν δεῦρ' ᾖξα θᾶσσον ἢ καθ' ἡδονὴν ποδός.

Οἰ. Ὦ φίλτατ'· (ἔγνων γὰρ τὸ προσφώνημά σου)
Πέπονθα δεινὰ τοῦδ' ὑπ' ἀνδρὸς ἀρτίως.
Θη. Τὰ ποῖα ταῦτα; τίς δ' ὁ πημήνας; λέγε.

931. Τάνδ' ἄρ' οὐκέτι] ταύτην δ' ἄρα οὐκέτι νομιῶ πόλιν, εἰ σὺ ἀπάξεις τοῦτον. 934. Τάγ' οὐ τελεῖ] ταῦτα ἃ λέγει οὐ πληρώσει. 935. Ζεύς ταῦτ' ἂν] εἰ τελέσει, Ζεὺς εἰδείη. 937. Ἀλλ' ἀνεκτέα] ἀνεκτέον. οὕτω γάρ φασι σκαπτέα, φυτευτέα, ἀντὶ τοῦ σκαπτέον, φυτευτέον.

941.

*Ch.* Quantâ *huc* audaciâ venisti, hospes, si
Putas te hæc effecturum?
*Cr.* Puto.
*Ch.* Hanc igitùr non amplius censebo civitatem esse.
*Cr.* Justa in re & parvus *sæpe* vincit magnum.
*Oe.* Auditis quæ loquitur?
*Ch. Audio.* Sed hæc non perficiet.
*Cr.* Jupiter hoc sciat, non tu.
*Ch.* Non hæc injuria est?
*Cr.* Injuria, sed ferenda.
*Ch.* O populus omnis, O terræque duces
Adeste properè, adeste, namque ultra fas
Jam transeunt.

TROCHÆI,

*Th.* Quis hic clamor est? quid rei? quem ob metum
Mactantem me ad aras marino Deo avocatis,
Hujus Coloni præsidi, dicite, ut rem omnem
Sciam, cujus causâ huc veni celeriùs, quam pedibus gratum erat.

IAMBI,

*Oe.* O charissime (agnovi enim vocem tuam)
Passus sum atrocia ab hoc viro modò.
*Th.* Quænam hæc? quis te læsit homo? dic.

941. Τίς ποθ' ἡ βοή;] σοφῶς τῇ οἰκονομίᾳ ἐχρήσατο, ὥστε μαθεῖν τὸν Θησέα τὰ γινόμενα, πρὸς ταῖς θυσίαις ὄντα τοῦ ἱππείου Ποσειδῶνος, ὑπὲρ τοῦ μὴ διατριβὴν ἐγγενέσθαι μηνύοντός τινος. 944. Ἦξα θᾶσσον ἢ] ταχύτερον ἢ ὡς ἔδει βαδίζειν.



Digitized by Google

Οἰ. Κρέων ὅδ', ὃν δέδορκας, οἴχεται τέκνων
Ἀποσπάσας μου τὼ μόνω ξυνωρίδα.
Θη. Πῶς εἶπας;
Οἰ. Οἷάπερ πέπονθ' ἀκήκοας.
Θη. Οὐκοῦν τις ὡς τάχιστα προσπόλων μολὼν
Πρὸς τούσδε βωμοὺς, πάντ' ἀναγκάσει λεὼν,
Ἄνιππον ἱππότην τε θυμάτων ἄπο,
Σπεύδειν ἀπὸ ῥυτῆρος, ἔνθα δίστομοι
Μάλιστα συμβάλλουσιν ἐμπόρων ὁδοὶ,
Ὡς μὴ παρέλθωσ' αἱ κόραι· γέλως δ' ἐμῷ
Ξένῳ γένωμαι τῷδε χειρωθεὶς βίᾳ.
Ἴθ' ὡς ἄνωγα σὺν τάχει. τοῦτον δ' ἐγὼ,
Εἰ μὲν δι' ὀργῆς ἧκον ἧς ὅδ' ἄξιος,
Ἄτρωτον οὐ μεθῆκ' ἂν ἐξ ἐμῆς χερός·
Νῦν δ' ὥσπερ αὐτὸς τοὺς νόμους εἰσῆλθ' ἔχων,
Τούτοισιν οὐκ ἄλλοισιν ἁρμοσθήσεται.
Οὐ γάρ ποτ' ἔξει τῆσδε τῆς χώρας πρὶν ἂν
Κείνας ἐναργεῖς δεῦρό μοι στήσῃς ἄγων.
Ἐπεὶ δέδρακας οὔτ' ἐμοῦ καταξίως,
Οὔθ' ὧν πέφυκας αὐτὸς, οὔτε σῆς χθονὸς,
Ὅστις δίκαι' ἀσκοῦσαν εἰσελθὼν πόλιν,
Κἄνευ νόμου κραίνουσαν οὐδὲν, εἶτ' ἀφεὶς
Τὰ τῆσδε τῆς γῆς κύρι', ὧδ' ἐπεισπεσὼν,
Ἄγεις τὰ χρήζεις, καὶ παρίστασαι βίᾳ·

954. Θυμάτων ἄπο] ἀπὸ τῶν θυσιῶν, ἀντὶ τοῦ ὡς ἔχει σχήματος ἕκαστος. 955. Σπεύδειν ἀπὸ ῥυτῆρος] ἀντὶ τῆς βλαύτης. τῶν δὲ ἐξηγησαμένων ἁπάντων Πραξιφάνης δοκεῖ ἄμεινον ἀποδιδόναι, ἀκούων τὸ ὑπόδημα, ὃ τῶν ποδῶν τὸ κάλυμμα. Ib. Ἔνθα δίστομοι] ὡς σχιστῆς οὔσης ὁδοῦ ἐκεῖσε. 960. Εἰ μὲν δι' ὀργῆς ἧκον] εἰ μὲν

δι'

Digitized by Google

*Oe.* Creon hic, quem cernis, filiarum
Avulsit a me solum jugum.
*Th.* Quid ais?
*Oe.* Ea quæ passus sum audisti.
*Th.* Proinde aliquis quàm celerrimè e ministris
Profectus ad has aras omnem cogat populum,
Peditem equitemque, a sacris *ipsis*
Properare, ut a carceribus, unde duæ
Euntibus viæ maximè coeunt *in unam*,
Ne pertranseant puellæ: risusque meo
Huic hospiti fiam, *si* vi victus *fuero*.
Ite, ut jussi, celeritèr; hunc autem ego,
Irâ si quidem accensus essem, quâ dignus est,
Invulneratum non dimitterem e meâ manu.
Nunc autem, ut ipse suas leges secum tulit,
Iisdem, non aliis tenebitur.
Non enim unquam abis ex hâc terrâ, priusquàm
Illas palàm mihi sistes huc allatas.
Quoniam *hæc* fecisti neque me digna
Neque quibus ipse natus es, nec tuâ patriâ,
Qui justa curantem ingressus civitatem,
Et sine lege nihil facientem, dein
Juribus amissis loci, sic violentèr irruens
Abducis quæcunque vis, & subjicis tibi per vim;

δι' ὀργῆς ἐληλύθειν, ἐν ταύτῃ τῇ ὀργῇ ἧς ἦν οὗτος ἄξιος. 963. Τούτοισιν οὐκ ἄλλοισιν] ὡς ἀπὸ ξένης γῆς ἀπέσπασεν, οὕτω καὶ αὐτὸς ἀπὸ ξένης γῆς ἀποσπασθήσεται. 964. Οὐ γάρ ποτ' ἔξει] οὐκ ἀναχωρήσεις γὰρ ἐντεῦθεν πρὶν ἀναγάγῃς τὰς κόρας. 971. Καὶ παρέσπασαι βίᾳ] ἀντὶ τοῦ καταδουλοῖς αὐτὴν βίᾳ, καὶ μεθίστασαι. εἰώθασι δὲ οὕτω λέγειν καὶ



ἀντὶ

Καί μοι πόλιν κένανδρον ἢ δούλην τινὰ
Ἔδοξας εἶναι, καί μ' ἴσον τῷ μηδενί.
Καίτοι σε Θῆβαί γ' οὐκ ἐπαίδευσαν κακόν.
Οὐ γὰρ φιλοῦσιν ἄνδρας ἐκδίκους τρέφειν.
Οὐδ' ἄν σ' ἐπαινέσειαν, εἰ πυθοίατο
Συλῶντα τἀμὰ, καὶ τὰ τῶν θεῶν βίᾳ,
Ἄγοντα φωτῶν ἀθλίων ἱκτήρια.
Οὔκουν ἔγωγ' ἂν σῆς ἐπεμβαίνων χθονὸς,
Οὐδ' εἰ τὰ πάντων εἶχον ἐνδικώτατα,
Ἄνευ γε τοῦ κραίνοντος (ὅστις ἦν) χθονὸς,
Οὔθ' εἷλκον, οὔτ' ἂν ἦγον· ἀλλ' ἠπιστάμην
Ξεῖνον παρ' ἀστοῖς ὡς διαιτᾶσθαι χρεών.
Σὺ δ' ἀξίαν οὐκ οὖσαν αἰσχύνεις πόλιν
Τὴν αὐτὸς αὑτοῦ. καί σ' ὁ πληθύνων χρόνος
Γέρονθ' ὁμοῦ τίθησι καὶ τοῦ νοῦ κενόν.
Εἶπον μὲν οὖν καὶ πρόσθεν, ἐννέπω δὲ νῦν,
Τὰς παῖδας ὡς τάχιστα δεῦρ' ἄγειν τινὰ,
Εἰ μὴ μέτοικος τῆσδε τῆς χώρας θέλεις
Εἶναι βίᾳ τε κοὐχ ἑκών. καὶ ταῦτά σοι
Τῷ νῷ θ' ὁμοίως κἀπὸ τῆς γλώσσης λέγω.

ἀντὶ τοῦ ἐφυγάδευσαν. ἡμεῖς δ' ἂν εἴποιμεν, μετεστήσαντο, παρεστήσαντο λέγουσιν. Ἄλλως. Καὶ παρίστασαι βίᾳ, τὸ παρίστασαι, ἴσον ἐστὶ τῷ καταδουλοῖς, καὶ ὑποχείριον ποιεῖς, καὶ πάλιν παραστήσασθαι τούσδε τινάς φασὶ, παραφυλάττεσθαι. καὶ δεινοποιεῖ τὰ τοῦ Κρέοντος ὁ Θησεὺς τῇ καλουμένῃ αὐξητικῇ κεφαλαιώσει, καὶ συνάπτει πολλὰ κεφάλαια.

ΣΧΟΛ. ΤΡΙΚΛ. 955. Σπεύδειν ἅπαι ἐστὶ στρος] ἤγουν ἀπὸ μιᾶς ὁρμῆς, ἀντὶ τοῦ ὡς ἔχει ἕκαστος σχήματος, εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν διωκόντων τινὰς στρατιωτῶν, καὶ πάσας ἡνίας χαλώντων ὥστε ταχύτερον φέρε-

Mihiq. urbem vacuam viris, aut ſervam aliquam
Eſſe cenſuiſti, & me hominem nihili.
Atqui te Thebæ non hoc docuerunt malum,
Non enim ſolent viros injuſtos alere.
Nec te approbarent, ſi audirent
Te mea ſpoliaſſe, &, Diis invitis,
Abducere homines miſeros ſupplices.
Equidem ego, tuam ingreſſus terram,
Ne ſi cauſas haberem omnium juſtiſſimas,
Non tamen abſque regis conſenſu (quiſquis eſſet)
Neque traherem neque abducerem quicquam : ſed
Scirem hoſpitem inter cives ut ſe gerere oporteret.
Tu verò neutiquam dignam deturpas urbem
Ipſe tuam, & te longum tempus
Senem ſimul reddit, & mente vacuum.
Dixi quidem ante, & nunc dico,
Ut puellas celerrimè huc ducat aliquis,
Niſi incola hujus loci vis
Eſſe per vim & invitus : & hæc tibi
Ex animoque pariter, & linguâ dico.

φέρεσθαι. ῥυτῆρας γὰρ τοὺς χαλινούς φασιν, οὐ τὰ ὑποδήματα, ὡς τὰ σχόλια λέγει.

984. Σὺ δ' ἀξίαν οὐκ οὖσαν] οὐκ οὖσαν ἀξίαν αἰσχύνεσθαι τὴν Θήβην δηλονότι, αἰσχύνεις. αἰσχύνει δὲ πατρίδα πολίτου ἁμαρτία. 989. Εἰ μὴ μέτοικος τῆσδε] ἀντὶ τοῦ ἔνοικος. οὐ γὰρ αὐτὸ τοῦτο τὸ μέτοικος, ὡς ἡμεῖς φαμὲν, εἴρηται· μετοίκους δὲ καλοῦσι τοὺς ἀπὸ ἑτέρας χώρας μεταβαίνοντας καὶ κατοικοῦντας ἐν ἑτέραις. κέχρηται δὲ καὶ Αἰσχύλος ἐπὶ τῶν οἰώνων ἐν Ἀγαμέμνονι λέγων οὕτως, Τῶνδε μετοίκων. μετοίκους γὰρ εἶπε τῶν ὑψηλῶν τόπων τοὺς οἰωνοὺς ἐκεῖ, ἀντὶ τοῦ ἐνοίκους.

Χο. Ὁρᾷς ἵν' ἥκεις, ὦ ξέν', ὡς ἀφ' ὧν μὲν εἶ,
Φαίνῃ δίκαιος, δρῶν δ' ἐφευρίσκῃ κακά.
Κρ. Ἐγὼ οὔτ' ἄνανδρον τήνδε τὴν πόλιν λέγων,
Ὦ τέκνον Αἰγέως, οὔτ' ἄβουλον, ὡς σὺ φῂς,
Τοὔργον τόδ' ἐξέπραξα· γιγνώσκων δ' ὅτι
Οὐδείς ποτ' αὐτοὺς τῶν ἐμῶν ἂν ἐμπέσοι
Ζῆλος ξυναίμων, ὥστ' ἐμοῦ τρέφειν βίᾳ.
Ἤδειν δ' ὅθ' οὕνεκ' ἄνδρα καὶ πατροκτόνον
Κἄναγνον οὐ δεξαίατ', οὐδ' ὅτῳ γάμοι
Ξυνόντες ηὑρέθησαν ἀνόσιοι τέκνων.
Τοιοῦτον αὐτοῖς Ἄρεος εὔβουλον πάγον
Ἐγὼ ξυνῄδειν χθόνιον ὄνθ', ὃς οὐκ ἐᾷ
Τοιούσδ' ἀλήτας τῇδ' ὁμοῦ ναίειν πόλει.
Ὧ πίστιν ἴσχων, τήνδ' ἐχειρούμην ἄγραν·
Καὶ ταῦτ' ἂν οὐκ ἔπρασσον εἰ μή μοι πικρὰς
Αὐτῷ τ' ἀρὰς ἠρᾶτο καὶ τῷ 'μῷ γένει.
Ἀνθ' ὧν πεπονθὼς, ἠξίουν τάδ' ἀντιδρᾶν.
Θυμοῦ γὰρ οὐδὲν γῆράς ἐστιν ἄλλο πλὴν
Θανεῖν· θανόντων δ' οὐδὲν ἄλγος ἅπτεται.
Πρὸς ταῦτα πράξεις οἷον ἂν θέλῃς. ἐπεὶ
Ἐρημία με, κεἰ δίκαι' ὅμως λέγω,

994. Ἐγὼ οὔτ' ἄνανδρον] τὴν ῥητορείαν παραφύλαξον, ὅτι τῶν μὲν κατηγορηθέντων αὐτοῦ οὐχ ἅπτεται, καινὰ δέ τινα ἐνθυμήματα καὶ πάνυ εὔλογα ἐξευρίσκων ἀντιλέγει. 997. Οὐδείς ποτ' αὐτοὺς] τοὺς Ἀθηναίους. 1000. Οὐδ' ὅτῳ γάμοι] παρόσον αὐτὸς τέκνον ἐστὶ μητέρα γεγαμηκώς. 1002. Τοιοῦτον αὐτοῖς Ἄρεος] ᾔδειν δὲ εὔβουλον ὄντα τὸν Ἄρειον πάγον. τοῦτον δὲ χθόνιον εἶπεν, οἷον, εὐγενῆ καὶ αὐτόχθονα καὶ ἐγχώριον. οὐχ ὡς οἱ ἐξηγησάμενοι οἴονται, παρὰ τὸ τοὺς δικαζομένους ἐν αὐτῷ ὑπὸ τὴν χθόνα εἶναι. χθόνιον τοίνυν, τὸν αὐτόχθονα. λέγοι δ' ἂν τὴν Ἀρεοπαγῖτιν βουλήν. τὸν γὰρ πάγον ὄχθον

τινὰ

Digitized by Google

*Ch*. Vides ubi res tuæ sunt, hospes; nam a quibus
Natus es videris justus, patrâsse verò mala deprehenderis.

*Cr*. Ego neque sine viris hanc urbem esse putans,
O nate Ægei, nec sine consultoribus, ut tu dicis,
Opus hoc effeci: sed *hoc* sciens quòd
Nullus unquàm cives tuos incesseret tantus
Amor meos erga cognatos, ut me invito alerent.
Novi quoque quod virum & parricidam
Et impium non reciperent, neque cui nuptiæ
Cum filiis compertæ sunt incestæ.
Talem eis in Areopago senatum prudentem ego
Noram esse indigenam, qui non sinit hujusmodi
Errones hâc in urbe simul *cum civibus* habitare.
Cui rei credens, hanc prædam in potestatem red-
Idque non fecissem, si non mihiq; acerbas [egi.
Diras ipsi imprecatus esset, & meo generi.
Læsus igitùr volui hæc contra facere.
Iræ enim nulla est alia senectus nisi
Mors: mortuos autem nullus dolor tangit.
Ob hæc facere, quod voles, poteris. nam
Solitudo me, tametsi justa dico,

τινὰ ποητίον. εἴρηται δὲ περὶ τῆς προσηγορίας αὐτοῦ πολλαχοῦ. 1009. Θυμοῦ γὰρ οὐδὲν γῆρας] ἤγ. οὐκ ἔστι θυμοῦ κρατῆσαι ἄνθρωπον ὄντα. οὐ καταγηράσκει καὶ ἀποσβέννυται τὸ ὠμὸν τοῦ θυμοῦ, εἰ μὴ ἐξέλθῃ τοῦ βίου ὁ ἄνθρωπος. ἀδύνατον γάρ ἐστι ζῶντα ἄνθρωπον μὴ θυμῷ χρήσασθαι. τοῦτο δὲ καὶ παροιμιακῶς λέγει, ὅτι ὁ θυμὸς ἔσχατον γηράσκει. λέγει δὲ διὰ τοὺς πρεσβυτέρους, ὅσῳ γὰρ γηράσκουσι, τὸν θυμὸν ἐῤῥωμενέστερον ἔχουσι. καὶ Ἀλκαῖος, ὡς λέγομεν, οὕτω κατὰ κοινοῦ αὐτοῦ μιμνήσκεται.

¶ Σχήμ. Τρικλ. 1009. Θυμοῦ] γνωμικόν.

1015.

Σμικρὸν τίθησι. πρὸς δὲ τὰς πράξεις ὅμως
Καὶ τηλικός δ' ὢν ἀντιδρᾶν πειράσομαι.
Οἰ. Ὦ λῆμ' ἀναιδὲς, τοῦ καθυβρίζειν δοκεῖς;
Πότερον ἐμοῦ γέροντος ἢ σαυτοῦ τόδε;
Ὅστις φόνους μοι καὶ γάμους καὶ ξυμφορὰς
Τοῦ σοῦ διῆκας στόματος, ἃς ἐγὼ τάλας
Ἤνεγκον ἄκων. θεοῖς γὰρ ἦν οὕτω φίλον,
Τάχ' ἄν τι μηνίουσιν εἰς γένος πάλαι.
Ἐπεὶ καθ' αὑτόν γ' οὐκ ἂν ἐξεύροις ἐμοὶ
Ἁμαρτίας ὄνειδος οὐδὲν, ἀνθ' ὅτου
Τάδ' εἰς ἐμαυτὸν τοὺς ἐμούς θ' ἡμάρτανον.
Ἐπεὶ δίδαξον, εἴτι θέσφατον πατρὶ
Χρησμοῖσιν ἱκνεῖθ', ὥστε πρὸς παίδων θανεῖν,
Πῶς ἂν δικαίως τοῦτ' ὀνειδίζοις ἐμοί;
Ὃς οὔτε βλάστας πω γενεθλίους πατρὸς,
Οὐ μητρὸς εἶχον, ἀλλ' ἀγέννητος τότ' ἦν.
Εἰ δ' αὖ φανεὶς δύστηνος ὡς ἐγὼ 'φάνην,
Εἰς χεῖρας ἦλθον πατρὶ, καὶ κατέκτανον,
Μηδὲν ξυνιεὶς ὧν ἔδρων εἰς οὕς τ' ἔδρων,
Πῶς γ' ἂν τόγ' ἄκον πρᾶγμ' ἂν εἰκότως ψέγοις;
Μητρὸς δὲ, τλῆμον, οὐκ ἐπαισχύνῃ γάμους
Οὔσης ὁμαίμου σῆς μ' ἀναγκάζων λέγειν;
Οἵους ἐρῶ τάχ'. οὐ γὰρ οὖν σιγήσομαι,

1015. Ὦ λῆμ' ἀναιδὲς] εἰκότως τὴν ἀνθυποφορὰν πρὸς τὸν Κρέοντα οὐκ ἀπὸ τοῦ Θησέως πεποίηκεν, ἀλλ' ἀπὸ τοῦ Οἰδίποδος. ἡ δὲ αἰτία πρόδηλος. καὶ ἅμα παραφυλακτέον, εἰ καὶ ἄλλως πιθανῶς ποιεῖται τὰς ἐπιχειρήσεις. τῷ γὰρ ὄντι ὁ Οἰδίπους, (εἴτις ἀκριβῶς ἐξετάζοι) ἄδικος μὲν οὐκ ἔστιν, ἀτυχὴς δὲ καὶ περιπαθής. 1016. Πότερον ἐμοῦ ἢ σαυτοῦ τόδε]

ἐπεὶ

Parvum reddit. nihilominùs factis hisce,
Etsi hâc ætate sum, facta opponere tentabo.
*Oe.* O animum impudentem, cui te conviciari credis?
Mihi ne seni an tibi ipsi?
Qui cædes mihi, & nuptias & calamitates
Ore percurris improbo, quas ego miser
Invitus tuli; diis enim ità visum est, fortè
Iratis generi nostro ob vetus quiddam *delictum.*
Nam, quod ad me, non invenies, scio,
Aliquod probrosum facinus, propter quod
Hæc in me meosque commiserim.
Nam dic mihi, si quod oraculum patri
Datum est, fore ut a filiis perimeretur,
Quo jure facinus illud exprobres mihi?
Qui necdum adhuc ex semine patris,
Aut ex matre conceptus natusve eram.
Si vero natus infelix, ut ego natus sum,
Cum patre conserui manus, & interfeci, nihil
Sciens quæ patrarem, contraque quos,
Quo jure rem non sponte factam potes reprehen-[dere?
Matris verò, infelix, non te pudet de nuptiis,
Cùm tua fuerit soror, cogere me loqui?
De quibus mox dicam: neque enim tacebo,

ἐπεὶ τὴν ἀδελφήν σου λοιδορεῖς. 1020. Μηνίουσι] ὀργιζομένοις. 1032. Ἄκον πρᾶγμ' ἂν] τὸ ἀκούσιον. 1033. Μητρὸς δὲ, τλῆμον] τὸ ἑξῆς, μητρὸς δὲ γάμους, τλῆμον, οὔσης ὁμαίμου σῆς, ἀναγκάζων με λέγειν οὐκ ἐπαισχύνῃ;

1056.

Σοῦ γ' εἰς τόδ' ἐξελθόντος ἀνόσιον στόμα.
Ἔτικτε γάρ μ', ἔτικτεν, ὤ μοι μοι κακῶν,
Οὐκ εἰδότ' οὐκ εἰδυῖα. καὶ τεκοῦσά με,
Αὐτῆς ὄνειδος παῖδας ἐξέφυσέ μοι.
Ἀλλ' ἓν γὰρ οὖν ἔξοιδα, σὲ μὲν ἑκόντ' ἐμὲ
Κείνην τε ταῦτα δυστομεῖν· ἐγὼ δέ νιν
Ἄκων ἔγημα, φθέγγομαί τ' ἄκων τάδε.
Ἀλλ' οὐ γὰρ οὔτ' ἐν τοῖσδ' ἀκούσομαι κακὸς
Γάμοισιν, οὔθ' οὓς αἰὲν ἐμφέρεις σύ μοι
Φόνους πατρῴους ἐξονειδίζων πικρῶς.
Ἓν γάρ μ' ἄμειψαι μοῦνον ὧν σ' ἀνιστορῶ·
Εἴ τις σε τὸν δίκαιον αὐτίκ' ἐνθάδε
Κτείνοι παραστάς, πότερα πυνθάνοι' ἂν εἰ
Πατήρ σ' ὁ καίνων, ἢ τίνοι' ἂν εὐθέως;
Δοκῶ μέν, εἴπερ ζῆν φιλεῖς, τὸν αἴτιον
Τίνοι' ἄν, οὐδὲ τοὔνδικον περιβλέποις.
Τοιαῦτα μέντοι καὐτὸς εἰσέβην κακά,
Θεῶν ἀγόντων· οἷς ἐγὼ οὐδὲ τὴν πατρὸς
Ψυχὴν ἂν οἶμαι ζῶσαν ἀντειπεῖν ἐμοί.
Σὺ δ', εἰ γὰρ οὐ δίκαιος, ἀλλ' ἅπαν καλὸν,
Λέγειν νομίζων, ῥητὸν ἄρρητόν τ' ἔπος,
Τοιαῦτ' ὀνειδίζεις με τῶνδ' ἐναντίον.
Καί σοι τὸ Θησέως ὄνομα θωπεῦσαι καλὸν,
Καὶ τὰς Ἀθήνας, ὡς κατῴκηνται καλῶς·
Κᾆθ' ὧδ' ἐπαινῶν, πολλὰ τοῦδ' ἐκλανθάνῃ,
Ὅθ' οὕνεκ' εἴτις γῆ θεοὺς ἐπίσταται

1056. Λέγειν νομίζων ῥητὸν ἄρρητόν τ' ἔπος] τουτέστιν, ἀθυρόστομος ὤν. 1061. Ὅθ' οὕνεκ' εἴτις γῆ] ὅτι οὕνεκα, ἐκ παραλλήλου τὸ αὐτὸ, ὡς τὸ, εἴθ' ὤφελεν. ἀντὶ τοῦ, ἀγνοεῖς τοῦτο Κρέων, ὅτι εἴτις χώρα θεοὺς

ἐπι-

Quando tu ore impio eò progreſſus es.
Peperit enim me, peperit, (heu quantum eſt mali!)
Ignarum ignara, & deinde nato mihi,
Ipſius probrum, filios peperit.
Sed hoc unum novi, te quidem volentem in me
Illamque hæc probra jacere ; ego autem eam
Invitus duxi, invituſque hæc loquor.
Sed ne quidem ob has nuptias audiam
Malus, neque ob eam, quam mihi objectas uſq.
Cædem paternam, convicians acerbè.
Unum enim mihi reſponde ſolùm, quod te
Interrogo, ſiquis te juſtum ſubitò hîc perimere
Vellet ſuperveniens, quæreresne an pater ſit,
Qui te occideret, an ſtatim vindicares ?
Arbitror ſanè, ſi vitam amares, improbum
Ulſciſcereris illico, neq. quid juſtum conſiderares.
In talia quidem & ipſe incidi mala,
Diis ducentibus, de quibus ne animam quidem
Patris redivivam puto contra dicturam eſſe.
Tu vero non juſtus es, ſed omnia honeſtè
Dicere te reputans fanda infandaque
Talia exprobras mihi coràm his.
Et tibi Theſei nomini blandiri bellum videtur,
Et Athenis, quòd ſint legibus inſtitutæ bonis.
Deinde ſic laudans omnino id obliviſceris,
Quòd, ſiqua terra Deos novit

ἐπίσταται γιγνώσκειν, ἠτίαται περὶ τὸ φιλόθεον τῆς Ἀττικῆς·
¶ Σχημ. Τριχλ. Θησέως] συνίζησις.

Τιμαῖς σεβίζειν, ἥδε τοῦδ' ὑπερφέρει.
Ἀφ' ἧς σὺ κλέψας τὸν ἱκέτην γέροντ' ἐμὲ
Αὐτόν τε χειροῦ, τὰς κόρας τ' οἴχῃ λαβών.
Ἀνθ' ὧν ἐγὼ νῦν τάσδε τὰς θεὰς ἐμοὶ
Καλῶν ἱκνοῦμαι, καὶ καταισκήπτω λιταῖς
Ἐλθεῖν ἀρωγοὺς ξυμμάχους ἵν' ἐκμάθῃς
Οἵων ὑπ' ἀνδρῶν ἥδε φρουρεῖται πόλις.
Χο. Ὁ ξεῖνος, ὦναξ, χρηστός· αἱ δὲ ξυμφοραὶ
Αὐτοῦ πανώλεις, ἄξιαι δ' ἀμυνάθειν.
Θη. Ἅλις λόγων· ὡς οἱ μὲν ἐξηρπασμένοι
Σπεύδουσιν, ἡμεῖς δ' οἱ παθόντες, ἕσταμεν.
Κρ. Τί δῆτ' ἀμαυρῷ φωτὶ προστάσσεις ποιεῖν;
Θη. Ὁδοῦ κατάρχειν τῆς ἐκεῖ, πομπὸν δέ με
Χωρεῖν· ἵν' εἰ μὲν ἐν τόποισι τοῖσδ' ἔχεις
Τὰς παῖδας ἡμῶν, αὐτὸς ἐκδείξῃς ἐμοί·
Εἰ δ' ἐγκρατεῖς φεύγουσιν, οὐδὲν δεῖ πονεῖν.
Ἄλλοι γὰρ οἱ σπεύδοντες, οὓς οὐ μήποτε
Χώρας φυγόντες τῆσδ' ἐπεύχωνται θεοῖς.
Ἀλλ' ἐξυφηγοῦ· γνῶθι δ' ὡς ἔχων ἔχῃ,
Καί σ' εἷλε θηρῶνθ' ἡ τύχη· τὰ γὰρ δόλῳ
Τῷ μὴ δικαίῳ κτήματ' οὐχὶ σώζεται.
Κοὐκ ἄλλον ἕξεις εἰς τόδ'· ὡς ἔξοιδά σε
Οὐ ψιλὸν, οὐδ' ἄσκευον ἐς τοσήνδ' ὕβριν
Ἥκοντα τόλμης τῆς παρεστώσης τανῦν·
Ἀλλ' ἔσθ' ὅτῳ σὺ πιστὸς ὢν ἔδρας τάδε·

1071. Οἱ μὲν ἐξηρπασμένοι] οἱ θεράποντες Κρέοντος. 1078. Ἄλλοι γὰρ οἱ σπεύδοντες] ἄλλοι γὰρ Ἀθηναῖοι ἐπιδιώκουσιν αὐτούς. 1079.

Honoribus colere, hæc hujus *Thesei* superat ta-
Ex quâ tu supplicem senemq. me ipsum [mèn.
Furatus in potestatem redigis, puellasq. eripuisti.
Propterea ego nunc hasce deas mihi
Invocans rogo, & precibus deprecor,
Ut adsint mihi auxilio, ut discas
Qualibus a viris hæc custoditur civitas.
*Ch.* Hospes hic bonus est, O rex; calamitates autèm
Illius *sunt* ingentes, dignæque vindice.
*Th.* Sat verborum: nam hi quidem raptores
Properant, nos verò injuriâ affecti hîc stamus.
*Cr.* Quid ergò imbecilli homini, ut faciat, imperas?
*Th.* Ut illam gradiare viam, ego verò comes
Sequar: ut sicubi in his locis detines
Nostras puellas, ipse commonstres mihi.
Si verò captivæ fugiunt, non est quod laboremus.
Alii enim sunt qui festinant, quos nunquam
Terrâ effugientes ex hâc deos precentur *patrios*.
Sed præi, atque nosce quod tenens teneare *ipse*,
Cepitque te venantem fortuna; dolo enim
Malo parta non *diu* salva sunt.
Neq. alium me experturus es in hac re, nam
Novi te non nudum, nec imparatum ad tantam
Injuriam *inferendam* eò processisse audaciæ quò
Nunc processisti, sed *aliquis* est cui tu fidens hæc
patrasti.

1079. Ἐπεύχωνται θεοῖς] οἷς οἱ θεράποντες. 1086. Ἀλλ' ἴσθ' ὅτῳ σὺ πιστὸς] ἀντὶ τῦ πιστεύων. καταστρέφει δὲ ἐπὶ τὸ πιπληθύς.



Digitized by Google

῞Α δεῖ μ' ἀθρῆσαι, μηδὲ τήνδε τὴν πόλιν
῾Ενὸς ποιῆσαι φωτὸς ἀσθενεστέραν.
Νοεῖς τι τούτων, ἢ μάτην τανῦν τέ σοι
Δοκεῖ λελέχθαι, χὤτε ταῦτ' ἐμηχανῶ;
Κρ. Οὐδὲν σὺ μεμπτὸν ἐνθάδ' ὢν ἐρεῖς ἐμοί.
Οἴκοι δὲ χἠμεῖς εἰσόμεσθ' ἃ χρὴ ποιεῖν.
Θη. Χωρῶν ἀπείλει νῦν· σὺ δ' ἡμῖν, Οἰδίπους,
῞Εκηλος αὐτοῦ μίμνε, πιστωθεὶς ὅτι
῍Ην μὴ θάνω 'γὼ πρόσθεν, οὐχὶ παύσομαι
Πρὶν ἄν σε τῶν σῶν κύριον στήσω τέκνων.
Οἰ. ῎Οναιο, Θησεῦ, τοῦ τε γενναίου χάριν
Καὶ τῆς πρὸς ἡμᾶς ἐνδίκου προμηθείας.

Χο. Εἴην ὅθι δαΐων
᾿Ανδρῶν τάχ' ἐπιστροφαὶ
Τὸν χαλκοβόαν ῎Αρη
Μίξουσιν, ἢ πρὸς Πυθίαις
῍Η λαμπάσιν ἀκταῖς·
Οὗ πότνιαι σεμναὶ τιθη-

1099. Εἴην ὅθι δαΐων] ὁ μὲν Κρέων καὶ ὁ Θησεὺς ἀπῆλθον· ὁ δὲ χορὸς ὑπονοεῖ τὸν Κρέοντα οὐ μόνον ἥκειν, ἀλλὰ μετά τινος χειρὸς, ἣν πλησίον που ἐστρατοπεδευκέναι. κατὰ τοῦτο οὖν καὶ οἱ τοῦ χοροῦ πρεσβεβηκότες τὴν ἡλικίαν εὐχὴν ποιοῦνται ταύτην, εἴθε εἴην ὅπου αἱ συμβολαὶ καὶ αἱ μάχαι μέλλουσιν ἔσεσθαι. ὑπονοοῦσι γὰρ τὰ ὅμοια τῷ Θησεῖ περὶ τοῦ Κρέοντος. διὸ καὶ φασὶν, εἴθε ἐπόπτης ἐγενόμην αὐτῶν. 1100. ᾿Επιστροφαὶ] ἀναστροφαί. 1101. Τὸν χαλκοβόαν] στερρόβοαν. μεγαλόφωνον. 1102. ῍Η πρὸς Πυθίαις] ἀπὸ κοινοῦ τὸ ἀκταῖς ληπτέον. λέγοι δ' ἂν Πυθίας ἀκτὰς τὸν τοῦ Πυθίου ᾿Απόλλωνος βωμὸν τὸν ἐν τῷ Μαραθῶνι, ὅθεν καὶ τὴν θεωρίαν ἔπεμπον. ἱστορεῖ περὶ τούτων Φιλόχορος ἐν τῇ Τετραπόλει, γράφων οὕτως, ῞Οταν δὲ σημεῖα γένηται παραδεδομένα ἐν τοῖς ἱεροῖς, τότε ἀποστέλλουσι τὴν θεωρίαν οἱ ἐκ τοῦ γένους, Πύθιαι δὲ καὶ Δηλιάδες ὁπότερα ἂν καθήκῃ αὐτοῖς. θύει δὲ ὁ μάντις, ὅταν μὲν τὰ

εἰς

Quod me expendere oportet, nec committere
Ut hæc civitas uni ſuccumbat impar viro.
Nunquid hæc intelligis? an fruſtrà & nunc tibi
Videntur hæc dicta, & *ante*, hæc quando machi-
*Cr.* Nihil hîc culpo *eorum* quæ dicis mihi; [natus es?
Domi verò & nos ſciemus quid facto opus ſit.
*Th.* Abi nunc, poſt minare. Tu verò nobis, Oedipe,
Quietus hîc mane perſuaſus,
Niſi ipſe prius moriar, me non deſiturum,
Priuſquam tuarum te compotem filiarum fecero.
*Oe.* Bene ſit tibi, Theſeu, & ob animum generoſum,
Et hanc erga nos juſtam providentiam.

ANTISTROPHICA. STROPHE I.

*Ch.* Utinam *illo* adeſſem *loco*, ubi bellantium
Virorum mox agmina
Ferriſtrepum Martem
Miſcebunt, vel ad Pythia
Vel lampadibus fulgentia *Cereris* littora;
Ubi antiſtites venerandæ

εἰς Δελφὺς πόμπιμα γένηται, κ̀ͅ θεωρία πέμπηται, ἐν Οἰνόῃ, καθ' ἑκάστην ἡμέραν ἐν τῷ Πυθίῳ· εἰ δὲ εἰς Δῆλον ἀποστέλλοιτο ἡ θεωρία, κατὰ τὰ προειρημένα θύει ὁ μάντις εἰς τὸ ἐν Μαραθῶνι Δήλιον. κ̀ͅ ἔστιν ἱεροσκοπία τῆς μὲν εἰς Δελφὺς θεωρίας, ἐν τῷ κατὰ τὴν Οἰνόην Πυθίῳ. τῆς δὲ εἰς Δῆλον, ἐν τῷ κατὰ τὴν Μαραθῶνα Δηλίῳ. Ἄλλως. Ἡ πρὸς Πυθίαις· ὡς ἐπὶ Μαραθῶνα, ὗ τὸ Πύθιόν ἐστιν. 1103. Ἡ λαμπάσιν ἀκταῖς] τὰ ἐν Ἐλευσῖνι τέλη φησί. κ̀ͅ εἴη λαμπάσιν ἀκταῖς λέγων, ταῖς λαμπαδευομέναις κ̀ͅ δᾳδυχυμέναις κ̀ͅ καταλαμπομέναις ὑπὸ τῆς μυστικῆς φλογὸς, κ̀ͅ τῶν ἱερῶν δᾳδῶν. περὶ ὧν Αἰσχύλος φησὶ, Λαμπραῖσιν ἀστραπαῖσι λαμπάδων σθένει. Ἄλλως. Ἀκταῖς περὶ Ἐλευσῖνα, ἀπὸ τῶν αὐτόθι ἐν τοῖς μυστηρίοις λαμπάδων. 1104. Οὗ πότνιαι] αἱ θεσμοφόροι. Ib. Τιθηνῦνται] ἐπιμελῦνται, κ̀ͅ ἀξιῦνται θεραπείας.

1105.

Digitized by Google

νῦν τέλη
Θνατοῖσιν, ὧν καὶ χρυσέα
Κλῂς ἐπὶ γλώσσᾳ βέβακεν
προσπόλων Εὐμολπιδᾶν·
Ἔνθ' οἶμαι τὸν ἐγρεμάχαν
Θησέα καὶ τὰς διστόλους
Ἀδμήτας ἀδελφὰς
Αὐτάρκει τάχ' ἐμμίξειν βοᾷ
Τούσδ' ἀνὰ χώρους.

Ἦ που τὸν ἐφέσπερον
Πέτρας νιφάδος πελῶ-
σ' Οἰάτιδος ἐκ νομοῦ,
Πώλοισιν ἢ ῥιμφαρμάτοις
Φεύγοντες ἁμίλλαις;
Ἁλώσεται. δεινός γ' ὁ προσ-

1105. Τέλη] τὰς τελετάς· καὶ Αἰσχύλος, Ἔφριξ', ἔρως δὲ τοῦδε μυστικοῦ τέλους. 1106. Ὧν καὶ χρυσέα κλῂς] ἐπεὶ ἄῤῥητα τὰ μυστήρια, καὶ καθάπερ κλεισὶν ἡ γλῶσσα κατείληπται ὑπὲρ τοῦ μὴ ἐξενεγκεῖν. 1108. Προσπόλων Εὐμολπιδᾶν] τῶν τετελεσμένων. ζητεῖται δὲ τί δήποτε οἱ Εὐμολπίδαι τῶν τελετῶν ἐξάρχουσι ξένοι ὄντες· εἴποι δ' ἄν τις ὅτι αἰτιῶνται ἔνιοι πρῶτον Εὔμολπον ποιῆσαι τὸν Δηϊόπης τῆς Τριπτολέμου τὰ ἐν Ἐλευσῖνι μυστήρια, καὶ οὐ τὸν Θρᾷκα. καὶ τοῦτο ἱστορεῖν Ἴστρον ἐν τῷ περὶ τῶν ἀτάκτων. Ἀκεσόδωρος δὲ πέμπτον ἀπὸ τοῦ πρώτου Εὐμόλπου εἶναι τὸν τὰς τελετὰς καταδείξαντα, γράφων οὕτως, Κατοικῆσαι δὲ τὴν Ἐλευσῖνα ἱστοροῦσι πρῶτον μὲν τοὺς αὐτόχθονας, εἶτα Θρᾷκας τοὺς μετὰ Εὐμόλπου παραγενομένους πρὸς βοήθειαν εἰς τὸν κατὰ Ἐρεχθέως πόλεμον· τινὲς δέ φασι καὶ τὸν Εὔμολπον εὑρεῖν τὴν μύησιν τὴν συντελουμένην κατ' ἐνιαυτὸν ἐν Ἐλευσῖνι Δήμητρι καὶ Κόρῃ. Ἀνδροτίων μὲν οὖν γράφει οὐ τὸν Εὔμολπον εὑρεῖν τὴν μύησιν, ἀλλ' ἀπὸ τούτου Εὔμολπον πέμπτον γεγονότα. Εὐμόλπου γὰρ γενέσθαι Κήρυκα, τοῦ δὲ Εὔμολπον· τοῦ δὲ, Ἀντίφημον· τοῦ δὲ, Μουσαῖον τὸν ποιητήν· τοῦ δὲ, Εὔμολπον τὸν καταδείξαντα τὴν μύησιν, καὶ ἱεροφάντην γεγονότα. 1109. Τὸν ἐγρεμάχαν] γράφεται Ὀρειβάταν· οἱονεὶ, τὸν διὰ τῶν ὀρέων βαίνοντα

Fovent Deæ myſteria
Mortalibus, quarum quoque aurea
Clavis linguas coercet
Miniſtrorum Eumolpidarum.
Ibi puto bellicoſum
Theſea & geminas
Innuptas ſorores
Validis ſtatim concurſuros clamoribus
His in regionibus.

## ANTISTROPHE I.

An ad occiduum
Petræ nivoſæ locum occurrent,
Ex nomo tribûs Oeatidis,
Equeſtribus aut curulibus
Fugientes præliis ?
Capietur. Acer *eſt*

ται τῶν προειρημένων χωρίων. 1114. Ἤ που τὸν ἑσπέριον] τὸν Αἰγαλεών φησι. καὶ γὰρ τοῦτο ἐπ' ἐσχάτων ἐστὶ τοῦ δήμου τούτου. καταλέγουσι δὲ χωρία παρ' ἃ μάλιστα εἰκάζουσι τὴν συμβολὴν γενέσθαι τοῖς περὶ τὸν Κρέοντα καὶ Θησέα. πέτρας δὲ νιφάδος εἴη ἂν λέγων τὴν οὕτω λεγομένην λείαν πέτραν, ἢ τὸν Αἰγάλεων λόφον· ἃ δὴ ἐπιχώρια φασὶν εἶ(ναι), καθάπερ Ἴστρος ἐν τῇ πρώτῃ τῶν Ἀτάκτων ἱστορεῖ, οὕτως, ἀπὸ δὲ τῆς χαράδρας ἐπὶ μὲν λείαν πέτραν. καὶ μετ' ὀλίγα, ἀπὸ τούτου δὲ ἕως Κολωνοῦ παρὰ τὸν χαλκὸν προσαγορευόμενον. ὅθεν πρὸς τὸν Κηφισὸν ἕως τῆς μυστικῆς εἰσόδου εἰς Ἐλευσῖνα. ἀπὸ ταύτης δὲ βαδιζόντων εἰς Ἐλευσῖνα τὰ ἐπ' ἀριστερὰ μέχρι τοῦ λόφου τοῦ πρὸς ἀνατολὰς τοῦ Αἰγάλεω. ἤτοι οὖν τὴν καλουμένην λείαν πέτραν ἢ τὸν Αἰγάλεων λέγει. ὁ δὲ νοῦς, ἆρα ἐπὶ τὸν ἕσπερον χῶρον τῆς λείας πέτρας προσπελάσουσι; 1115. Πελῶσι] γράφεται πελάζουσι. 1116. Οἰάτιδος ἐκ νομοῦ] Οἶα δῆμος τῆς Ἀττικῆς· ὅθεν καὶ τὸ οἶηθεν. ἐκ νομοῦ δὲ πάλιν, χωρίου Ἀττικοῦ οὕτω καλουμένου, ἐν ᾧ νέμουσιν, ὡς νεμήσεως παρακειμένης. 1118. Ὁ προσχώρων ἄρης] ὁ τῶν ἐπιχωρίων.

¶. Σχημ. Τρικλ. 1107. Κλῃῒς] συνίζησις



Digitized by Google

χώρων Ἄρης,
Δεινὰ δὲ Θησιδᾶν ἀκμά.
Πᾶς γὰρ ἀστράπτει χαλινὸς
Πᾶσα δ' ὁρμᾶται κατ' ἀμ-
πυκτήρια φάλαρα πώλων
Ἄμβασις, οἳ τὰν ἱππίαν
Τιμῶσιν Ἀθάναν,
Καὶ τὸν πόντιον Γαιάοχον
Ῥέας φίλον υἱόν.

Ἔρδουσιν, ἢ μέλλουσιν· ὡς
Προμνᾶταί τί μοι
Γνώμα, τάχ' ἂν δώσειν
Τὰν δεινὰ τλᾶσαν, δεινὰ δ' εὑ-
ροῦσαν πρὸς αὐθομαίμων πάθη.
Τελεῖ, τελεῖ Ζεύς τι κατ' ἦμαρ.
Μάντις εἴμ' ἐσθλῶν ἀγώνων.
Εἴθ' ἀελλαία ταχύρ-
ρωστος πελειὰς
Αἰθερίας νεφέλας
Κύρσαιμ', αὐτῶν δ' ἀγώνων
Θεωρήσασα τοὐμὸν ὄμμα

1121. Δεινὰ δὲ Θησιδᾶν] τῶν Ἀθηναίων· ἀπλήστεροι δὲ Θησειδᾶν φησὶ τῶν Ἀττικῶν τῶν ὑπὸ Θησέα τεταγμένων. 1123. Πᾶσα δ' ὁρμᾶται] τὸ ἑξῆς, πᾶσα δ' ὁρμᾶται ἄμβασις. 1131. Ταχ' ἂν δώσειν] τάχα ἐνδώσειν, φησὶν, ὁ Κρέων. 1132. Τὰν δεινὰ τλᾶσαν] τὴν πολλὰ δεινὰ



Digitized by Google

Incolarum Mars,
Acrisq. Theseidarum virtus.
Cuncta enim fræna fulgurant,
Omnesque properant ornatos
Phaleris equos
Conscendere, qui equestrem
Colunt Minervam,
Et maris deûm Neptunum,
Rheæ charum filium.

## Strophe II.

Remne gerunt? an morantur? quàm
Præsagit mihi
Animus *Creontem* mox redditurum
*Virginem* acerba passam, acerbaque
Quæ reperit propter consanguineos mala!
Conficit, conficit aliquid quotidiè Jupiter.
Vates sum felicium præliorum.
Utinam velox celeri impetu
Columba fiam
Per æthereas nubes,
Ut mediis in conflictibus
Spectem mea quod præsaga videt mens.

δεινὰ ἀνατλᾶσαν. τὴν παρθένον ἀπὸ τῆς ἑτέρας δηλῶν. ὡς καὶ κατὰ τὸ ἑτέρω τῷ ὁμοίῳ σχήματι χρῆται. δύναται δὲ καὶ ἑτέρα προσῳδία εἶναι, Τὰν δεινὰ τλᾶσαν, δεινὰ δ' εὑροῦσαν, τὰ σὰ δεινὰ δηλονότι.

Ὦ Ζεῦ γε παντάρχα θεῶν,
Παντόπτα, πόροις
Γᾶς τᾶσδε δαμούχοις
Ἐπινικίῳ σθένει τὸν εὔ-
αγρον τελειῶσαι δὴ λόχον·
Σεμνά τε παῖς Παλλὰς Ἀθάνα.
Καὶ τὸν ἀγρευτὰν Ἀπόλλω,
Καὶ κασιγνήταν πυκνο-
στίκτων ὀπαδὸν
Ὠκυπόδων ἐλάφων,
Στέργω διπλᾶς ἀρωγὰς
Μολεῖν γᾷ τᾷδε καὶ πολίταις.

Χο. Ὦ ξεῖν' ἀλῆτα, τῷ σκοπῷ μὲν οὐκ ἐρεῖς
Ὡς ψευδόμαντις. τὰς κόρας γὰρ εἰσορῶ
Τάσδ' ἆσσον αὖθις ὧδε προσπολουμένας.
Οἰ. Ποῦ, ποῦ; τί φής; πῶς εἶπας;
Αν. Ὦ πάτερ, πάτερ,
Τίς ἂν θεῶν σοι τόνδ' ἄριστον ἄνδρ' ἰδεῖν
Δοίη τὸν ἡμᾶς δεῦρο προσπέμψαντά σοι;
Οἰ. Ὦ τέκνον, ἦ πάρεστον;
Αν. Αἵδε γὰρ χέρες
Θησέως ἔσωσαν, φιλτάτων τ' ὀπαόνων.

1151. Στέργω διπλᾶς ἀρωγὰς] τουτέστι, τῇ διπλῇ ἀρωγῇ. τῇ πόλει λέγει καὶ τοῖς πολίταις. νῦν δὲ διὰ τοῦ στέργω σημαίνει μὲν δὴ προσίεμαι, τι-

ANTISTROPHE II.

O Jupiter, omnium princeps Deorum,
Omnia cernens, tribuas
Terræ hujus rectoribus
Ut triumphali robore
Captu facilem conficiant jam cohortem;
Tuque, veneranda Jovis *filia*, Pallas Minerva,
Nec non venatorem Apollinem,
Et fororem *Dianam*, crebris
Diftinctos maculis quæ fectatur
Celeres cervos,
Obfecro geminam opem
Ferant præfentes, & terræ huic & civibus.

IAMBI.

*Ch.* O hofpes erro, fpeculatorem me haud dices
Falfumve augurem: puellas enim video
Has prope huc rurfus accedere.
*Oe.* Ubi, ubi? quid ais? quomodo?
*An.* O pater, pater,
Quis Deorum tibi præftet, ut optimum videas
Virum qui nos huc remifit tibi?
*Oe.* O filia, anne adeftis?
*An. Adfumus:* hæ enim manus
Thefei *nos* fervârunt, optimorumque comitum.

τελευτᾷ δὲ εἰς ἴσον τῷ προσκαλοῦμαι.
¶ Σχημ. Τρικλ. 1162. Θησέως] συνίζησις.



Digitized by Google

Οἰ. Προσέλθετ', ὦ παῖ, πατρὶ, καὶ τὸ μηδαμᾶ
Ἐλπισθὲν ἥξειν σῶμα βαστάσαι δότε.
Αν. Αἰτεῖς ἃ τεύξῃ· σὺν πόθῳ γὰρ ἡ χάρις.
Οἰ. Ποῦ δῆτα, ποῦ 'στον;
Αν. Αἵδ' ὁμοῦ πελάζομεν.
Οἰ. Ὦ φίλτατ' ἔρνη.
Αν. Τῷ τεκόντι πᾶν φίλον.
Οἰ. Ὦ σκῆπτρα φωτός.
Αν. Δυσμόρου τε δύσμορα.
Οἰ. Ἔχω τὰ φίλτατ'· οὐδ' ἔτ' ἂν πανάθλιος
Θανὼν ἂν εἴην, σφῷν παρεστώσαιν ἐμοί.
Ἐρείσατ', ὦ παῖ, πλευρὸν ἀμφὶ δεξιὸν,
Ἐμφῦτε τῷ φύσαντι, κἀναπαύσατον
Τοῦ πρόσθ' ἐρήμου τοῦ τε δυστήνου πλάνου.
Καί μοι τὰ πραχθέντ' εἴπαθ' ὡς βράχιστ', ἐπεὶ
Ταῖς τηλικαῖσδε σμικρὸς ἐξαρκεῖ λόγος.
Αν. Ὅδ' ἔσθ' ὁ σώσας· τοῦδε χρὴ κλύειν, πάτερ.
Καὶ σοίγε τοὔργον τοὐμὸν ἔσται δὴ βραχύ.
Οἰ. Ὦ ξεῖνε, μὴ θαύμαζε πρὸς τὸ λιπαρὲς.
Τέκν' ἐμφανέντ' ἄελπτα, μηκύνω λόγον.
Ἐπίσταμαι γὰρ τήνδε τὴν ἐς τάσδε μοι
Τέρψιν παρ' ἄλλου μηδενὸς πεφασμένην.
Σὺ γάρ νιν ἐξέσωσας, οὐκ ἄλλος βροτῶν.
Καί σοι θεοὶ πόροιεν, ὡς ἐγὼ θέλω,

1181. Ὦ ξεῖνε μὴ θαύμαζε πρὸς τὸ λιπαρὲς] τὸ ἀρέσκον. ἰδίως ἐσχημάτισε τὸν λόγον, μὴ προσθαύμαζέ μου τὸ λιπαρὲς, τὸ λίαν προσκικαθικὸς τῆς ψυχῆς τοῖς τέκνοις. τὸ δὲ ἐχόμενον οὐ καταλλήλως εἶπεν. οὐ γάρ φησιν, ἀέλπτως φανέντων ἐμοὶ τῶν τέκνων μηκύνω τὸν λόγον,

ἀλλὰ

Digitized by Google

*Oe.* Accedite, O filiæ, ad patrem, & concedite ut
Tollam veſtra, quæ reditura non ſperaveram,
corpora.
*An.* *Ea* petis quæ conſequêris. Cupidè præſtabitur
*Oe.* Ubi igitùr, ubi eſtis? [hoc beneficium.
*An.* *Ecce* ſimul ambæ accedimus.
*Oe.* O chariſſima germina!
*An.* Patri omnia jucunda.
*Oe.* O fulcra viri.
*An.* Infeliciſque ſanè infelicia.
*Oe.* Teneo chariſſima. neque jam omninò miſer ero,
Moriar licet, vobis aſſiſtentibus mihi.
Fulcite, O filia, dextrum mihi latus,
Adhærete genitori, & componite ad quietem
Priùs deſertum hunc & miſerum exulem.
Et mihi quæ geſta ſunt narrate pauciſſimis, nam
Vobis tantulæ ætatis brevis ſat eſt oratio.
*An.* Hic eſt qui nos ſervavit. hunc oportet audire,
Pater, et ſic tibi mea oratio brevis jam erit.
*Oe.* O hoſpes, ne mirare meam prolixam orationem,
Si filiis præter ſpem oblatis longior eſt ſermo.
Scio enim hanc a te propter haſce mihi
Oblectationem & a nemine alio ortam eſſe.
Tu enim has ſervaſti, nec *quiſquam* alius morta-
Utinamque Diitibi retribuant, ut ego volo, [lium.

ἀλλὰ τέκνα φανέντα. εἶτα, μηκύνω τὸν λόγον. 1182. Η, εἰ φανέντ' ἄελπτα μηκύνω λόγον] ἀντὶ τοῦ, πρὸς τὸ κελεύσιμον εἰ μακρηγορήσω.
§ Σχημ. Τρικλ. 1173. Σφωϊν] συνίζησις.



Digitized by Google

Αὐτῷ τε καὶ γῇ τῇδ᾽· ἐπεὶ τό γ᾽ εὐσεβὲς
Μόνοις παρ᾽ ὑμῖν εὗρον ἀνθρώπων ἐγὼ,
Καὶ τοὐπιεικὲς, καὶ τὸ μὴ ψευδοστομεῖν.
Εἰδὼς δ᾽, ἀμυνῶ τοῖσδε τοῖς λόγοις τάδε.
Ἔχω γὰρ ἅ ᾽χω διὰ σὲ, κοὐκ ἄλλον βροτῶν.
Καί μοι χέρ᾽, ὦ ᾽ναξ, δεξιὰν ὄρεξον, ὡς
Ψαύσω, φιλήσω τ᾽, εἰ θέμις, τὸ σὸν κάρα.
Καίτοι τί φωνῶ; πῶς δ᾽ ἂν ἄθλιος γεγὼς,
Θιγεῖν θελήσαιμ᾽ ἀνδρὸς ᾧ τις οὐκ ἔνι
Κηλὶς κακῶν ξυνοικος; οὐκ ἔγωγέ σε.
Οὐδ᾽ οὖν ἐάσω. τοῖς γὰρ ἐμπείροις βροτῶν
Μόνοις οἷόν τε συνταλαιπωρεῖν τάδε.
Σὺ δ᾽ αὐτόθεν μοι χαῖρε· καὶ τὰ λοιπά μου
Μέλου δικαίως, ὥσπερ ἐς τόδ᾽ ἡμέρας.
Θη. Οὔτ᾽ εἴτι μῆκος τῶν λόγων ἔθου πλέον,
Τέκνοισι τερφθεὶς τοῖσδε, θαυμάσας ἔχω,
Οὐδ᾽ εἰ πρὸ τοὐμοῦ προὔλαβες τὰ τῶνδ᾽ ἔπη.
Βάρος γὰρ ἡμᾶς οὐδὲν ἐκ τούτων ἔχει.
Οὐ γὰρ λόγοισι τὸν βίον σπουδάζομεν
Λαμπρὸν ποιεῖσθαι μᾶλλον ἢ τοῖς δρωμένοις.
Δείκνυμι δ᾽· ὧν γὰρ ὤμοσ᾽ οὐκ ἐψευσάμην
Οὐδέν σε, πρέσβυ. τάσδε γὰρ πάρειμ᾽ ἄγων
Ζώσας, ἀκραιφνεῖς τῶν κατηπειλημένων.
Χὤπως ἀγὼν μὲν οὗτος ᾑρέθη, τί δεῖ
Κομπεῖν, ἅ γ᾽ εἴσῃ καὐτὸς ἐκ ταύταιν ξυνών;

1200. Μέλου] ἐπιμελοῦ. 1200. Θαυμάσας ἔχω] ἀντὶ τοῦ ἐθαύμασα

Ipsique, & huic terræ; quoniam pietatem
Solos apud vos ego inveni ex mortalibus,
Et æquitatem, & in verbis veritatem.
Expertus autem hisce testor sermonibus.
Habeo enim, quæ habeo, per te, per & nullum [alium.
Et mihi manum, O Rex, porrige dexteram, ut
Attingam, exosculerque, si fas, tuum caput.
Atqui quid dico? quomodo infelix ego natus
Tangere velim virum, cui nulla inest
Macula malorum contigua; At non ego te,
Non sane dimittam. Expertis enim mortalium
Solis datur ob hasce condolere miserias *meas.*
Tu vero isthinc mihi salve, & in posterum mei
Curam gerito justè, ut ad hunc usq. diem *gessisti.*
*Th.* Neque si longiori usus es sermone,
Filiis oblectatus hisce, admiror,
Neque si ante me earum verba cepisti.
Onus enim nobis nullum ex his accedit.
Non enim dictis vitam studemus
Claram reddere magis quàm factis.
Idque *re* ostendo: quæ enim juravi, verè præstiti
Omnia tibi, senex: hasce enim adduco
Salvas, liberatasque a minis *Creontis.*
Et quomodo certamen hoc gestum sit, quid refert
Gloriari, quæ dein & ipse disces cum hisce ver-
sans?

μασα, Ἀτ]ικῶς,

1213.

Λόγον δ' ὃς ἐμπέπτωκεν ἀρτίως ἐμοὶ
Στείχοντι δεῦρο, συμβαλοῦ γνώμην. ἐπεὶ
Σμικρὸς μὲν εἰπεῖν, ἄξιος δὲ θαυμάσαι,
Πρᾶγος δ' ἀτίζειν οὐδὲν ἀνθρώπων χρεών.
Οἰ. Τί δ' ἐστι, τέκνον Αἰγέως; δίδασκέ με,
Ὡς μὴ εἰδότ' αὐτὸν μηδὲν ὧν σὺ πυνθάνῃ.
Θη. Φασίν τιν' ἡμῖν ἄνδρα, σοὶ μὲν ἔμπολιν
Οὐκ ὄντα, συγγενῆ δὲ, προσπεσόντα πως
Βωμῷ καθῆσθαι τῷ Ποσειδῶνος, παρ' ᾧ
Θύων ἔκυρον ἡνίχ' ὡρμώμην ἐγώ.
Οἰ. Ποδαπόν; τί προσχρῄζοντα τῷ θακήματι;
Θη. Οὐκ οἶδα, πλὴν ἕν· σοῦ γὰρ, ὡς λέγουσί μοι,
Βραχύν τιν' αἰτεῖ μῦθον, οὐκ ὄγκου πλέον.
Οἰ. Ποῖόν τιν'; οὐ γὰρ ἥδ' ἕδρα σμικροῦ λόγου.
Θη. Σοὶ φασὶν αὐτὸν ἐς λόγους ἐλθεῖν μολόν-
τ' αἰτεῖν ἀπελθεῖν ἀσφαλῶς τῆς δεῦρ' ὁδοῦ.
Οἰ. Τίς δῆτ' ἂν εἴη τήνδ' ὁ προσθακῶν ἕδραν;
Θη. Ὅρα κατ' Ἄργος εἴ τις ὑμῖν ἐγγενὴς
Ἔσθ', ὅστις ἂν σοῦ τοῦτο προσχρῄζοι τυχεῖν.
Οἰ. Ὦ φίλτατ', ἐπίσχες οὗπερ εἶ.
Θη. Τί δ' ἐστί σοι;
Οἰ. Μή μου δεηθῇς.
Θη. Πράγματος ποίου; λέγε.

1215. Πρᾶγος δ' ἀτίζειν] ἄνθρωποι δὲ (φησὶν) ὄντα, οὐ δεῖ πράγματα κακίζειν ἀεί. 1218. Φασίν τιν' ἡμῖν ἄνδρα] καθ' ὑπόθεσιν ἱκετεύων ὁ Πολυνείκης πρὸς αὐτοὺς παραγενέσθαι καὶ τὸν Οἰδίπουν, κατά τι λόγιον ἐμπιστὸν, ὅτι πρὸς οὓς ἂν γένοιτο ὁ Οἰδίπους, κρατήσουσι τῆς βασιλείας· τοῦτο οὖν ἀγγέλλει ὁ Θησεύς. Ib. Σοὶ μὲν ἔμπολιν] ἐν τῇ αὐτῇ πόλει

ὄν-

Rei autem, quæ modo incidit in mihi aures
Huc advenienti, animum applica; nam
Parva quidem dictu, digna tamen admiratione.
Rem autem ullam parvi pendere nemo mortali-
*Oe.* Quid est, fili Ægei? doce me, [um debet.
Utpote qui sciam eorum nihil, quæ tu interrogas.
*Th.* Dicunt nobis quendam virum, non quidem
Popularem tuum, cognatum tamen, supplicem
Ad aram Neptuni sedere, ubi
Forte sacra faciebam, ego cum huc accerserer.
*Oe.* Unde est? quid sibi vult hac sessione?
*Th.* Haud scio, nisi unum: unum enim, ut dicunt
Mihi, breve expetit colloquium, nullo fastu.
*Oe.* Quodnam? neq. enim parvæ rei indicium est hæc
sessio.
*Th.* Tecum aiunt eum ad colloquium venire velle,
Profectumque huc tuto abire suam viam.
*Oe.* Quisnam esse possit, qui sacro sedet in loco?
*Th.* Vide, in Argis numquis vobis cognatus
Sit, qui hoc a te velit consequi.
*Oe.* O charissime, mane ubi es.
*Th.* Quid autem est tibi?
*Oe.* Ne me obsecres.
*Th.* Quânam super re, dic mihi.

οἰκοῦντα. 1221. Θύων ἔκυρον] ἀντὶ τοῦ ἐκύρουν. ταύτην δὲ τῷ ἐτύγχανον. 1231. Σοὶ φασὶν αὐτὸν] τὸ ἑξῆς σοὶ φασὶν αὐτὸν μολόντα αἰτεῖν εἰς λόγους ἐλθεῖν.

¶ Σχημ. Τρικλ. 1217. Μὴ εἰδότα] συνίζησις.

Οἰ. Ἔξοιδ᾽ ἀκούων τοῦδ᾽, ὅς ἐσθ᾽ ὁ προστάτης.
Θη. Καὶ τίς ποτ᾽ ἐστὶν ὅν γ᾽ ἐγὼ ψέξαιμί τοι;
Οἰ. Παῖς οὑμὸς, ὦ ᾽ναξ, στυγνὸς, οὗ λόγων ἐγὼ
Ἄλγιστ᾽ ἂν ἀνδρῶν ἐξαναχοίμην κλύων.
Θη. Τί δ᾽, οὐκ ἀκούειν ἐστὶ, καὶ μὴ δρᾶν ἃ μὴ
Χρῄζεις; τί σοι τοῦτ᾽ ἐστὶ λυπηρὸν κλύειν;
Οἰ. Ἔχθιστον, ὦ ᾽ναξ, φθέγμα τοῦθ᾽ ἥκει πατρί.
Καὶ μή μ᾽ ἀνάγκῃ προσβάλῃς τάδ᾽ εἰκάθειν.
Θη. Ἀλλ᾽ εἰ τὸ θάκημ᾽ ἐξαναγκάζει, σκόπει
Μή μοι πρόνοι᾽ ᾖ τοῦ θεοῦ φυλακτέα.
Αν. Πάτερ, πιθοῦ μοι, κεἰ νέα παραινέσω.
Τὸν ἄνδρ᾽ ἔασον τόνδε τῇθ᾽ αὑτοῦ φρενὶ
Χάριν παρασχεῖν, τῷ θεῷ θ᾽ ἃ βούλεται.
Καὶ νῷν ὕπεικε τὸν κασίγνητον μολεῖν.
Οὐ γάρ σε, θάρσει, πρὸς βίαν παρασπάσει
Γνώμης, ἃ μή σοι συμφέροντα λέξεται.
Λόγων δ᾽ ἀκοῦσαι τίς βλάβη; τά τοι καλῶς
Εὑρημέν᾽ ἔργα, τῷ λόγῳ μηνύεται.
Ἔφυσας αὐτόν· ὥστε μήτε δρῶντά σε
Τὰ τῶν κακίστων δυσσεβεστάτων, πάτερ,
Θέμις σέ γ᾽ εἶναι κεῖνον ἀντιδρᾶν κακῶς,
Ἀλλ᾽ αὐτόν. εἰσὶ χἀτέροις γοναὶ κακαὶ,
Καὶ θυμὸς ὀξύς· ἀλλὰ νουθετούμενοι

1135. Ὁ προστάτης] ὁ ἱκέτης ὁ προσεστηκὼς τῷ βωμῷ. 1237. Παῖς οὑμὸς, ὦ ᾽ναξ] πρὸς τὸν Θησέα φησί. 1241. Τοῦθ᾽ ἥκει πατρὶ] παραγώγως ἀντὶ τοῦ ἥκειν. 1245. Πάτερ, πιθοῦ μοι] οὐχ ὡς οὐκ ἂν πεισθησομένου τῷ Θησεῖ τοῦ Οἰδίπου, οὕτως ἐδέησεν αὐτῷ καὶ τῆς ἐκ τῆς θυγατρὸς παρακλήσεως· ἀλλ᾽ αὐξήσεως χάριν καὶ τοῦτο παρείληφε τὸ πρόσωπον ὁ Σοφοκλῆς. ἀμέλει γοῦν πρὸς τὸν Θησέα ἀποκρίνεται, ὡς ἐκείνῳ

Digitized by Google

*Oe.* Scio ſat, audiens ex hiſce, quis ille ſit, qui ad aram
ſedet.
*Th.* Quis tandem eſt, quem ego jure reprehendam?
*Oe.* Filius, O Rex, meus odioſus, cujus ego ſermones
Ex omnibus maximo cum dolore ſuſtinerem audire.
*Th.* Quid autem? non tibi audire licet, & non facere
Quæ nolis? Cur audire tibi ſic moleſtum eſt?
*Oe.* Inviſiſſima, O Rex, vox illa venit patri.
Et ne me cogas oro, ut hæc concedam.
*Th.* At ſi ſupplex cogit ſeſſio, conſidera
An non Dei reverentia obſervanda mihi ſit.
*An.* Pater, mihi pare, adoleſcens licet monuero,
Virum ſine hunc ſuo ipſius animo
Obſequi, deoque *pariter* quæ vult.
Et nobis concede, ut frater veniat.
Non enim te (confide) ea vi abſtraxerint
A ſententiâ, quæ tibi non commoda dixerit.
Verba autem audire quid *habet* incommodi?
Optimè ſanè inventa opera verbis indicantur.
Genuiſti illum; quare ſi fecerit tibi
Quæ peſſimi ſceleſtiſſimique *ſolent*, pater,
Non fas eſt te ei viciſſim malefacere;
Sed illum *admitte*. Sunt et aliis liberi mali,
Et ira acris: tamen moniti amicorum

ἐκείνῳ πεπεισμένος. 1249. Οὐ γάρ σε, θάρσει, πρὸς βίαν παρ.] τὸ ἑξῆς, θάρσει. οὐ γὰρ ἃ μή σοι συμφέροντα λέξεται, πρὸς βίαν σε παρασπάσει γνώμης. τὸ δὲ λέξεται, ἀντὶ τοῦ λέξει, ὁ Πολυνείκης δηλονότι. Ἄλλως. ὀφείλων εἰπεῖν, ἃ λέξει ὁ Πολυνείκης, λέξεται εἶπε πρὸς τὸ ἃν ἤγουν ἃ λεχθήσεται.

¶ Σχημ. Τριχλ. 1251. Τά τοι κ.] γνωμικόν.

Φίλων ἐπῳδαῖς, ἐξεπάδονται φύσιν.
Σὺ δ' εἰς ἐκεῖνα μὴ τανῦν ἀποσκόπει
Πατρῷα καὶ μητρῷα πήματ', ἃ 'παθες.
Κἂν κεῖνα λύσῃς, οἶδ' ἐγὼ, γνώσῃ κακοῦ
Θυμοῦ τελευτὴν, ὡς κακὴ προσγίνεται.
Ἔχεις γὰρ οὐ βίαια τἀνθυμήματα,
Τῶν σῶν ἀδέρκτων ὀμμάτων τητώμενος.
Ἀλλ' ἡμὶν εἶκε. λιπαρεῖν γὰρ οὐ καλὸν
Δίκαια προσχρῄζουσιν, οὐδ' αὐτὸν μὲν εὖ
Πάσχειν, παθόντα δ' οὐκ ἐπίστασθαι τίνειν.
Οἰ. Τέκνον, βαρεῖαν ἡδονὴν νικᾶτέ με
Λέγοντες· ἔστω δ' οὖν ὅπως ὑμῖν φίλον.
Μόνον, ξέν', εἴπερ κεῖνος ὧδ' ἐλεύσεται,
Μηδεὶς κρατείτω τῆς ἐμῆς ψυχῆς ποτε.
Θη. Ἅπαξ τὰ τοιαῦτ', οὐχὶ δὶς χρῄζω κλύειν,
Ὦ πρέσβυ. κομπεῖν δ' οὐχὶ βούλομαι. σὺ δὲ
Σῶν ἴσθ', ἐάν περ κἀμέ τις σώζῃ θεῶν.

Χο. Ὅστις τοῦ πλέονος μέρους
Χρῄζει τοῦ μετρίου παρεὶς
Ζώειν, σκαιοσύναν αἰεὶ φυλάσσων
Ἐν ἐμοὶ κατάδηλος ἔσται.
Ἐπεὶ πολλὰ μὲν αἱ μακραὶ

1258. Ἐξεπάδονται] καταπραΰνονται. 1260. Πατρῷα καὶ μητρῷα] τὰ περὶ τὴν πήρωσιν λέγει ἄν. οὐ γὰρ τὰ ἐξ ἀρχῆς πραχθέντα ὀνειδίζει αὐτῷ, ἀλλ' ὑπὸ τῆς ἄγαν ὀργῆς ἀπέβη. τούτου γὰρ αὐτὸν ἀποτρέπειν βούλεται. 1267. Τίνειν] ἀμείβεσθαι. 1274. Σῶν ἴσθ'] ἀντὶ τοῦ σῶον.

1275.

Digitized by Google

Lenociniis, *asperum* exuunt ingenium.
Tu verò ne præsentia spectes, sed illa paterna
Et materna quæ passus es incommoda; & si
Hæc explicueris, sat scio, cognosces impotentis
Animi exitus quàm sit malus.
Habes enim argumenta non per vim obtrusa,
Tuorum oculorum visu orbatus.
Sed nobis cede, non enim diu decet obsecrare
Justa qui petunt, neque ipsum te beneficium
Accipere, et acceptum nescire rependere.
*Oe.* Liberi, molestâ voluptate vincitis me
Loquentes: sit igitur, ut vobis placet.
Tantùm, hospes, siquidem ille huc venerit,
Ne quis meam vitam in suam redigat potestatem.
*Th.* Semel hæc, non bis audire volo,
O senex. gloriari autem nolo; tu vero salvum
Te scito, siquidèm et me quis deorum servaverit.

EPODICA. STROPHE. I.

Quicunque majorem *æquo* partem
Appetit, mediocritate omissâ
*In* vita, ingenii semper esse sinistri,
Me judice, censebitur.
Longi enim dies frequentèr

1275. Ὅστις τοῦ πλέονος μέρους] καταδηλός ἐστιν ὁ χορὸς ἐν ταύτῃ ἀναφωνῶν καὶ ἀλληγορῶν περὶ τῆς τῶν ἀνθρώπων ἀπληστίας· καὶ ἔοικε τῷ Ἡσιόδῳ, Νήπιοι οὐδ' ἴσασιν ὅσῳ πλέον ἥμισυ παντός. τείνει δὲ ταῦτα εἰς τὴν δυστυχίαν Οἰδίπου.

1282.

Ἀμέραι κατέθεντο δὴ
Λύπας ἐγγυτέρω· τὰ τέρπον-
τα δ' οὐκ ἂν ἴδοις, ὁπότ' ἄν τις
Ἐς πλέον πέσῃ
Τοῦ θέλοντος. οὐδ' ἔπι κόρος
Ἰσοτέλεστος ἀΐδος,
Ὅτε μοῖρ' ἀνυμέναιος,
Ἄλυρος, ἄχορος ἀναπέφηνε
Θάνατος ἐς τελευτάν.

Μὴ φῦναι τὸν ἅπαντα νι-
κᾷ λόγον· τὸ δ' ἐπεὶ φανῇ,
Βῆναι κεῖθεν ὅθεν περ ἥκει,
Πολὺ δεύτερον, ὡς τάχιστα.
Ὡς εὖτ' ἂν τὸ νέον παρῇ
Κούφας ἀφροσύνας φέρον,
Τίς πλάγχθη πολύμοχθος ἔξω;
Τίς οὐ καμάτων ἔνι;

1282. Ὁπότ' ἄν τις] ὅτε ἄν τις ἐς πλέω πέσῃ τοῦ θέλοντος, τοῦ μετρίου, τοῦ ἱκανοῦ, τοῦ προσήκοντος, ἀφανῆ τὰ τέρποντα γίγνεται, καὶ πᾶσιν ἄδηλα. Ἄλλως. 1283. Ἐς πλέον πέσῃ] οὐ παύονται τοῦ κόρου πρὶν εἰς θάνατον ἔλθωσιν. 1284. Οὐδ' ἔπι κόρος] γράφεται κόρος. ταῦτα δὲ καθ' ἑαυτὸν φησὶν ὁ χορὸς, ὅτι ὁ πλεονεκτεῖν ἐθέλων παρὰ τὸ καίριον καὶ τὸ μέτριον, ἄχορός ἐστιν ἀπὸ τοῦ. 1285. Ἰσοτέλεστος] ὁμοίως γὰρ ἀποθνήσκουσιν οἱ τοιοῦτοι. τὸ ἑξῆς δὲ, ἰσοτέλεστος θάνατος. τὰ δὲ ἄλλα, διὰ μέσου. καὶ βῆναι κεῖθεν ὅθεν περ ἥκει, πολὺ δεύτερον, ὡς τάχιστα. τὸ δ' ὅλον, οὐδὲ ἔπεστιν αὐτοῖς. κόρος ἰσοτέλεστος τοῦ ᾅδου. τότε γὰρ ὁ τοιοῦτος κόρος λαμβάνει τέλος ὅτε ἂν ὁ ᾅδης ἐπέλθῃ. 1287. Ἄλυρος, ἄχορος] ἐπεὶ ἐν θανάτῳ οὐχ ὑμνοῦσιν, ἢ μετὰ θάνατον οἱ τοιοῦτοι οὐχ ὑμνοῦνται. 1289. Μὴ φῦναι, τὸν ἅπαντα] πάιν ἄριστον ἀνθρώποις τὸ μὴ φῦναι· παρὰ τὸ λεγόμενον, Ἀρχὴν μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον.

Digitized by Google

Admovere dolores propius.
Læta verò non *facile* videas, ubi quis
In immodicam labetur
Cupiditatem; neque adest satietas,
Quæ simul expletur cum morte,
Quando innupta Parca
Sine cantu, sine choro apparuit,
Et vitæ exitus.

### Antistrophe.

Non nasci omnia vincit
Argumenta; id verò, ubi quis in lucem
Prodierit, eódem redire unde venit
Quàm celerrimè, est proximum.
Nam simul ac juventus adest
Stultas levitates afferens,
Quis effugit multiplices labores?
Quæ non miseria adest?

ἄριστον. 1290. Τὸ δ' ἐπεὶ φανῇ] τοῦτο δὲ τὸ ἑξῆς, ἐπεὶ δὲ φανῇ, τὸ βῆναι ἐκεῖθεν ὅθεν περ ἥκει, ὡς τάχιστα, παραπολὺ τῶν ἄλλων δεύτερόν ἐστιν ἐκείνου τοῦ μὴ φῦναι καθόλου. 1293. Ὡς εὖτ' ἂν τὸ νέον παρῇ] ὡς ἐπειδὰν ἡ νηπιότης παρῇ (ταύτας γάρ φησι κούφας ἀφροσύνας) οὐδὲν ἐπιλογίζεται τῶν δεόντων. ἰδίως δὲ αὐτὸ ἐξήνεγκεν, ὡς εἰ ἔλεγε, τῷ γὰρ νέῳ ἀφροσύνη πάρεστι. 1295. Τίς πλάγχθη πολύμοχθος ἔξω] τοῦτο ἰδίως ἐξήνεγκε. βούλεται δέ τι τὸ τοιοῦτον σημαίνειν, τίς ἂν πλαγχθείη τῶν πολλῶν μόχθων; ἤγουν, τίς ἔξω τοῦ πολύμοχθος ἢ ἐπλανήθη; 1296. Τίς οὐ καμάτων ἔνι] ταῦτα ἐρωτηματικῶς εἴρηται κατὰ τοιαύτην ὑπόκρισιν καθ' ἣν ἐμφαίνεται. πρότερον μὲν, ὅταν εἴπῃ, τίς πλάγχθη τῶν μόχθων τῶν πολλῶν, ὑπακουομένου τοῦ οὐδείς· πάλιν δὲ ὅταν ἑξῆς ἐπιζεύξῃ, τίς οὐ καμάτων ἔνι, τὸ πᾶς. βούλεται γὰρ καὶ νῦν κατὰ τὸ ὅμοιον λέγειν, οὐδείς ἐστι κάμματος ὃς οὐκ ἔνεστιν.

1312.

Φόνοι, στάσεις, ἔρις, μάχαι,
Καὶ φθόνος. τό,τε κατάμεμπτον
Ἐπιλέλογχε πύματον
Ἀκρατὲς, ἀπροσόμιλον
Γῆρας ἄφιλον, ἵνα πρόπαντα
Κακὰ κακῶν ξυνοικεῖ,

Ἐν ᾧ τλάμων ὅδ' οὐκ ἐγὼ μόνος.
Πάντοθεν βόρειος ὥς τις ἀκτὰ
Κυματοπλὴξ χειμερία κλονεῖται.
Ὣς καὶ τόνδε κατάκρας
Δειναὶ κυματοαγεῖς
Ἆται κλονέουσιν ἀεὶ ξυνοῦσαι·
Αἱ μὲν ἀπ' ἀελίου
Δυσμᾶν, αἱ δ' ἀνατέλ-
λοντος, αἱ δ' ἀνὰ μέσσαν,
Ἀκτῖν', αἱ δὲ νυχίαν ἀπὸ ῥιπᾶν.

Αν. Καὶ μὴν ὅδ' ἡμῖν, ὡς ἔοικεν, ὁ ξένος
Ἀνδρῶν γε μοῦνος, ὦ πάτερ, δι' ὄμματος
Ἀστακτὶ λείβων δάκρυον ὧδ' ὁδοιπορεῖ.
Οἰ. Τίς οὗτος;
Αν. Ὅνπερ καὶ πάλαι κατείχομεν

1312. Αἱ δὲ νυχίαν ἀπὸ ῥιπᾶν] τὰ ἀπὸ τῶν ὀρῶν φησὶ τῶν προσαγορευομένων ῥιπῶν· ἅ τινες καλοῦσι ῥιπαῖα ὄρη. λέγει δὲ αὐτὰ ἐννύχια διὰ τὸ πρὸς τῇ δύσει κεῖσθαι. μέμνηται δὲ καὶ Ἀλκμὰν, λέγων οὕτως,

Ῥιπὰς

Cædes, ſeditiones, lites, pugnæ, et invidia
*Vigent*; *multiſque nominibus* criminanda
Supervenit tandem
Impotens, moroſa
Senectus, amicis orba, ubi omnia
Mala malorum omnium cohabitant.

EPODOS.

In quâ infelix hic, non ego ſolus *verſor.*
Boreale velut littus undique
Fluctibus hiemeque percuſſum quatitur,
Sic & hunc funditus
Atroces calamitatum
Procellæ quatiunt aſſiduæ.
Hæ quidèm ab ſolis
Occaſu, illæ verò ab
Ortu, hæque a meridie,
Illæque ab umbroſis Riphæis montibus.

IAMBI.

*An.* Atqui hic nobis, ut videtur, hoſpes
Incomitatus, O pater, ex oculis
Exſtillans lacrymas huc tendit gradum.
*Oe.* Quis is eſt?
*An.* Quem et olim perſuaſum habuimus

Ῥιπὰς ὄρος ἔνθεον, ὕλας νυκτὸς μελαίνας στέρνον. καὶ ἐν Ἡλιάσιν Αἰσχύλος,
Ῥιπαὶ μὲν δὴ πατρός.

Γνώμῃ, πάρεστι δεῦρο Πολυνείκης ὅδε.
Πο. Οἴμοι τί δράσω; πότερα τἀμαυτοῦ κακὰ
Πρόσθεν δακρύσω, παῖδες, ἢ τὰ τοῦδ' ὁρῶν
Πατρὸς γέροντος, ὃν ξένης ἐπὶ χθονὸς
Ξὺν σφῷν ἐφεύρηκ' ἐνθάδ' ἐκβεβλημένον,
Ἐσθῆτι σὺν τοιᾷδε· τῆς ὁ δυσφιλὴς
Γέρων γέροντι συγκατῴκηκεν πόνος
Πλευρὰν μαραίνων, κρατὶ δ' ὀμματοστερεῖ
Κόμη δι' αὔρας ἀκτένιστος ᾄσσεται.
Ἀδελφὰ δ', ὡς ἔοικε, τούτοισιν φορεῖ
Τὰ τῆς ταλαίνης νηδύος θρεπτήρια·
Ἃ 'γὼ πανώλης ὄψ' ἄγαν ἐκμανθάνω·
Καὶ μαρτυρῶ κάκιστος ἀνθρώπων τροφαῖς
Ταῖς σαῖσιν ἥκειν, τἄλλα μὴ 'ξ ἄλλων πύθῃ.
Ἀλλ' ἔστι γὰρ καὶ Ζηνὶ σύνθακος θρόνων
Αἰδὼς ἐπ' ἔργοις πᾶσι, καὶ πρὸς σοί, πάτερ,
Παρασταθήτω. τῶν γὰρ ἡμαρτημένων
Ἄκη μέν ἐστι, προσφορὰ δ' οὐκ ἔστ' ἔτι.
Τί σιγᾷς;
Φώνησον, ὦ πάτερ, τί· μή μ' ἀποστραφῇς.
Οὐδ' ἀνταμείβῃ μ' οὐδέν, ἀλλ' ἀτιμάσας
Πέμψεις ἄναυδος, οὐδ' ἃ μηνίεις φράσας;
Ὦ σπέρματ' ἀνδρὸς τοῦδ', ἐμαὶ δ' ὁμαίμονες,
Πειράσατ' ἀλλ' ὑμεῖς γε κινῆσαι πατρὸς

1319. Οἴμοι τί δράσω] παραφυλάττει πάλιν τὴν τέχνην τῆς ῥητορείας αὐτοῦ, ὅτι οὐκ εὐθέως ἐπὶ τὴν ὑπόθεσιν αὐτοῦ ἀπαντᾷ, ἀλλὰ προκατασκευάζει τὰ ὅλα εἰς εὔνοιαν. 1327. Ἀδελφὰ δ' ὡς ἔοικε]

κοινὰ

Digitized by Google

Animo *venturum*, adest hîc Polynices ipse.
*Po.* Hei mihi, quid faciam? an mea ipsius mala
Priùs deflebo, puellæ, an hujus, quæ video,
Patris senis, quem peregrinâ in terrâ
Vobiscum inveni hîc ejectum,
Cum veste tali; cujus inamabilis
Vetus squalor seni adhæsit
Corpus tabefaciens: & in capite oculis orbo
Comæ impexæ flatibus auræ commoventur,
Consimilia quoq. his, ut videtur, *vestibus* habet
Miseri ventris alimenta.
Quæ ego perditissimus serò nimis perdisco, &
Testor *me* pessimum omnium, alimentorum
Tuorum gratiâ venire, cætera ne ex aliis quæras.
Sed pudor est Jovis etiam assidens solio,
In omnibus factis; & tibi, pater,
Assistat. Iis enim quæ peccavimus remedium
Quidem est, accessio verò non est ulla.
Quid taces?
Loquere aliquid, O pater; ne me averseris.
Mihine respondes nihil, sed contemptum *ità*
Dimittes, nihil loquens, neq. cur irasceris dicens?
O germina viri hujus, meæque sorores,
At vos saltem conamini movere patris,

κοινὰ δὲ τούτοις, ὡς ἔοικε, γίγνεται. 1335. Προσφορὰ δ' οὐκ ἔστ' ἔτι] ἐπανάληψις, ἀντὶ τοῦ ἀνακαλέσασθαι αὐτὰ καὶ ἀναλῦσαι οὐκ ἔστι.
¶. Σχημ. Τρικλ. 1322. Σφῷν] συνίζησις. 1334. Τῶν γὰρ] γνωμικόν.

Τὸ δυσπρόσοιστον κἀπροσήγορον στόμα,
Ὡς μή μ' ἄτιμον τοῦ θεοῦ γε προστάτην
Οὕτως ἀφῇ γε μηδὲν ἀντειπὼν ἔπος.
Αν. Λέγ', ὦ ταλαίπωρ', αὐτὸς ὧν χρεία πάρει.
Τὰ πολλὰ γάρ τοι ῥήματ', ἢ τέρψαντά τι,
Ἢ δυσχεράναντ', ἢ κατοικτίσαντά πως,
Παρέσχε φωνὴν τοῖς ἀφωνήτοις τινά.
Πο. Ἀλλ' ἐξερῶ· καλῶς γὰρ ἐξηγῇ σύ μοι,
Πρῶτον μὲν αὐτὸν τὸν θεὸν ποιούμενος
Ἀρωγὸν, ἔνθεν μ' ὧδ' ἀνέστησεν μολεῖν
Ὁ τῆσδε τῆς γῆς κοίρανος, διδοὺς ἐμοὶ
Λέξαι τ' ἀκοῦσαί τ' ἀσφαλεῖ ξὺν ἐξόδῳ.
Καὶ ταῦτ' ἀφ' ὑμῶν, ὦ ξένοι, βουλήσομαι,
Καὶ ταῖνδ' ἀδελφαῖν καὶ πατρὸς κυρεῖν ἐμοί.
Ἃ δ' ἦλθον, ἤδη σοὶ θέλω λέξαι, πάτερ.
Γῆς ἐκ πατρῴας ἐξελήλαμαι φυγὰς,
Τοῖς σοῖς πανάρχοις οὕνεκ' ἐνθακεῖν θρόνοις
Γονῇ πεφυκὼς ἠξίουν γεραιτέρᾳ.
Ἀνθ' ὧν μ' Ἐτεοκλῆς ὢν φύσει νεώτερος,
Γῆς ἐξέωσεν, οὔτε νικήσας λόγῳ,
Οὔτ' εἰς ἔλεγχον χειρὸς οὔτ' ἔργου μολὼν,
Πόλιν δὲ πείσας. ὧν ἐγὼ μάλιστα μὲν
Τὴν σὴν Ἐρινὺν αἰτίαν εἶναι λέγω,
Ἔπειτα κἀπὸ μάντεων ταύτῃ κλύω.
Ἐπεὶ γὰρ ἦλθον Ἄργος ἐς τὸ Δωρικὸν,

1342. Τὸ δυσπρόσοιστον] τὸ δυσπροσπέλαστον. 1356. Ἃ δ' ἦλθον, ἤδη.

Vix adeundum & non affabile os,
Ut ne me ſpretum, Dei hujus ſaltèm ſupplicem,
Ità dimittat, abſque omni reſponſo.

*An.* Dic, O miſer, ipſe, cur veneris:
Plurima etenim dicta, vel oblectantia aliquid,
Vel offendentia, aut ad miſericordiam flectentia
Aliquam dedere vocem etiam elinguibus.

*Po.* Ergò eloquar (probè enim tu me commones)
Primò quidem ipſum hunc Deum orans
Ut ſit adjutor, cujus ex arâ me huc venire
Excitavit hujus terræ rex, qui dedit mihi
Dicereque & audire tuto cum commeatu.
Et hæc a vobis, O hoſpites, utinam
Et ſororibus hiſce meis, & patre conſequar ego.
Quare autem veni, jam tibi volo dicere, pater.
Terrâ ex paternâ expulſus ſum in exilium
In tuo quòd ſedere regio throno
Volui natu major *videlicet.*
Propterеà me Eteocles natu minor
E terrâ pepulit, neque ſuperior ratione,
Neq. ad certamen manuum, nec operum veniens,
Sed urbe *callidè* perſuasâ: quorum ego
Præcipuè tuam Erinnyn cauſam eſſe dico,
Deinde, & a vatibus eadem audivi.
Poſtquam enim veni Argos ad Doricum,

ἤδη] λείπει ἡ διὰ, ἵν' ᾖ δι' ἀ. ἦλθον.

1376.

Λαβὼν Ἄδραστον πενθερὸν, ξυνωμότας
Ἔστησ' ἐμαυτῷ γῆς ὅσοι περ Ἀπίας
Πρῶτοι καλοῦνται, καὶ τετίμηνται δορί.
Ὅπως τὸν ἑπτάλογχον εἰς Θήβας στόλον
Ξὺν τοῖσδ' ἀγείρας ἢ θάνοιμι πανδίκως,
Ἢ τοὺς τάδ' ἐκπράξαντας ἐκβάλοιμι γῆς.
Εἶεν. τί δῆτα νῦν ἀφιγμένος κυρῶ;
Σοὶ προστροπαίους, ὦ πάτερ, λιτὰς ἔχων,
Αὐτός γ' ἐμαυτοῦ ξυμμάχων τε τῶν ἐμῶν,
Οἳ νῦν ξὺν ἑπτὰ τάξεσι, ξὺν ἑπτά τε
Λόγχαις, τὸ Θήβης πεδίον ἀμφεστᾶσι πᾶν.
Οἷος δορύσσους Ἀμφιάρεως, τὰ πρῶτα μὲν
Δορὶ κρατύνων, πρῶτα δ' οἰωνῶν ὁδοῖς.
Ὁ δεύτερος δ' Αἰτολὸς Οἰνέως τόκος
Τυδεύς· τρίτος δ' Ἐτέοκλος Ἀργεῖος γεγώς·
Τέταρτον Ἱππομέδοντ' ἀπέστειλεν πατὴρ
Ταλαός· ὁ πέμπτος δ' εὔχεται κατασκαφῇ
Καπανεὺς τὸ Θήβης ἄστυ δῃώσειν τάχα·
Ἕκτος δὲ Παρθενοπαῖος Ἀρκὰς ὄρνυται,
Ἐπώνυμος τῆς πρόσθεν ἀδμήτης χρόνῳ
Μητρὸς λοχευθεὶς πιστὸς Ἀταλάντης γόνος.
Ἐγὼ δ' ὁ σὸς, κεἰ μὴ σὸς, ἀλλὰ τοῦ κακοῦ
Πότμου φυτευθεὶς, σός γέ τοι καλούμενος,
Ἄγω τὸν Ἄργους ἄφοβον ἐς Θήβας στρατόν.

1376. Ξὺν ἑπτά τε λόγχαις] ἕκαστον σύστημα ἑνικῶς ὀνομάζει λόγχην, ὡς εἴτις ἐπὶ πολλῶν ἵππων εἴποι τὴν ἵππον. 1385. Ἕκτος δὲ Παρθενοπαῖος] ἔνιοι μὲν τὸν Ἀταλάντης Παρθενοπαῖόν φασι στρατεῦσαι, ἀλλὰ τὸν Ταλαοῦ, ὃν ἔνιοι διὰ τοῦ Κ Καλαὸν προσαγορεύουσι, καθάπερ

Ἀρι-

Adraftum nactus focerum, conjuratos focios
Adjunxi mihi, terræ quicunque Apiæ
Principes vocantur, & bellicam propter virtutem
Coluntur; ut exercitu feptem fimul legionibus
Ac ducibus ad Thebas coacto, vel jure morerer,
Vel horum auctores malorum ejicerem terrâ.
Sed, his omiffis, *dicam* quare huc venerim.
Tibi fupplices, O pater, preces afferens
Ipfe, pro me fociifque meis;
Qui nunc cum feptem agminibus, feptemque
Haftis, Thebanum folum occupant omne.
Primus eft bellicofus Amphiaraus. primas quidèm
Haftâ obtinens, primafque alitum viis.
Secundus verò Ætolus Oenei filius
Tydeus, tertiufque Eteoclus Argivus genére.
Quartum Hippomedonta mifit pater
Talaus; quintus Capaneus, qui gloriatur fuffoffam
Thebarum urbem ftatim populaturum;
Sextus vero Parthenopæus Arcas irruit,
Cui nomen eft a matre quondam virgine,
Vero partu editus Atalantæ filius.
Ego autem tuus, etiamfi non fim tuus, mali
Sed fati natus, tuus tamen vocatus, duco
Ab Argis intrepidum ad Thebas exercitum;

'Αρίςαρχος ὁ Τεγεάτης κ̀ Φιλοκλῆς ἱςορῦσιν· συγγραφέων δὲ, Ἑκαταῖος ὁ Μιλήσιος. 1386. Ἐπώνυμος τῆς πρόσθεν] παρὰ τὸ παρθένος ὄντω κληθείς.



Digitized by Google

Οἵ σ' ἀντὶ παίδων τῶνδε καὶ ψυχῆς, πάτερ,
Ἱκετεύομεν ξύμπαντες ἐξαιτούμενοι,
Μῆνιν βαρεῖαν εἰκάθειν ὁρμωμένῳ
Τῷδ' ἀνδρὶ τοὐμοῦ πρὸς κασιγνήτου τίσιν,
Ὅς μ' ἐξέωσε, κἀπεσύλησεν πάτρας.
Εἰ γάρ τι πιστόν ἐστιν ἐκ χρηστηρίων,
Οἷς ἂν σὺ προσθῇ, τοῖσδ' ἔφασκ' εἶναι κράτος.
Πρὸς νῦν σε κρηνῶν, πρὸς θεῶν ὁμογνίων
Αἰτῶ πιθέσθαι καὶ παρεικάθειν. ἐπεὶ
Πτωχοὶ μὲν ἡμεῖς, καὶ ξένοι, ξένος δὲ σύ.
Ἄλλους δὲ θωπεύοντες οἰκοῦμεν σύ τε
Κἀγὼ, τὸν αὐτὸν δαίμον' ἐξειληφότες.
Ὁ δ' ἐν δόμοις τύραννος, ὢ τάλας ἐγὼ,
Κοινῇ καθ' ἡμῶν ἐγγελῶν ἁβρύνεται.
Ὃν, εἰ σὺ τῇ 'μῇ ξυμπαραστήσεις φρενὶ,
Βραχεῖ σὺν ὄγκῳ καὶ πόνῳ διασκεδῶ·
Ὥστ' ἐν δόμοισι τοῖσι τοῖς στήσω σ' ἄγων,
Στήσω δ' ἐμαυτὸν, κεῖνον ἐκβαλὼν βίᾳ.
Καὶ ταῦτα, σοῦ μὲν ξυνθέλοντος ἐστί μοι
Κομπεῖν· ἄνευ σοῦ δ' οὐδὲ σωθῆναι σθένω.
Χο. Τὸν ἄνδρα, τοῦ πέμψαντος οὕνεκ', Οἰδίπου,
Εἰπὼν ὁποῖα ξύμφορ', ἔκπεμψαι πάλιν.
Οἰ. Ἀλλ' εἰ μὲν, ἄνδρες, τῆσδε δημοῦχος χθονὸς
Μὴ τύγχαν' αὐτὸν δεῦρο προσπέμψας ἐμοὶ

1394. Τῷδ' ἀνδρὶ] δεικτικῶς, καὶ ἔστι πυκνὸς ἐν τῷ τοιούτῳ Σοφοκλῆς. 1398. Πρὸς νῦν σε κρηνῶν] παθητικόν ἐστι τὸ πρὸς πατρῴων κρηνῶν ὁρκοῦν· ὡς εἰ ἔφη, πρὸς τῶν ἐκθρεψάντων σε ὑδάτων. 1411. Τὸν

ἄνδρα

Qui te pro filiis horum & ſalute, pater,
Supplicamus omnes ſimul, petentes
Iram gravem ut remittas huic viro
Ad mei fratris ultionem profecto,
Qui me expulit, atque ſpoliavit patriâ.
Siqua enim fides ineſt oraculis illis,
Dixerunt victoriam fore, quibus tu accederes.
Per nunc te fontes, perque cognatos Deos,
Rogo obſequaris, & remittas *iram.* nam
Mendici quidem nos & peregrini, peregrinus
Et tu es, alios autem colentes vivimus tuque
Et ego, eundem dæmonem ſortiti.
At is domi tyrannus, O miſer ego,
Nos pariter irridens molliter vivit:
Quem, ſi tu meis auſcultaveris monitis,
Brevi tumore & negotio diſſipabo,
Ut in domum tuam te collocem reductum,
Collocemque meipſum, eo per vim ejecto.
Et hæc, tua ſi voluntas acceſſerit, licet mihi
Gloriari; ſine te verò, ne quidem ſalutis mihi ſpes
 eſt.

*Ch.* Virum hunc, ejus qui miſit gratiâ, Oedipe,
Dictis quæ commoda *videntur*, dimitte rurſus.

*Oe.* At niſi, viri, hujus rex terræ
Hunc ad me miſiſſet

ἄνδρα, τοῦ πέμψαντος;] ἤρξατο πάλιν ὁ χορὸς χρηστόν τι συμβουλεύειν.

Θησεὺς, δικαιῶν ὥστ' ἐμοῦ κλύειν λόγους,
Οὔτ' ἄν ποτ' ὀμφῆς τῆς ἐμῆς ἐπήσθετο.
Νῦν δ' ἀξιωθεὶς εἶσι, κἀκούσας γ' ἐμοῦ
Τοιαῦθ' ἃ τὸν τοῦδ' οὔποτ' εὐφρανεῖ βίον.
Ὅς γ', ὦ κάκιστε, σκῆπτρα καὶ θρόνους ἔχων
Ἃ νῦν ὁ σὸς ξύναιμος ἐν Θήβαις ἔχει,
Τὸν αὐτὸς αὐτοῦ πατέρα τόνδ' ἀπήλασας,
Κἄθηκας ἄπολιν, καὶ στολὰς ταύτας φορεῖν,
Ἃς νῦν δακρύεις εἰσορῶν, ὅτ' ἐν πόνῳ
Ταὐτῷ βεβηκὼς τυγχάνεις κακῶν ἐμοί.
Οὐ κλαυτὰ δ' ἐστὶν, ἀλλ' ἐμοὶ μὲν οἰστέα
Τάδ', ὥσπερ ἂν ζῶ σοῦ φονέως μεμνημένος.
Σὺ γάρ με μόχθῳ τῷδ' ἔθηκας ἔντροφον,
Σύ μ' ἐξέωσας. ἐκ σέθεν δ' ἀλώμενος,
Ἄλλους ἐπαιτῶ τὸν καθ' ἡμέραν βίον.
Εἰ δ' ἐξέφυσα τάσδε μὴ 'μαυτῷ τροφοὺς
Τὰς παῖδας, ἦτ' ἂν οὐκ ἂν ἦν, τὸ σὸν μέρος.
Νῦν δ' αἵδε μ' ἐκσώζουσιν, αἵδ' ἐμαὶ τροφοὶ,
Αἵδ' ἄνδρες, οὐ γυναῖκες, εἰς τὸ ξυμπονεῖν.
Ὑμεῖς δ' ἀπ' ἄλλου κοὐκ ἐμοῦ πεφύκατον.
Τοιγάρ σ' ὁ δαίμων νῦν ὁρᾷ μὲν οὔτι πω
Ὡς αὐτίκ', εἴπερ οἵδε κινοῦνται λόχοι
Πρὸς ἄστυ Θήβης· οὐ γὰρ ἔσθ' ὅπως πόλιν
Κείνην ἐρείψεις· ἀλλὰ πρόσθεν αἵματι
Πεσῇ μιανθεὶς, χὠ ξύναιμος ἐξίσου.

1415. Θησεὺς, δικαιῶν] δίκαιον κρίνων. 1419. Ὅς γ', ὦ κάκιστε] δαιμονίως τῇ ἀποστροφῇ χρῆται ἀπὸ τοῦ χοροῦ ἐπὶ τὸν Πολυνείκην ὁ Οἰδι-

Digitized by Google

Theseus, petens ut verba audiret mea,
Non *ille* unquam vocem meam audisset.
Nunc autem dignus habitus abibit, sed auditis ex
Me talibus, quæ hujus nunquam vitæ lætitiam af-
Qui, O pessime, sceptra & solium tenens, [ferent.
Quæ nunc tuus frater Thebis tenet,
Tuum ipse patrem hunc expulisti, et
Exulem fecisti, utq. amictu hujusmodi uteretur,
Quem nunc intuens lacrymas, nunc cum onere
Eodem mecum miseriarum incedis oppressus.
Sed hæc non sunt ploranda, sed mihi ferenda,
Sicut vivo, tui parricidæ memor.
Tu enim, ut hisce inessem ego doloribus, effecisti.
Tu me expulisti, tuâ operâ quoque vagus
Ab aliis mendico quotidianum victum.
Quod si non hasce genuissem mihi nutritias filias,
Non hercle superessem amplius, quod ad te attinet.
Nunc autem hæ me servant, hæ meæ sunt nutrices,
Hæq. sunt viri, non mulieres, ad perferendos simul
Labores; vos vero ex alio non ex me nati estis.
Quare te Deus nunc quidem nondum inspicit
*Ulturus*, ut mox faciet, siquidem hæc moventur
Agmina contra Thebarum urbem: non enim erit,
Ut urbem illam evertas; sed prius sanguine
Cades fœdatus, & *tuus* germanus simul.

Οἰδίπȣς. παραφύλαξον δὲ πῶς οἱ αὐτοὶ τῶν λόγων γίγνονται τῶν μὲν θηλειῶν ἐγκώμιον, τȣ́τȣ δὲ κατηγόρημα.

Τοιάσδ' ἀρὰς σφῷν πρόσθέ τ' ἐξανῆκ' ἐγὼ,
Νῦν τἀνακαλοῦμαι ξυμμάχους ἐλθεῖν ἐμοὶ,
Ἵν' ἀξιῶτον τοὺς φυτεύσαντας σέβειν,
Καὶ μὴ 'ξατιμάζητον, εἰ τυφλοῦ πατρὸς
Τοιώδ' ἔφυτον. αἵδε γὰρ τάδ' οὐκ ἔδρων.
Τοιγὰρ τὸ σὸν θάκημα καὶ τοὺς σοὺς θρόνους
Κρατοῦσιν, εἴπερ ἐστὶν ἡ παλαίφατος
Δίκη ξύνεδρος Ζηνὸς, ἀρχαίοις νόμοις.
Σὺ δ' ἔῤῥ' ἀπόπτυστός τε, κἀπάτωρ ἐμοῦ,
Κακῶν κάκιστε, τάσδε συλλαβὼν ἀράς,
Ἅς σοι καλοῦμαι, μήτε γῆς ἐμφυλίου
Δορὶ κρατῆσαι, μήτε νοστῆσαί ποτε
Τὸ κοῖλον Ἄργος, ἀλλὰ συγγενεῖ χερὶ
Θανεῖν, κτανεῖν θ' ὑφ' οὗπερ ἐξελήλασαι.
Τοιαῦτ' ἀρῶμαι, καὶ καλῶ τοῦ Ταρτάρου
Στυγνὸν πατρῷον ἔρεβος, ὥς σ' ἀποικίσῃ·
Καλῶ δὲ τάσδε δαίμονας· καλῶ δ' Ἄρη,
Τὸν σφῷν τὸ δεινὸν μῖσος ἐμβεβληκότα.
Καὶ ταῦτ' ἀκούσας στεῖχε· κἀξάγγελλ' ἰὼν
Καὶ πᾶσι Καδμείοισι, τοῖς σαυτοῦ θ' ἅμα

1440. Τοιάς δ' ἀράς] τοῦτο ἀπαξάπαντες οἱ πρὸ ἡμῶν παραλελοίπασιν. ἔχει δὲ τὰ ἀπὸ τῆς ἱστορίας οὕτως· οἱ περὶ Ἐτεοκλέα καὶ Πολυνείκην δι' ἔθους ἔχοντες τῷ πατρὶ Οἰδίποδι πέμπειν ἐξ ἑκάστου ἱερείου μοῖραν τὸν ὦμον, ἐκλαθόμενοι ποτὲ εἴτε κατὰ ῥᾳστώνην, εἴτε ἐξ ὁτουοῦν, ἰσχίον αὐτῷ ἔπεμψαν. ὁ δὲ μικροψύχως καὶ τελέως ἀγεννῶς ἀρὰς ἔθετο κατ' αὐτῶν, δόξας κατολιγωρεῖσθαι. ταῦτα ὁ τὴν κυκλικὴν Θηβαΐδα ποιήσας ἱστορεῖ οὕτως, Ἰσχίον ὡς ἐνόησε, χαμαὶ βάλεν, εἶπέ τε μῦθον, Ὤ μοι ἐγὼ, παῖδές με ὀνειδείοντες ἔπεμψαν. Εὖχτο Διῒ βασιλῆϊ καὶ ἄλλοις ἀθανάτοισι, Χερσὶν ὑπ' ἀλλήλων καταβήμεναι ἄϊδος εἴσω. τὰ δὲ παραπλήσια τῷ ἐποποιῷ καὶ Αἰσχύλος ἐν τοῖς Ἑπτὰ ἐπὶ Θήβαις. καὶ ἔοικε τὸ τῆς ἱστορίας ἥκειν ἐπὶ πολλούς· ὡς καὶ παρά τισι ἐντεθεῖναι αὐτὰ

πρὸς

Digitized by Google

Has autem diras in vos & antea emisi ego,
Et nunc advoco eas, ut auxilio adsint mihi,
Ut dignemini parentes colere,
Neque *me* spernatis, quòd cæco adeo patre
Nati sitis: Hæ enim illud haud fecere *filiæ*.
Itaque tuam sedem, & tuos thronos
Obtinebunt, siquidem antiquitùs celebrata
Justitia assidet Jovi, juxta veteres leges.
Tu verò abi execrandusque & carens me patre,
Malorum pessime, has vero tecum auferens diras,
Quas tibi imprecor, neque terrâ patriâ
Bello potiaris, nec redeas unquam
Ad cavum Argos, sed cognatâ manu
Pereas, occidasque eum, a quo ejectus es.
Hæc *tibi* imprecor, & invoco Tartari
Tristes paternas tenebras, ut illic te locent:
Invoco has quoque deas, invocoque Martem,
Vobis hoc atrox odium qui injecit.
Hisque auditis, abi, & nuncia abiens
Et omnibus Thebanis, tuisque simul

πρὸς τὸ γελοιότερον διὰ τούτων, Αἰεὶ δ' ὁρῶντί γ' ὀξὺ, εἰ καὶ τυφλὸς ἦν. Θυσίας γὰρ ἀπαρχὰς γέρας ἐπέμπομεν πατρὶ, Περισσὸν ὦμον, ἔκκριτον γέρας· τὸ δὲ Αὐτοί γε συκοφάντες οὐ μεμνημένοι, Λάσιον δακόντες, ἀντὶ τοῦ κεκομμένου Ἐπέμψαμεν βόειον. ὁ δὲ λαβὼν χερὶ, Ἔγνω γ' ἐπαφήσας. εἶπέ τ' ἐκ θυμοῦ τάδε, Τίς μοι τάδ' ἀνθόμιον μισητὸν κρέας Πέμπει; γέλων δὴ ταμὰ σφῶνται κόροι, Θύοντες ὕβρει· τυφλὸς οὔτοι γνώσεται, Οὕτω λέγοντες. ὦ θεοὶ μαρτύρομαι Ἐγὼ τάδ' ὁρᾶς, καὶ κατεύχομαι κακὰ Αὐτοῖσιν, αὐτοὺς τῶνδε δὶς τόσα σχέθειν. Χαλκῷ δὲ μαρμαίροντες ἀλλήλων χρόα Σφάξοιεν ἀμφὶ κτήμασιν τοῖς βασιλικοῖς. καὶ Μένανδρος ἐν Ναυκλήροις, Ὅτι Πολυνείκης πῶς ἀπώλετ' οὐχ ὁρᾷς;

1464.

Πιστοῖσι συμμάχοισιν, οὕνεκ' Οἰδίπους
Τοιαῦτ' ἔνειμε παισὶ τοῖς αὑτοῦ γέρα.
Χο. Πολύνεικες, οὔτε ταῖς παρελθούσαις ὁδοῖς
Ξυνήδομαί σοι, νῦν τ' ἴθ' ὡς τάχος πάλιν.
Πο. Οἴμοι κελεύθου, τῆς τ' ἐμῆς δυσπραξίας,
Οἴμοι δ' ἑταίρων· οἷον ἄρ' ὁδοῦ τέλος
Ἄργους ἀφωρμήθημεν· ὢ τάλας ἐγώ,
Τοιοῦτον οἷον οὐδὲ φωνῆσαί τινα
Ἔξεσθ' ἑταίρων, οὐδ' ἀποστρέψαι πάλιν,
Ἀλλ' ὄντ' ἄναυδον τῇδε συγκῦρσαι τύχῃ.
Ὦ τοῦδ' ὅμαιμοι παῖδες, ἀλλ' ὑμεῖς ἐπεὶ
Τὰ σκληρὰ πατρὸς κλύετε τοῦδ' ἀρωμένου,
Μή τοί με πρὸς θεῶν, σφῷν ἂν γ' αἱ τοῦδ' ἀραὶ
Πατρὸς τελῶνται), καί τις ὑμῖν ἐς δόμους
Νόστος γένηται), μή μ' ἀτιμάσητέ γε,
Ἀλλ' ἐν τάφοισι θέσθε κἀν κτερίσμασι.
Καὶ σφῷν ὁ νῦν ἔπαινος, ὃν κομίζετον
Τοῦδ' ἀνδρὸς οἷς πονεῖτον, οὐκ ἐλάσσονα
Ἔτ' ἄλλον οἴσει τῆς ἐμῆς ὑπουργίας.
Αν. Πολύνεικες, ἱκετεύω σε πεισθῆναί τί μοι.
Πο. Ὦ φιλτάτη τὸ ποῖον Ἀντιγόνη; λέγε.
Αν. Στρέψαι στράτευμ' ἐς Ἄργος ὡς τάχιστά γε,
Καὶ μὴ σέ γ' αὐτὸν καὶ πόλιν διεργάσῃ.
Πο. Ἀλλ' οὐχ οἷόν τε. πῶς γὰρ αὖθις αὖ πάλιν
Στράτευμ' ἄγοιμι ταὐτὸν, εἰσάπαξ τρέσας;

1464. Οἴμοι κελεύθου] καὶ αὕτη δευτέρα ἐστὶν ὥσπερ δίεσις, καὶ πα-

θητι-

Fidelibus ſociis, quod Oedipus
Talia diſtribuit filiis ſuis præmia.
*Ch.* Polynices, non ob ſuſceptam huc viam gratulor
Tibi; & nunc abi iterum, quàm potes celerrimè.
*Po.* Hei mihi! *propter* viam *hanc*, meumque
Infortunium; hei mihi quoq. ob ſocios: ab Argis
Ergo profecti ſumus, talis ut eſſet viæ exitus?
O miſer ego! talis, qualem neque dicere cuiquam
Licet ſociorum, neque reverti iterùm,
Sed tacitum *oportet me* hanc ſubire fortunam.
O ſorores, hujus filiæ, tamèn vos, poſtquàm
Aſpera patrem audiiſtis imprecantem,
(Vobis ſi hujus diræ
Patris implentur, & ſiquis vobis domum
Reditus contingat) ne me per Deos
*Obſecro*, ne me ſpernite vos ſaltèm,
Sed ſepulchro indite, & inferias ferte.
Sic vobis ad eam laudem, quam nunc reportatis
Ab hoc viro labores ob pios, non minor
Adhuc alia accedet ob officium mihi præſtitum.
*An.* Polynices, obſecro te, ut mihi auſcultes.
*Po.* O chariſſima Antigone, dic quid *eſt*?
*An.* Reduc exercitum ad Argos quàm primùm,
Et ne teipſum & urbem diſperdas.
*Po.* Sed *hoc* non poteſt fieri. Quî enim denuò iterùm
Exercitum reducerem eundem, ſemel timore correptus?

θηλικωτάτη. ἐν τῷ ἀπολοφύρεσθαι αὐτὸν, τεχναζομένη πάνυ πιθανῶς.
1491.

Αν. Τί δ' αὖθις, ὦ παῖ, δεῖ σε θυμοῦσθαι; τί σοι
Πάτερα καταισκύψαντι κέρδος ἔρχεται;
Πο. Αἰσχρὸν τὸ φεύγειν, καὶ τὸ πρεσβεύοντ' ἐμὲ
Οὕτω γελᾶσθαι τοῦ κασιγνήτου πάρα.
Αν. Ὁρᾷς τὰ τοῦδ' οὖν ὡς ἐς ὀρθὸν ἐκφέρει
Μαντεύμαθ', ὃς σφῷν θάνατον ἐξ ἀμφοῖν θροεῖ;
Πο. Χρῄζει γάρ. ἡμῖν δ' οὐχὶ συγχωρητέα.
Αν. Οἴμοι τάλαινα. τίς δὲ τολμήσει κλύων
Τὰ τοῦδ' ἕπεσθαι τἀνδρὸς οἷ' ἐθέσπισεν;
Πο. Οὐδ' ἀγγελοῦμεν φλαῦρ'· ἐπεὶ στρατηλάτου
Χρηστοῦ, τὰ κρείσσω μηδὲ τἀνδεᾶ λέγειν.
Αν. Οὕτως ἄρ', ὦ παῖ, ταῦτά σοι δεδογμένα;
Πο. Καὶ μή μ' ἐπίσχῃς γ'· ἀλλ' ἐμοὶ μὲν ἥδ' ὁδὸς
Ἔσται μέλουσα δύσποτμός τε καὶ κακὴ
Πρὸς τοῦδε πατρὸς, τῶν τε τοῦδ' Ἐριννύων.
Σφῷν δ' εὐοδοίη Ζεὺς, τάδ' εἰ τελεῖτέ μοι
Θανόντ'· ἐπεὶ οὔ μοι ζῶντί γ' αὖθις ἕξετον.
Μέθεσθε δ' ἤδη, χαίρετόν τ'· οὐ γάρ μ' ἔτι
Βλέποντ' ἐσόψεσθ' αὖθις.
Αν. Ὦ τάλαιν' ἐγώ.
Πο. Μήτοι μ' ὀδύρου.
Αν. Καὶ τίς ἄν σ' ὁρμώμενον
Εἰς πρόυπτον ᾅδην οὐ καταστένοι, κάσι;
Πο. Εἰ χρὴ, θανοῦμαι.

1491. Χρῄζει γὰρ] ἐν ἴσῳ τῷ χρησμῳδεῖ. τοῦτο ἐφ' ἑαυτοῦ φησὶ καὶ τοῦ ἀδελφοῦ. ἡμῖν δὲ οὐ συμβατέα οὐδὲ συγχωρητέα· 1492. Οἴμοι τάλαινα. τίς δὲ] τὸ ἑξῆς, τίς δὲ τολμήσει ἕπεσθαι, κλύων τὰ τοῦδε τἀνδρός; 1494. Οὐδ' ἀγγελοῦμεν] καὶ ἐν ταῖς τέχναις

ἐστὶ

*An*. Quid autèm attinet, O frater, denuò te irafci ?
Quid tibi patriam evertenti lucri accedet ?
*Po*. Fugere turpe eft, meque feniorem
Ità rideri a fratre.
*An*. Videfne igitur, quàm directè hujus *in vos* exeant
Oracula, qui vobis mortem mutuam prænunciat ?
*Po*. Prædicit quidem : fed illa nobis neutiquam funt
concedenda.
*An*. Hei mihi miferæ ! quis verò audebit te fequi
Audiens hunc virum, qualia ediderit oracula ?
*Po*. Non folemus nunciare mala. Ducis enim
*Eft* boni fecundiora, & non adverfa dicere.
*An*. Siccine ergo, frater, hæc tibi decreta funt ?
*Po*. Et ne me retineas, *oro*. Nam mihi hoc iter
Curæ erit, quamvis infauftumque & malum
Propter hunc patrem, hujufque Erinnyas.
Vobis vero faufta præftet Jupiter, fi hæc mihi
Efficitis mortuo ; nam viventi mihi non iterum
poteritis.
Sed jam dimittite me, & valete, non enim me
Amplius viventem videbitis pofthac.
*An*. O mifera ego !
*Po*. Ne me luge.
*An*. Et quis ruentem te
Ad prævifam mortem non lugeat, frater ?
*Po*. Si oportet, moriar.

ἐςὶ τῦτο, ὅτι ἐ πάντα δεῖ ἀληθεύεσθαι, ἐὰν μὴ χρήσιμα ᾖ, ἀλλὰ δεῖ καί τινα ψεύδεσθαι. 1501. Μέθεσθε δ' ἤδη] κὴ ἐκ τύτυ δῆλον ὅτι ἐν τῇ παρακλήσει ἅμα τὺς λόγυς λέγυσα τύτυς εἴχετο αὐτῦ ἡ ἀδελφή.

Αν. Μὴ ζύγ', ἀλλ' ἐμοὶ πιθῦ.
Πο. Μὴ πεῖθ' ἃ μὴ δεῖ.
Αν. Δυςάλαινά τ' ἆρ' ἐγὼ,
Εἴ σου ςερηθῶ.
Πο. Ταῦτα δ' ἐν τῷ δαίμονι
Καὶ τῇδε φῦναι χἀτέρᾳ. σφῷιν δ' οὖν ἐγὼ
Θεοῖς ἀρῶμαι μή ποτ' ἀντῆσαι κακῶν.
Ἀνάξιαι γὰρ πᾶσίν ἐςε δυςυχεῖν.

Χο. Νέα, τάδε νεόθεν ἦλθέ μοι
Βαρύποτμα κακὰ
Παρὰ γ' ἀλαοῦ ξένου,
Εἴτι μοῖρα μὴ κιχάνει.
Μάτην γὰρ οὐδὲν ἀξίωμα δαιμόνων
Ἔχω φράσαι.
Ὁρᾷ, ὁρᾷ ταῦτ' ἀεὶ
Χρόνος. ἐπεὶ μὲν ἕτερα,
Τὰ δὲ πήματ' αὖθις αὔξων ἄνω.
Ἔκτυπεν αἰθὴρ, ὦ Ζεῦ.

1514. Καὶ τῇδε φῦναι] καὶ τοιᾶδε τύχῃ καὶ ἐναντίᾳ. 1517. Νέα τάδε νεόθεν ἦλθέ μοι] νεωςί εἰ καὶ ὅτι μάλιςα ξενικά ἐςι τὰ πρόσωπα, καὶ τὰ κατέχοντα τούτους κακὰ, ὅμως συναλγεῖ καὶ εὐλαβεῖται ὁ χορὸς μὴ ἐκ τῆς ὁμιλίας τῆς σὺν αὐτοῖς, ἀπολαύσωσί τινος κακοῦ καὶ αὐτοί. ἐν τοιούτῳ οὖν ἤθει καὶ ὁ λόγος αὐτοῖς διάκειται, τοιαῦτα πάρεςιν ἡμῖν (φησὶν) ἄτοπα παρὰ τοῦ ξένου ἀπολαῦσαι, ἐκτὸς εἰ μὴ μοῖρα τις καταλαμβάνει ἡμᾶς, καὶ κατὰ μοῖραν ἀπολαύομεν ὧν ἀπολαύομεν. 1520. Εἴ τι μοῖρα] εἰ μὴ κατὰ μοῖραν ταῦτα πάσχω, εἴποιμι ἂν ἐκ τοῦ Πολυνείκους νέα μοι κακὰ ἐληλυθέναι. 1521. Μάτην γὰρ οὐδὲν ἀξίωμα] ὅτι, οὐδέν ἐςι μάταιον ὑπὸ Θησέως ἀξιωθὲν πραχθῆναι, ἀλλ' ὃ ἂν γένηται ὑπὸ Θησέως, τοῦτο καλῶς γίγνεται· τὸ δὲ ἑξῆς, μάτην γὰρ οὐδὲν ἀξίωμα δαιμόνων ἔχω φράσαι. ἐπειδὴ ὁρᾷ ταῦθ' ὁ αἰεὶ

χρόνος,

*An.* Ne tu ſic *quæſo agas*, ſed mihi pare.
*Po.* Ne ſuadeas, quæ non decet.
*An.* Infauſtiſſima certè ego,
Si te privabor.
*Po.* Hoc in Deo ſitum eſt
Ut vel hâc vel alterâ naſcare ſorte. Vobis verò, ego
Deos precor, ut nulla unquam occurrant mala:
Indignæ enim eſtis, omnium opinione, quovis infortunio.

PERICOMMATA. STROPHE I.

*Ch.* Nova hæc nuper venere mihi
Graviſſima mala
A cæco hoſpite,
Niſi forte divinitùs habeo.
Temerarium enim nullum facinus Deorum
Queo dicere.
Videt, videt hæc ſemper
Tempus, ſuper alia
Et hæc mala denuò dirigens.
Sonuit æther, O Jupiter.

χρόνος, ἕτερα μὲν αὔξων ἄνω, τὰ δὲ παρ' ἦμαρ αὖθις. ὅ ἐστι, εἰς τὸ ἔμπαλιν τρέπων τὰ ἤδη αὐξηθέντα. ὅ ἐστι, πάντα ἔχει ὑφ' ἑαυτῷ ὁ χρόνος· τὰ μὲν ὁρᾷ, τὰ δὲ καὶ αὐτὸς ὁρᾶται ποιῶν. τὰ γὰρ πραττόμενα, τῷ χρόνῳ φαίνεται. τουτέστιν, ἐν τῷ χρόνῳ πολλαὶ μεταβολαὶ γίγνονται, καὶ ὁρᾶται ὁ χρόνος πολλὰ μὲν αὔξων παρ' ἦμαρ, πολλὰ δὲ εἰς τὸ ἔμπαλιν τρέπων. 1526. Ἔκτυπεν αἰθὴρ] τὸ συνεκτικώτατον τοῦ δράματος ἐν τούτῳ. καθάπερ προεῖπεν ὁ Οἰδίπους. Σημεῖα δ' ἥξειν τῶνδέ μοι παρηγγύα, Ἢ σεισμὸν, ἢ βροντήν τιν', ἢ Διὸς σέλας. μεταξὺ οὖν τοῦ χοροῦ λόγων γίγνεται τοῦτο. ἐφ' ᾧ ὁ χορὸς ἀναβοᾷ· ὅπερ ἦν σύμβολον τοῦ τὸν Οἰδίποδα τεθνήξεσθαι. ὅπερ γνωρίσας ὁ Οἰδίπους, ἀξιοῖ τὸν Θησέα ἐν τάχει παραγενέσθαι·

Αἰ. Ὦ τέκνα, τέκνα, πῶς ἂν ἔτις ἔντοπος
Τὸν πάντ' ἄριστον δεῦρο Θησέ' ἂν πόροι;
Αν. Πάτερ, τί δ' ἐστὶ ταξίωμ' ἐφ' ᾧ καλεῖς;
Οἰ. Διὸς πτερωτὸς ἥδε μ' αὐτίκ' ἄξεται
Βροντὴ πρὸς ἅδην. ἀλλὰ πέμψαθ' ὡς τάχος.

Χο. Ἴδε μάλα μέγας ἐρείπεται
Κτύπος ἄφατος ὅδε
Διόβολος· ἐς δ' ἄκραν
Δεῖμ' ὑπῆλθε κρατὸς φόβαν.
Ἔπτηξα θυμόν. οὐρανία γὰρ ἀστραπὴ
Φλέγει πάλιν.
Τί μὰν ἀφήσει τέλος,
Δέδια τόδ'. οὐ γὰρ ἅλιον
Ἀφορμᾶ ποτ', οὐκ ἄνευ ξυμφορᾶς.
Ὦ μέγας αἰθὴρ, ὦ Ζεῦ.

Οἰ. Ὦ παῖδες, ἥκει τῷδ' ἐπ' ἀνδρὶ θέσφατος
Βίου τελευτὴ, κοὐκέτ' ἔς' ἀποστροφή.
Χο. Πῶς οἶσθα τοῦτο; τῷ δὲ συμβαλὼν ἔχεις;

1529. Ταξίωμα] τὸ βούλημα. 1534. Ἐς δ' ἄκραν] ἄκραν φόβαν κρατὸς, οὕτως ἀποδώσεις. 1536. Οὐρανία γὰρ ἀστραπὴ] ἀντὶ τοῦ ταχεῖα. 1539. Οὐ γὰρ ἅλιον] οὐ μάταιον. τοῦτο (φησὶν) οὐ μάτην γίγνεται τὸ κατὰ τὴν διοσημείαν, ἀλλ' ἐπί τινι μεγάλῃ συμφορᾷ· νῦν δὲ συμφορὰν φησι τὸ μέσον ὄνομα τῆς συντυχίας. οὖν, ἐπί τινι γίγνεται ἡ διο

### SYSTEMA I.

*Ad.* O filiæ, filiæ, quid ſiquis incola
Optimum in cunctis huc Theſea adducat?
*An.* Pater, quid eſt rei, quod *illum* advocas?
*Oe.* Jovis hoc alatum me illicò ducet
Fulmen ad Orcum. Sed mittite quàm primum.

### ANTISTROPHE I.

*Ch.* Ecce validiùs ingens editur
Sonitus hic infandus
A Jove actus: inque ſummas
Formido ſubiit capitis comas.
Stupor animum tenet; cœleſte enim fulgur
Flagrat iterùm.
Quemnam capiet finem?
Exhorreo, non enim temere
Graſſatur unquam, nec abſque caſu *novo.*
O magnus Æther! O Jupiter.

### ANTISYSTEMA I.

*Oe.* O filiæ, adeſt huic viro fatalis
Vitæ exitus, nec amplius eſt effugium.
*Ch.* Qui ſcis? quâ ex re iſtud conjicis?

ἡ διοσημεία. 1534. Ἀφορμᾷ] ἀπὸ κοινοῦ τὸ ἀφορμᾷ. 1542. Τῷ δ᾽ ἐπ᾽ ἀνδρὶ] ἐπ᾽ ἐμοὶ δηλονότι. Ib. Θέσφατος βίου τελευτὴ] ἡ θεσπισθεῖσα τελευτή. 1543. Ἀποστροφὴ] ἀποφυγή. 1544. Τῷ δὲ συμβαλὼν] τίνι τεκμηρίῳ πείσας, στοχασάμενος.



Digitized by Google

Οι. Καλῶς κάτοιδ'· ἀλλ' ὡς τάχιστά μοι μολὼν
Ἄνακτα χώρας τῆσδέ τις πορευσάτω.

Χο. Ἔα, ἔα.
Ἰδοὺ μάλ' αὖθις ἀμφίσταται
Διαπρύσιος ὄτοβος.
Ἵλαος δαῖμον, ἵλαος, εἴτι γᾷ
Ματέρι τυγχάνεις ἀφεγγὲς φέρων.
Ἐναισίου δὲ συντύχοιμι,
Μηδ' ἄλαστον ἄνδρ' ἰδὼν,
Ἀκερδῆ χάριν μετάσχοιμί πως.
Ζεῦ ἄνα, σοὶ φωνῶ.

Οι. Ἆρ' ἐγγὺς ἀνήρ; ἆρ' ἔτ' ἐμψύχου, τέκνα,
Κιχήσεταί μου καὶ κατορθοῦντος φρένα;
Αν. Τί δ' ἂν θέλοις τὸ πιστὸν ἐμφῦναι φρενί;
Οι. Ἀνθ' ὧν ἔπασχον εὖ, τελεσφόρον χάριν
Δοῦναί σφιν, ἥνπερ τυγχάνων ὑπεσχόμην.

Χο. Ἰοὺ, ἰού.

1548. Ἀμφίσταται] περιΐσταται ἡμῖν μέγας ψόφος. 1550. Ἵλαος ὦ δαῖμον] λείπει τὸ ἴσω. εὐσεβείσατα δὲ ὁ χορὸς εὔχεται πρὸς τὸν θεὸν, εἰ ἐπί τινι χαλεπῷ ταῦτα πράττει, ἵλεων αὐτὸν γενέσθαι· ὅρα οὖν ὅτι ἡ συμφορὰ ἐπὶ τῆς μέσης ἐννοίας κεῖται. 1551. Ματέρι] τῇ Ἀττικῇ. Ib. Ἀφθεγγὲς] χαλεπόν. 1552. Ἐναισίου δὲ συντεύχοιμι] μηδὲ πονηρῷ τινι συντύχω. 1554. Ἀκερδῆ χάριν] ὡς φαῦλον τὸ κέρδος. Ib. Μετάσχοιμί πως] ἀντὶ τοῦ σχοίην. 1556. Ἆρ' ἐγγὺς ἀνὴρ]

Digitized by Google

*Oe.* Pulchrè novi: sed quàm celerrimè mihi
Profectus regem terræ hujus aliquis adducat.

### STROPHE II.

*Ch.* Heu, heu,
Ecce iterùm circumstat
Penetrabilis sonitus.
Propitius *esto*, Deus, propitius *mihi*, siquid terræ [huic
Matri *meæ* ominosum affers.
Utinam fausta mihi eveniant,
Neque calamitosum hunc virum quod viderim,
Malam gratiam reportem,
Jupiter rex, te invoco.

### SYSTEMA II.

*Oe.* An propè adest vir? num adhuc spirantem, filiæ,
Inveniet me & compotem mentis?
*An.* Quid vis arcani animo instillare?
*Oe.* Pro beneficiis mihi datis, fructuosam gratiam
Rependere volo, quam *ante* pollicitus sum.

### ANTISTROPHE II.

*Ch.* Eho, eho,

ἀνὴρ] ὁ Θησεύς. 1558. Τίδ' ἂν θέλοις τὸ πιστὸν] τί πιστὸν (φησὶ) θέλεις ἐμβαλεῖν τῇ φρενὶ ἐκείνου; τῇ τοῦ Θησέως δηλονότι. ἀντὶ τοῦ, τί βούλει πιθανὸν ἀνακοινώσασθαι τῷ Θησεῖ; 1560. Δοῦναί σφιν] ἀντὶ τοῦ αὐτῷ (κατὰ τιμὴν δὲ πληθυντικῶς) ἃ πάρειθ' ὑπισχόμην. Ἄλλως. Ἡ σφὶν ἀντὶ τῆς ἐν ἀντωνυμίας κεῖται. ἔδει γὰρ εἰπεῖν, τελεσφόρον δοῦναί οἱ χάριν.

Ἰὼ παῖ, βᾶθι, βᾶθ᾽· εἴτ᾽ ἄκραν
Ἐπὶ γύαλον ἐναλίῳ
Ποσειδαωνίῳ θεῷ τυγχάνεις
Βούθυτον ἑστίαν ἁγίζων, ἵκου.
Ὁ γὰρ ξένος σε καὶ πόλισμα
Καὶ φίλους ἐπαξιοῖ
Δικαίαν χάριν παρασχεῖν παθών.
Σπεῦσον, ἄϊσσ᾽, ὦ ἄναξ.

Θη. Τίς αὖ παρ᾽ ὑμῶν κοινὸς ἠχεῖται κτύπος,
Σαφὴς μὲν αὐτῶν, ἐμφανὴς δὲ τοῦ ξένου;
Μήτις Διὸς κεραυνὸς, ἤ τις ὀμβρία
Χάλαζ᾽ ἐπιῤῥάξασα; πάντα γὰρ θεοῦ
Τοιαῦτα χειμάζοντος εἰκάσαι πάρα.

Οἰ. Ἄναξ, ποθοῦντι προὐφάνης· καί σοι θεῶν
Τύχην τις ἐσθλὴν θῆκε τῆσδε τῆς ὁδοῦ.
Θη. Τί δ᾽ ἐστὶν, ὦ παῖ Λαΐου, νέορτον αὖ;
Οἰ. Ῥοπὴ βίου μοι. καί σ᾽, ἅπερ ξυνῄνεσα,
Θέλω πόλιν τε τήνδε μὴ ψεύσας, θανεῖν.
Θη. Ἐν τῷ δὲ κεῖσαι τοῦ μόρου τεκμηρίῳ;
Οἰ. Αὐτοὶ θεοὶ κήρυκες ἀγγέλλουσί μοι

1562. Ἰὼ παῖ] θαυμαστῶς ὁ χορὸς βοᾷ. ἐπάγει γὰρ τὸ πρᾶγμα. 1563. Ἐπὶ γύαλον] ἢ ἐπὶ πρὸς τὸ ἄκραν. ἵν᾽ ᾖ, ἐπ᾽ ἄκραν πέτραν. 1564. Ποσειδαωνίῳ] Ποσειδῶνι. διὸ κεῖται τὸ Χ. Ἄλλως. Ποσειδαωνίῳ. ἀντὶ τοῦ Ποσειδῶνος, ὅ ἐστιν ἐναλίου θεοῦ. ὁ δὲ ἑτέρως ἐσχημάτισε, κτητικώτερόν πως. διὸ κεῖται τὸ Χ. 1565. Ἁγιάζων] ἀντὶ τοῦ ἁγίζων.

O fili, ades, ades, ſeu ſupremo
In littore maris Deo
Neptuno fortè
Ad victimas immolandas aram conſecras, veni.
Hoſpes enim & tibi, & urbi,
Et amicis cupit
Juſtam gratiam rependere pro beneficiis acceptis.
Propera ocyus, O rex.

### Antisystema II.

Quis iterum a vobis communis reſonat clamor?
Clarus quidem veſtrûm, manifeſtus & hoſpitis.
Numquid Jovis fulmen, aut pluvialis
Grando irruit? Deo enim movente
Hiemem, omnia hujuſmodi expectanda ſunt.

### Iambi.

*Oe.* O rex, optanti adveniſti; & tibi deorum
Aliquis ſecundavit hanc viam.
*Th.* Quid autem eſt, O nate Laii, iterùm novi exortum?
*Oe.* Meta mihi adeſt vitæ, volo autem mori,
Promiſſis tibi urbique huic non violatis.
*Th.* Quo argumento colligis te moriturum modò?
*Oe.* Ipſi Dei, qui nil mentiuntur, nunciant mihi

1570. Παρ' ὑμῶν] ὑμῶν τι καὶ Οἰδίποδος. 1573. Ἐπιῤῥάξασα] ἀντὶ τοῦ ἐπιέῤῥαξεν. 1575. Θεῶν τύχην] ἐπιτυχίαν. 1577. Νέορτον αὖ] ἀντὶ τοῦ νέον. 1578. Καί σ' ἄπερ] τὸ ἑξῆς, καὶ σὲ μὴ ψεύσας.

Ψαύδοντες οὐδὲν, σημάτων προκειμένων.
Θη. Πῶς εἶπας, ὦ γεραιὲ, δηλοῦσθαι τάδε;
Οἰ. Τὰ πολλὰ βρονταὶ διατελεῖς, τὰ πολλά τε
Στρέψαντα χειρὸς τῆς ἀνικήτου βέλη.
Θη. Πείθεις με· πολλὰ γάρ σε θεσπίζονθ' ὁρῶ,
Κοὐ ψευδόφημα· χὤ, τι χρὴ ποιεῖν, λέγε.
Οἰ. Ἐγὼ διδάξω, τέκνον Αἰγέως, ἅ σοι
Γήρως ἄλυπα τῇδε κείσεται πόλει.
Χῶρον μὲν αὐτὸς αὐτίκ' ἐξηγήσομαι,
Ἄθικτος ἡγητῆρος, οὗ με χρὴ θανεῖν.
Τοῦτον δὲ φράζε μήποτ' ἀνθρώπων τινὶ,
Μήθ' οὗ κέκευθε, μήτ' ἐν οἷς κεῖται τόποις.
Ὥς σοι πρὸ πολλῶν ἀσπίδων ἀλκὴν ὅδε
Δορός τ' ἐπακτοῦ γειτόνων ἀεὶ τιθῇ·
Ἃ δ' ἐξάγιστα, μηδὲ κινεῖται λόγῳ,
Αὐτὸς μαθήσῃ, κεῖσ' ὅταν μόλῃς μόνος.
Ὡς οὔτ' ἂν ἀστῶν τῶνδ' ἂν ἐξείποιμί τῳ,
Οὔτ' ἂν τέκνοισι τοῖς ἐμοῖς, στέργων ὅμως.
Ἀλλ' αὐτὸς αἰεὶ σῶζε, χὤταν εἰς τέλος
Τοῦ ζῆν ἀφίκῃ, τῷ προφερτάτῳ μόνῳ
Σήμαιν'· ὁ δ' αἰεὶ τῷ 'πιόντι δεικνύτω.
Χ' οὕτως ἀδῆον τήνδ' ἐνοικήσεις πόλιν
Σπαρτῶν ἀπ' ἀνδρῶν. αἱ δὲ μυρίαι πόλεις,

1582. Σημάτων προκειμένων] ἤγ, διὰ τῶν σημείων. 1589. Γήρως ἄλυπα] ἕως γήρως. Ib. Τῇδε κείσεται] γράφεται, σῇ τε κείσεται. 1593. Μήθ' οὐ κέκευθε] μήτε ὅπου κρύπτεται ὁ χῶρος. 1595. Γειτόνων] εἰ μὲν βαρυτόνως γειτόνων, τῶν Θηβαίων νοήσεις· εἰ δὲ περισπωμένως γειτονῶν, ἀντὶ τοῦ γειτνιῶν ὁ τάφος. 1596. Ἃ δ' ἐξάγιστα] καθαρά. σημαίνει γὰρ τὸ ἄγος τοῦτο, καὶ τὸ ἅγιον καὶ μὴ οἷόν τε ἐρεθῆναι

Digitized by Google

*Hoc* ſignis propoſitis.
*Th.* Quo dicis modo, O ſenex, *hæc* tibi nuntiata ?
*Oe.* Multa tonitrua aſſidua, multaque *indicant hæc*
Contorta manu invictâ telà, i. e. fulmina.
*Th.* Fidem mihi facis; multa enim te prænuntiâſſe video,
Eaque non falſa. dic igitur quid faciendum ſit.
*Oe.* Ego docebo, O filî Ægei, *ea* quæ tibi
*Ad* ſenium *uſque* tuæ rata erunt urbi.
*Ad* locum enim ipſe mox præibo,
Ubi me oportet mori, nullo ductore tacto.
Eum autem indica mortalium nemini,
Nec ubi latet, nec in quâ jacet regione.
Nam tibi hic *locus* multorum vice clypeorum
Vicinorumque bello ſociorum, robur ſemper dabit.
Quæ verò ſacra ſunt, nec *adhuc* tibi proferuntur,
Ipſe diſces, ſolus, ubi illuc veneris.
Nam neque civium ullî dixero,
Neque filiabus meis, eas licet amem.
Sed ipſe ſemper ſerva, & ubi ad finem
Vitæ perveneris, præſtantiſſimo tantùm viro
Indica; ille verò ſemper ſucceſſori aperiat:
Et ſic inexpugnabilem hanc tenebis urbem
A ſeminatis viris, i. e. Thebanis. Urbes enim

θῆναι. καὶ ἐπὶ τούτου γὰρ τούτῳ χρῶνται πολλαχοῦ. 1601. Τῷ προφερτάτῳ μόνῳ] χρησίμως καὶ τοῦτο, ὥστε παρὰ τὸν καιρὸν τῆς τελευτῆς παραδιδόναι τὸ ἀπόῤῥητον τῷ πρεσβυτέρῳ υἱῷ, ὑπὲρ τοῦ μέχρι τοῦ παντὸς διαμεῖναι τὴν ὠφέλειαν τοῖς Ἀθηναίοις, δι᾽ ἧς τῶν Θηβαίων κρατήσουσι. 1603. Ἀδήϊοι] ἀδήωτοι.

Κἂν εὖ τις οἰκῇ, ῥαδίως καθύβρισαν.
Θεοὶ γὰρ εὖ μὲν, ὀψὲ δ' εἰσορῶσ', ὅταν
Τὰ θεῖ' ἀφεὶς τις εἰς τὸ μαίνεσθαι τραπῇ.
Ὃ μὴ σὺ, τέκνον Αἰγέως, βούλου παθεῖν.
Τὰ μὲν τοιαῦτ' οὖν εἰδότ' ἐκδιδάσκομεν.
Χῶρον δ' (ἐπείγει γάρ με τοὐκ θεοῦ παρὸν)
Στείχωμεν ἤδη, μηδέ γ' ἐντρεπώμεθα.
Ὦ παῖδες, ὧδ' ἕπεσθ'· ἐγὼ γὰρ ἡγεμὼν
Σφῷν αὖ πέφασμαι καινὸς, ὥσπερ σφὼ πατρί.
Χωρεῖτε, καὶ μὴ ψαύετ', ἀλλ' ἐᾶτέ με
Αὐτὸν τὸν ἱερὸν τύμβον ἐξευρεῖν, ἵνα
Μοῖρ' ἀνδρὶ τῷδε τῇδε κρυφθῆναι χθονί.
Τῇδ' ὧδε τῇδε βᾶτε· τῇδε γάρ μ' ἄγει
Ἑρμῆς ὁ πομπὸς, ἥ τε νερτέρα θεός.
Ὦ φῶς ἀφεγγὲς πρόσθε πού ποτ' ἦσθ' ἐμόν;
Νῦν δ' ἔσχατόν σου τοὐμὸν ἅπτεται δέμας·
Ἤδη γὰρ ἕρπω τὸν τελευταῖον βίον
Κρύψων παρ' ᾅδην· ἀλλὰ, φίλτατε ξένων,
Αὐτός τε, χώρα θ' ἥδε, πρόσπολοί τε σοὶ,
Εὐδαίμονες γένοισθε· κἀπ' εὐπραξίᾳ
Μέμνησθέ μου θανόντος εὐτυχεῖς ἀεί.

Χο. Εἰ θέμις ἐστί μοι τὰν ἀφανῆ θεὸν

1605. Κἂν εὖ τις οἰκῇ] κἂν δικαίως τις πολιτεύηται, πολλαὶ πόλεις ἀδίκως ἐπέρχονται. 1611. Μηδέ γ' ἐντρεπώμεθα] ἀντὶ τοῦ ἐπιστρεφώμεθα (Ὅμηρος, ἐντροπαλιζόμενος) ἐγὼ γὰρ ἡγεμὼν ὑμῖν πέφηνα, ὥσπερ ὑμεῖς τῷ πατρί. 1617. Τῇδε γάρ μ' ἄγει] οὐ πταίει ὁ ὑποκριτής,

Innumeræ, licet benè inſtitutæ, facilè ad injurias
verſæ ſunt.
Dii enim benè quidem, at tardè intuentur, cum
Quis pietate repudiatâ ad furorem vertitur.
Quod tu ne, fili Ægei, velis pati.
Sed hæc *te* quidem ſcientem jam edocemus.
Locum verò (urget enim me præſens a Deo
Fatum) adeamus jam, nec referamus pedem.
O filiæ, huc ſequimini. Ego enim dux
Vobis viciſſim fio novus, ut vos *eratis* patri.
Ite, & ne attingite, ſed ſinite me
Solum invenire ſacrum tumulum; ubi
Fatale eſt huic viro ſub hac terrâ recondi.
Hâc *pergite* huc, hâc *inquam*: hâc enim me ducit
Mercurius *animarum* deductor, & inferna Dea.
O lux mea lumine caſſa ubi tandem antea
fuiſti?
Nunc ultimum te meum corpus attingit.
Jam enim eo, extremum vitæ tempus
Conditurus apud orcum. At, O chariſſime
Hoſpitum, ipſeque terraque, hæc, civeſque
Tui beati ſitis, & in rebus proſperis eſtote
Memores mei mortui, felicitate fruentes perpetuâ.

ANTISTROPHICA. STROPHE I.

*Ch.* Si fas eſt mihi caliginoſam Deam *Proſerpinam*,

κριτὴς, ἀλλ' εὐθὺ ἄπεισιν, ὥσπερ ἀγόμενος ὑπὸ τοῦ θεοῦ, πάνυ δὲ σεμνῶς καὶ τὸ τοῦ Ἑρμοῦ προσέθηκεν 1619. Ὦ φῶς ἀφεγγὲς] ὃ τῷ νῷ ὁρᾷ, οὐ τοῖς αἰσθητοῖς ὀφθαλμοῖς. 1623. Πρόσπολοί τε σοὶ] οἱ Ἀθηναῖοι. 1626. Τὰν ἀφανῆ θεὸν] τὴν Περσεφόνην φησίν.



Digitized by Google

Καὶ σὲ λιταῖς σεβίζειν
Ἐννυχίων ἄναξ
Ἀϊδωνεῦ, Ἀϊδωνεῦ,
Λίσσομαι μήποτ' ἐπιπόνῳ,
Μήτ' ἐπὶ βαρυαχεῖ
Ξένον ἐκτανύσαι
Μόρῳ, τὰν παγκευθῆ κάτω
Νεκρῶν πλάκα, καὶ Στύγιον
Δόμον. πολλῶν γὰρ ἂν
Καὶ μάταν πημάτων ἱκνουμένων,
Πάλιν σὲ δαίμων δίκαιος αὔξοι.

Ὦ χθόνιαι θεαὶ, σῶμά τ' ἀνικήτου
Θηρὸς ὃν ἐν πύλαισι
Φασὶ πολυξένοις
Εὐνᾶσθαι κνυζεῖσθαί τ' ἐξ ἄντρων
Ἀδάμαστον φύλακα παρ' ἀΐδα,
Ὡς λόγος αἰὲν ἔχει.

*

Ὄν, ὦ Γᾶς παῖ καὶ Ταρτάρου,

1628. Ἐννυχίων ἄναξ] τῶν ἐν νυκτὶ ἀεὶ καὶ σκότῳ διατριβόντων. τεθνηκότων. 1630. Λίσσομαι μήτ' ἐπιπόνῳ] τὰ ἑξῆς μὲν, δῆλα ἐκ τῆς λέξεως. τὸ δὲ δίδου μοι, τούτῳ ἀσυνάρτητόν πως φαίνεται ἡμῖν. ἐπιστῆσαι οὖν ἄξιον λαβόντας καλὸν ἀντίγραφον, δίδου μοι τὸν ξένον κατανύσαι τὰν παγκευθῆ κάτω νεκύων πλάκα, καὶ στύγιον δόμον, μήτ' ἐπιπόνῳ μήτ' ἐπὶ βαρυηχεῖ μόρῳ. εὔχονται δὲ αὐτῷ μὴ δυσθανατῆσαι. 1636. Καὶ μάταν πημάτων] ἀποστρέφει τὸν λόγον πρὸς τὸν Οἰδίποδα. τὸ δὲ μάτην ἱκνουμένων, ἔν τινι τρόπῳ εἴρηκε, παρ' ὅσον σχεδὸν πάντα τὰ ἁμαρτήματα τοῦ Οἰδίποδος ἀκουσίως ἐγένετο· καὶ νῦν οὖν κατὰ τοῦτο μάτην

ἂν

Digitized by Google

Et te precibus venerari
Manium tenebris verſantium rex
Aidoneu, Aidoneu,
Precor *vos*, ut neutiquàm laborioſâ
Neque luctuosâ
Hoſpes defunctus
Morte, ſubeat communes omnium latebras,
Inferorum regionem, & Stygiam
Domum. multa enim
Et immeritò mala poſtquàm invaſerunt,
Viciſſim te Deus juſtus augeat.

ANTISTROPHE.

O terreſtres Deæ, *Erinnyes*, Tuque, corpus
Invictæ feræ, quam ad portas
Dicunt exaſciatas
Cubare, & latratus edere ex antro,
Indomitum cuſtodem apud Orcum,
Ut ſermo dictitat frequens.

Te, O Terræ filî & Tartari,

ἂν λέγοι τιμωρίαν ὑπέχειν αὐτόν. 1638. Ὦ χθόνιαι θεαὶ] ὦ Ἐριννύες. 1639. Θηρὸς] τοῦ Κερβέρου. 1641. Εὐνᾶσθαι] κοιμᾶσθαι. λείπει τὸ φασίν. ὁ γὰρ κύων τοιοῦτος, ὃν φασι κοιμᾶσθαι, κνύζεσθαί τε φασί. τοῦτο δὲ καὶ ἑξῆς αὐτὸς ἀποδέδωκεν, εἰπών, λόγος αἰὲν ἀνέχει. ἤρκει δὲ εἰ κατ' ἔλλειψιν ἐξενήνεκτο ὁ λόγος. 1643. Λόγος αἰὲν ἀνέχει] ἀντὶ τοῦ φασίν. 1644. Ὅν ὦ γᾶς παῖ] τὸν Κέρβερον (φησὶν) ἐξευμενίζομαι, τῷ ξένῳ ὁρμωμένῳ καὶ πειρῶντι νερτέρας νεκρῶν πλάκας, ἀβλαβῶς ὑπαντῆσαι.



Digitized by Google

Κατεύχομαι ἐν καθαρῷ
Βῆναι ὁρμωμένῳ
Νερτέρας τῷ ξένῳ νεκρῶν πλάκας.
Σέ τοι κικλήσκω τὸν αἰένυπνον.

Αγ. Ἄνδρες πολῖται, ξυντομωτάτως μὲν ἂν
Τύχοιμι λέξας Οἰδίπουν ὀλωλότα·
Ἃ δ' ἦν τὰ πραχθέντ', οὔθ' ὁ μῦθος ἐν βραχεῖ
Φράσαι πάρεστιν, οὔτε τἄργ' ὅσ' ἦν ἐκεῖ.
Χο. Ὄλωλε γὰρ δύστηνος;
Αγγ. Ὡς λελοιπότα
Κεῖνον τὸν αἰεὶ βίοτον ἐξεπίστασο.
Χο. Πῶς; ἆρα θείᾳ κἀπόνῳ τάλας τύχῃ;
Αγ. Ταῦτ' ἐστὶν ἤδη κἀποθαυμάσαι πρέπον.
Ὡς μὲν γὰρ ἐνθένδ' εἷρπε, καὶ σύ που παρὼν
Ἔξοισθ', ὑφ' ἡγητῆρος οὐδενὸς φίλων,
Ἀλλ' αὐτὸς ἡμῖν πᾶσιν ἐξηγούμενος.
Ἐπεὶ δ' ἀφῖκτο τὸν καταῤῥάκτην ὀδὸν
Χαλκοῖς βάθροισι γῆθεν ἐῤῥιζωμένον,

1645. Κατεύχομαι ἐν καθαρῷ] ἐπανέλαβε. τῷ δὲ ἑνικῷ κέχρηται ἀντὶ τοῦ πληθυντικοῦ. λέγει γὰρ τὰς Εὐμενίδας. ταύτας δὲ οὕτω καὶ ἐν ἀρχῇ γενεαλογεῖ. 1648. Τὸν αἰένυπνον] ὑφ' ἓν ἀναγνωστέον αἰένυπνον, τὸν αἰείϋπνον, τὸν διὰ παντὸς κοιμώμενον. φησὶ δὲ τὸν Θάνατον. ὥσπερ δαίμονά τινα ὄντα. πρὸς πάντας γὰρ σχεδὸν τοὺς ὑποχθονίους τὴν παράκλησιν ἐποιήσαντο, τὸν Πλούτωνα, τὴν Περσεφόνην, τὸν Κέρβερον· καὶ νῦν πρὸς τὸν Θάνατον αὐτόν. 1649. Ἄνδρες πολῖται, ξυντομωτάτως] ἀντὶ τοῦ συντόμως. ἔστι δὲ ὁ ἄγγελος, εἷς τῶν ἀκολουθησάντων Θησεῖ θεραπόντων, καὶ ἀφῖκται ἵνα ἀπαγγέλλων τῶν πραχθέντων ἐπὶ τῆς ἐρημίας. οὐ γὰρ πάντα δυνατὸν ἦν θεάσασθαι. 1655. Κεῖνον τὸν αἰεὶ βίοτον] τὸ μακρὸν γῆρας, ἢ τὴν μακρὰν ζωήν. εἰώθασι γὰρ τὸ αἰεὶ καὶ

ἔτ

Precor *ut* placidè
Occurras eunti
Infernas hoſpiti *ad* manium regiones.
Te, inquàm, ſemper inſomnem voco.

IAMBI.

*Nu.* O cives, breviſſimis quidem
Poſſum nunciare mortuum eſſe Oedipum.
Quæ verò facta ſunt, neque brevibus
Dici queunt, neque negotia quæ illic fuerunt.
*Ch.* An periit infelix?
*Nu.* Reliquiſſe
Eum longam jam vitam ſcias. [*obiit?*
*Ch.* Quomodo? divinâ utrùm & facili fortunâ miſer
*Nu.* Hoc quidem jam admiratione dignum eſt.
Quo enim modo hinc abiit, & tu, qui aderas
Noſti, nemine amicorum ductore.
Sed ipſe nos omnes ducens.
Ubi verò adiit abruptam viam,
Æreis gradibus funditùs fulcitam,

ἐπ' ὀλίγου χρόνου τάσσειν. Ὅμηρος, —— ἔχων κότον ἐμμενὲς αἰεί. 1658. Ὡς μὲν γὰρ ἐνθένδ'] ὑπερβατόν. ὡς μὲν γὰρ ἐνθένδ' εἷρπεν, ὑφ' ἡγητῆρος οὐδενὸς φίλων, ἀλλ' αὐτὸς ἡμῖν πᾶσιν ἐξηγούμενος, καὶ σὺ παρὼν οἶδας. Ἄλλως. Ὑφηγητῆρος, κατὰ συναλοιφήν. λέγει δὲ ὅτι ὑπ' οὐδενὸς ἡγητῆρος. 1660. Ἐξηγούμενος] προηγούμενος. 1661. Ἐπεὶ δ' ἀφῖκτο τὸν καταῤῥάκτην ὀδὸν] ἀντὶ τοῦ οὐδόν. ὃν ἐν ἀρχῇ εἶπε χαλκόπουν οὐδὸν, τοῦτον νῦν ὀνομάζεται ἐκτὸς τῆς σκηνῆς, καὶ οὐκέτι ἐν ὄψει τοῦ θεάτρου καὶ νῦν καταῤῥάκτην προσηγόρευσε, διὰ τὸ νομίζειν ἐκεῖνον τὸν τόπον κατάβασιν ἔχειν εἰς ᾅδου, καί εἰσιν οἳ δι' αὐτῆς τὴν ἁρπαγὴν φασὶ τῆς Κόρης γενέσθαι.

Ἔστη κελεύθων ἐν πολυσχίστῳ μιᾷ,
Κοίλου πέλας κρατῆρος· οὗ τὰ Θησέως
Περίθου τε κεῖται πίστ' ἀεὶ ξυνθήματα·
Ἐφ' οὗ μέσου στὰς, τοῦ τε Θορικίου πέτρου,
Κοίλης τ' ἀχέρδου, κἀπὸ λαΐνου τάφου,
Καθέζετ'· εἶτ' ἔλυσε δυσπινεῖς στολάς.
Κἄπειτ' ἀΰσας παῖδας, ἠνώγει ῥυτῶν
Ὑδάτων ἐνεγκεῖν λουτρὰ καὶ χοάς ποθεν.
Τὼ δ' εὐχλόου Δήμητρος εἰς ἐπόψιον
Πάγον μολοῦσα, τάσδ' ἐπιστολὰς πατρὶ
Ταχεῖ πόρευσαν ξὺν χρόνῳ. λουτροῖς τέ νιν
Ἐσθῆτί τ' ἐξήσκησαν, ᾗ νομίζεται.
Ἐπεὶ δὲ παντὸς εἶχε δρῶντος ἡδονὴν,
Κοὐκ ἦν ἔτ' ἀργὸν οὐδὲν ὧν ἐφίετο,
Κτύπησε μὲν Ζεὺς χθόνιος, αἱ δὲ παρθένοι
Ῥίγησαν ὡς ἤκουσαν· ἐς δὲ γούνατα
Πατρὸς πεσοῦσαι, κλαῖον, οὐδ' ἀνίεσαν
Στέρνων ἀραγμοὺς, οὐδὲ παμμήκεις γόους.

1663. Κελεύθων ἐν πολυσχίστῳ] ὡς πλειόνων οὐσῶν τῶν ὁδῶν. 1664. Κοίλου πέλας κρατῆρος] τοῦ μυχοῦ. τὰ γὰρ κοῖλα οὕτως ἐκάλουν ἐκ μεταφορᾶς. ὅθεν καὶ τὰ ἐν τῇ Αἴτνῃ κοιλώματα, κρατῆρες καλοῦνται. λέγει δὲ δι' οὗ καταβῆναι φασὶ τὴν Κόρην ἁρπαγεῖσαν. Πειρίθου δέ φησι κεῖσθαι συνθήματα, ἤγουν ὑπομνήματα τῆς πίστεως ἧς ἔθεντο πρὸς ἀλλήλους περὶ τῆς εἰς ᾅδου καταβάσεως, ἀμάρτυρον δὲ εἰ διὰ τούτου τοῦ τόπου κατῆλθον. πιθανῶς δὲ ὁ Σοφοκλῆς πρὸς χάριν τῆς Ἀττικῆς φησὶν ἐνταῦθα τὴν εἰς ᾅδου κατάβασιν Οἰδίποδος γενέσθαι. 1666. Ἐφ' οὗ μέσου στὰς] ἀντὶ τοῦ, μεταξὺ τοῦ κρατῆρος, ὅ ἐστι τοῦ μυχοῦ, στὰς καὶ μηκέτι ὁδεύσας. Ib. Τοῦ τε Θορικίου πέτρου] ταῦτα γνώριμα τοῖς ἐγχωρίοις. Θόρικος δὲ δῆμος τῆς Ἀκαμαντίδος φυλῆς. 1667. Κοίλης τ' ἀχέρδου] ἀπὸ κοινοῦ τὸ στάς. κοίλης δὲ ἀχέρδου, τῆς τὸν πυθμένα ἐχούσης

Digitized by Google

Conſtitit viarum in unâ multifidâ,
Prope cavam voraginem, ubi Theſei
Pirithoique manent fida ſemper fœdera;
Ubi medius cum ſtetiſſet, inter Thoriciamque
petram,
Cavamque Acherdum, ibi in ſaxeo tumulo
Conſedit; deinde exuit ſqualidas veſtes.
Et poſtea advocatis filiabus juſſit vivæ aquæ
Eas afferre lavacra & libamina alicunde.
Illæ autem frugiferæ Cereris in conſpicuum
Collem profectæ, mandata patris
Brevi exequuntur tempore; lavacriſque eum
Veſteque ornant, ut lege præceptum eſt.
Cùm autem ex omni officio caperet voluptatem,
Nec erat quicquam jam omiſſum *eorum* quæ
Cupiebat, intonuit Jupiter terreſtris, virgines
Autem riguerunt *metu*, ubi audiverunt; cumque
Ad genua patris cecidiſſent, lugebant, neque
Intermiſerunt pectorum planctus, & longos admodum
ploratus.

ἐχούσης ὑπήκειον, σαπέντα. 1669. Ἠνώγει ῥυτῶν ὑδάτων ἐνεγκεῖν] ἐπὶ τῷ ἀφαγνισθῆναι αὐτὸν πρὸ τελευτῆς. 1666. Τά δ' εὐχλόου Δήμητρος] εὐχλόου Δήμητρος ἱερόν ἐστι πρὸς τῇ ἀκροπόλει. καὶ Εὔπολις Μαρικᾷ, Ἀλλ' εὐθὺ πόλεως εἶμι. θῦσαι γάρ με δεῖ Κριὸν χλόῃ Δήμητρι. ἔνθεν δῆλον ὅτι καὶ κριὸς θήλεια τῇ θεῷ ταύτῃ θύεται. οὕτω δὲ τιμᾶται ἐκ τῆς τῶν κήπων χλόης. θύουσι γὰρ αὐτῇ Θαργηλιῶνος ἕκτῃ, ἤτοι Σεπτεμβρίῳ. 1672. Ἐπιστολαῖς] ἐντολαῖς. πράξεις. 1674. Ἧι νομίζεται] ὡς νομίζεται ἐπὶ τοῖς νεκροῖς. 1677. Κτύπησε μὲν Ζεὺς χθόνιος] ἤγουν, μύκημα ἐγένετο, καὶ ἐσείσθη ἡ γῆ, προδηλοῦντος τοῦ θεοῦ τὸν καιρὸν ἐν ᾧ ἔδει ἀποθανεῖν τὸν Οἰδίποδα. πάνυ δὲ σεμνῶς τὸ χθόνιος εἴρηκε. 1679. Οὐδ' ἀνίεσαν] οὐκ ἀνέπεμπον.

Ὁ δ', ὡς ἀκούει φθόγγον ἐξαίφνης πικρὸν,
Πτύξας ἐπ' αὐταῖς χεῖρας, εἶπεν, ὦ τέκνα,
Οὐκ ἔστ' ἔθ' ὑμῖν τῇδ' ἐν ἡμέρᾳ πατήρ.
Ὄλωλε γὰρ δὴ πάντα τὰ μὰ, κοὐκέτι
Τὴν δυσπόνητον ἕξετ' ἀμφ' ἐμοὶ τροφήν·
Σκληρὰν μὲν οἶδα, παῖδες· ἀλλ' ἓν γὰρ μόνον
Τὰ πάντα λύει ταῦτ' ἔπος μοχθήματα.
Τὸ γὰρ φιλεῖν οὐκ ἔστιν ἐξ ὅτου πλέον
Ἢ τοῦδε τἀνδρὸς ἔσχεθ'· οὗ τητώμεναι,
Τὸν λοιπὸν ἤδη βίοτον αὖ διάξετον.
Τοιαῦτ' ἐπ' ἀλλήλοισιν ἀμφικείμενοι,
Λύγδην ἔκλαιον πάντες. ὡς δὲ πρὸς τέλος
Γόων ἀφίκοντ', οὐδ' ἔτ' ὠρώρει βοὴ·
Ἦν μὲν σιωπὴ, φθέγμα δ' ἐξαίφνης τινὸς
Θώϋξεν αὐτὸν, ὥστε πάντας ὀρθίας
Στῆσαι φόβῳ δείσαντας ἐξαίφνης τρίχας.
Καλεῖ γὰρ αὐτὸν πολλὰ πολλαχῇ θεός.
Ὦ οὗτος, οὗτος Οἰδίπους, τί μέλλομεν
Χωρεῖν; πάλαι δὴ τἀπὸ σοῦ βραδύνεται.
Ὁ δ', ὡς ἐπήσθετ' ἐκ θεοῦ καλούμενος,
Αὐδᾷ μολεῖν οἱ γῆς ἄνακτα Θησέα.
Κἀπεὶ προσῆλθεν, εἶπεν, ὦ φίλον κάρα,
Δός μοι χερὸς σῆς πίστιν ἀρχαίαν τέκνοις,

1682. Πτύξας] περιπλέξας. 1685. Δυσπόνητον τροφὴν] γηροκομίαν. 1688. Τὸ γὰρ φιλεῖν, οὐκ ἔστιν ἐξ ὅτου] ἀντὶ τοῦ, οὐδεὶς πλέον ἐμοῦ ὑμᾶς ἐφίλησε. 1692. Λύγδην] λύζοντες. Ib. Ἔκλαιον πάντες] ἀντὶ τοῦ ὁμοῦ πάντες. κατ' ἐπικράτειαν δὲ πάντας φησὶν, ἑνὸς μὲν ὄντος ἀρ-

Digitized by Google

Ille verò, ut audit sonum repente acerbum,
Amplexus eas manibus, dixit, O filiæ,
Non amplius est vobis hac in die pater,
Periere enim omnia mea, nec amplius
Laboriosam habebitis mei alendi curam.
Duram quidem *fuisse* novi, filiæ; sed unum
Modo omnes has mollit verbum molestias:
Amorem enim nullus est ex quo majorem
Quàm ab hoc viro consecutæ estis, quo orbatæ
Reliquam jam vitam exigetis.
Talia se invicem amplexi
Miserè omnes flebant. ubi verò ad terminum
Venere flendi, neque amplius orta est vociferatio,
Erat quidem silentium, sed vox subito cujuspiam
Vocavit illum, adeo ut omnibus erecti
Starent metu perculsis subito pili.
Vocat enim eum multoties Deus,
Heus, heus, Oedipe? quid cunctamur
Ire? Jampridem tu in morâ es.
Ille verò simul ac sensit *se* a Deo vocari,
Jubet venire *ad* se terræ regem Thesea.
Qui ubi accessit, dixit, O charum caput, da
Meis manûs tuæ pristinum pignus filiabus,

ἄῤῥενος, τοῦ Οἰδίποδος, δύο δὲ τῶν θηλειῶν. ὅμοιον τῷ, Μοῦσαι καλαὶ, κ᾽ Ἀπόλλον, οἷς ἐγὼ σπένδω. 1695. Θωΰξεν] ἐκάλεσεν. ἐβόησεν. 1701. Αὐδᾷ μολεῖν οἱ γῆς] ἀντὶ τοῦ πρὸς αὐτόν. 1703. Πίστιν ἀρχαίαν] διὰ τοῦ ἀρχαίαν βούλεται λέγειν ἀρχὴν πίστεως.

1708.

Digitized by Google

Ὑμεῖς τε παῖδες τῶδε. καὶ καταίνεσον
Μήποτε προδώσειν τάσδ' ἑκὼν, τελεῖν δ' ὅσ' ἂν
Μέλλῃς φρονῶν εὖ ξυμφέροντ' αὐταῖς ἀεί.
Ὁ δ' ὡς ἀνὴρ γενναῖος, οὐκ οἴκτου μέτα
Κατήνεσεν τάδ' ὅρκιος δράσειν ξένῳ.
Ὅπως δὲ ταῦτ' ἔδρασεν, εὐθὺς Οἰδίπους
Ψαύσας ἀμαυραῖς χερσὶν ὧν παίδων, λέγει,
Ὦ παῖδε, τλάσας χρὴ τὸ γενναῖον φρενὶ
Χωρεῖν τόπων ἐκ τῶνδε. μή μ' ἃ μὴ θέμις
Λεύσσειν δικαιοῦν, μηδὲ φωνούντων κλύειν.
Ἀλλ' ἕρπεθ' ὡς τάχιστα. πλὴν ὁ κύριος
Θησεὺς παρέστω μανθάνων τὰ δρώμενα.
Τοσαῦτα φωνήσαντος εἰσηκούσαμεν
Ξύμπαντες· ἀστακτὶ δὲ σὺν ταῖς παρθένοις
Στένοντες ὡμαρτοῦμεν. ὡς δ' ἀπήλθομεν,
Χρόνῳ βραχεῖ στραφέντες, ἐξαπείδομεν
Τὸν ἄνδρα, τὸν μὲν, οὐδαμοῦ παρόντ' ἔτι,
Ἄνακτα δ' αὐτὸν ὀμμάτων ἐπίσκιον
Χεῖρ' ἀντέχοντα κρατὸς, ὡς δεινοῦ τινὸς
Φόβου φανέντος, οὐδ' ἀνασχετοῦ βλέπειν.
Ἔπειτα μέντοι βαιὸν οὐδὲ σὺν χρόνῳ
Ὁρῶμεν αὐτὸν γῆν τε προσκυνοῦνθ' ἅμα,
Καὶ τὸν θεῶν ὄλυμπον ἐν ταὐτῷ λόγῳ.

1713. Δικαιοῦν] δίκαιον κρίνειν. 1717. Ἀστακτὶ] πολύστακτι. πολυδακρύτως. 1719. Στραφέντες ἐξαπείδομεν] ἴδιον αὐτοῦ τὸ πολλαῖς κεχρῆσθαι ταῖς προθέσεσι, παραφυλακτέον δὲ πῶς καὶ τὰ ἄρρητα ὑπ' ὄψιν ἤγαγεν ὁ ἄγγελος, ἐκ τῶν σχημάτων μηνύων. 1721. Ἄνακτα δ' αὐ-

Vosque filiæ huic *date*; & promitte quod
Nunquam proditurus sis hasce volens, sed facturus
Quæcunque putaveris fore utilia eis quovis tem-
Ille vero, ut vir generosus, absque lamentis [pore.
Promisit juramento se *illa* facturum hospiti.
Ubi vero hæc fecisset, protinus Oedipus
Infirmis manibus amplexus filias, ait,
O natæ, generoso oportet feratis animo
Hisce ex locis abire, neque quæ nefas postulare
Ut videatis, neque non audienda ut audiatis.
At abite quam celerrime, tantum Dominus
Theseus adsit, ut quæ sint agenda cognoscat.
Talia loquentem exaudivimus simul omnes,
Fusisque lacrymis una virgines
Gementes secuti sumus, ubi vero abieramus,
Paulo post conversi vidimus eum quidem virum
Nullibi ampliùs adesse,
Ipsum autem regem oculos tegentem,
Manu capiti opposita, utpote ingenti quopiam
Terrore offuso, nec ferendo oculis.
Deinde brevi, neque longo cum intervallo,
Videmus eum, terram simul adorantem
Et Olympum Deorum *sedem* iisdem precibus.

ϑ' αὐτὸν] τὸν Θησέα εἴδομεν κατὰ τοῦ κρατὸς ἔχοντα χεῖρα ἐπίσκιον ὀμμάτων, ὅ ἐστι, τῇ χειρὶ σκέποντα τοὺς ὀφθαλμοὺς, πρὸς τὸ μὴ θεωρῆσαι τὸ δεινὸν τοῦ πάθους· ἢ τὸ σχῆμα τῶν θαυμαζόντων ἐνδεικνύμενον. 1724.
Ἔπειτα μέντοι βαιὸν] ἀντὶ τοῦ, μετ' ὀλίγον. οὐ μετὰ πολύ. 1730.

Μόρῳ δ' ὁποίῳ κεῖνος ὤλετ', οὐδ' ἂν εἷς
Θνητῶν φράσειε, πλὴν τὸ Θησέως κάρα.
Οὐ γάρ τις αὐτὸν οὔτε πυρφόρος θεοῦ
Κεραυνὸς ἐξέπραξεν, οὔτε ποντία
Θύελλα κινηθεῖσα τῷ τότ' ἐν χρόνῳ·
Ἀλλ' εἴτις ἐκ θεῶν πομπὸς, ἢ τὸ νερτέρων
Εὔνουν διαςὰν γῆς ἀλύπητον βάθρον.
Ἀνὴρ γὰρ οὐ ςενακτὸς, οὐδὲ σὺν νόσοις
Ἀλγεινὸς ἐξεπέμπετ', ἀλλ' εἴτις βροτῶν
Θαυμαςός· εἰ δὲ μὴ δοκῶ φρονῶν λέγειν,
Οὐκ ἂν παρείμην οἷσι μὴ δοκῶ φρονεῖν.
Χο. Ποῦ δ' αἵ τε παῖδες, χοἰ προπέμψαντες φίλων;
Αγ. Αΐδ' οὐχ ἑκάς. γόων γὰρ οὐκ ἀσήμονες
Φθόγγοι σφε σημαίνουσι δεῦρ' ὁρμωμένας.

Αν. Αἶ, αἶ. φεῦ. ἔςιν ἔςιν νῶϊν δὴ
Οὐ τὸ μὲν, ἄλλο δὲ μὴ, πατρὸς ἔμφυτον
Ἄλαςον αἷμα δυσμόροιν ςενάζειν.
Ὧι τινι τὸν πολὺν
Ἀλλότε μὲν πόνον ἔμπεδον εἴχομεν,

1730. Κεραυνὸς ἐξέπραξεν] ἀπῶλεσ. 1732. Ἢ τὸ νερτέρων] ἢ τὸ νερτέρων γῆς πέδον εὔνουν διαςάν. ὅ ἐςι, χάσμα αὐτῷ εὔνουν ἐγένετο. 1733. Ἀλύπητον γράφεται ἀλάμπετον. 1735. Ἀλλ' εἴτις βροτῶν] ὡς οὐδεὶς ἄλλος. 1736. Εἰ δὲ μὴ δοκῶ φρονῶν] εἰ δέ τις οἴεταί με μὴ φρονοῦντα λέγειν, οὐκ ἂν αὐτῷ συγχωρήσαιμι οὐδὲ συγκαταθείμην, ὅτι ταῦτα ὡς ἄφρων λέγω. 1737. Οὐκ ἂν παρείμην] παραχωρήσαιμι. 1738. Χοἰ προπέμψαντες] ἀντὶ τοῦ ὁ Θησεύς.

1741.

Digitized by Google

Quali autem fato ipse obierit, ne unus quidem
Mortalium dixerit, præter unum Thesea.
Neque enim aliquod illum ignitum Jovis fulmen
Confecit, neque marina
Procella, tunc temporis coorta:
Sed aut aliquis a Diis nuncius, vel ab inferis
Benevolus terræ hiatus, placido suscepit sinu.
Vir enim non dolendus, neque morbis oppressus
Abiit, sed, siquis alius mortalium, jure admirandus.
Si cui vero hæc videor non mentis compos dicere,
Non cessero iis quibus mentis impos videor.

*Ch.* Ubi vero sunt filiæ, &, qui comitati sunt, amici?

*Nu.* Illæ non longe absunt: claræ enim lugentium
Voces indicant eas prope accedere.

PERICOMMATA. STROPHE. I.

*An.* Heu, heu, nunc nunc nobis instat tempus
Infelicibus tam alia gemendi,
Quam patris nativum
Et intolerabilem sanguinem.
Unde ingentem & perpetuum habuimus antea

1737. Αἶ αἶ. φεῦ] αἱ θυγατέρες ἐν μέρει αὐτοῦ ἀπολοφύρονται, ἐφ' οἷς τε νῦν σὺν τῷ πατρὶ ἔπαθον, καὶ ἅπερ ἐκδέξεται αὐτάς. καὶ ἐστὶ τὰ ἐφεξῆς τοῦ δράματος οὐκ εὐκαταφρόνητα. τὸ ἑξῆς, ἐστὶ νῷν στενάζειν οὐ τὸ ἔμφυτον μὲν πατρὸς αἷμα, ἄλλο δὲ μή, ἀλλὰ πολλὰ δηλονότι.
1741. Ἀλλότε μὲν πόνον] πρότερον μέν τινα ἐπάσχομεν ἐπὶ τῷ πατρί· τὸ δὲ πύματον τοῦτο καὶ ἔσχατον τὸ κατὰ τὴν ἀφάνισιν αὐτοῦ, οὕτω παράδοξόν ἐστιν ὡς μηδὲ λόγον εὑρέσθαι ἐπ' αὐτῷ δυνατὸν εἶναι.

Ἐν πυμάτῳ δ' ἀλόγιςα παροίσομεν
Ἰδόντε ϗ παθοῦσα.

Χο. Τί δ' ἐςίν;
Αν. Οὐκ ἔςιν μὲν εἰκάσαι, φίλοι.
Χο. Βέβηκεν;
Αν. Ὡς μάλις' ἂν εἰ πόθῳ λάβοις.
Τί γὰρ, ὅτῳ μήτ' ἄρης
Μήτε πόντος ἀντέκυρσεν,
Ἄσκοποι δὲ πλάκες
Ἔμαρψαν ἐν ἀφανεῖ
Τινὶ μόρῳ φαινόμεναι;
Τάλαινα. νῶϊν δ' ὀλεθρία
Νὺξ ἐπ' ὄμμασι βέβηκε.
Πῶς γὰρ, ἤ τιν' ἀπίαν γᾶν, ἢ
Πόντιον κλύδων' ἀλώμεναι, βίου
Δύσοιςον ἕξομεν τροφάν;

1746. Ἀλόγιςα] ἀδιήγητα κακὰ βαςάζομεν. 1747. Ἰδόντε ϗ παθοῦσα] ἀντὶ τοῦ ἰδοῦσαι ϗ παθοῦσαι· πολλαχοῦ δὲ τῷ σχήματι χρῆται, ἀντὶ τῶν θηλυκῶν τὰ ἀῤῥενικὰ τιθεὶς ϗ ἐν Ἠλέκτρᾳ, Ὦ τοῖσιν ἐχθροῖς εὖ βεβηκόσιν ποτὲ, Ψυχῆς ἀφειδήσαντε προὐςήτην φόνου. ϗ πάλιν, Ὅρα, κακῶς πράσσοντε, μὴ μείζω κακὰ Κτησώμεθα. ϗ Ὅμηρος, Τὼδε βάτην τρήρωσι πελειάσιν ἴθμαθ' ὁμοῖαι. ϗ Ἡσίοδος, Καὶ τότε δὴ πρὸς Ὄλυμπον ἀπὸ χθονὸς εὐρυοδείης Λευκοῖσιν φαρέεσσι καλυψαμένω χρόα καλὸν, Ἀθανάτων μετὰ φῦλον ἴτην, προλιπόντ' ἀνθρώπους, Αἰδὼς ϗ Νέμεσις. 1749. Οὐκ ἔςι μὲν εἰκάσαι] οὐδὲ εἰκόνα ἔχω λαβεῖν τοῦ πάθους. 1751. Ὡς μάλις' ἂν εἰ πόθῳ λάβοις] ὡς

ἂν

Laborem, ſed nunc denique omnem modum
Excedentia ferimus mala, videnteſq. & patientes.

### Systema I.

*Ch.* Quidnam id eſt;
*An.* Nequit, O amici, conjici.
*Ch.* Obiitne?
*An.* Sic quidem ut noſſe tu deſideres.
Quid enim? ut pote quem neque bellum
Neque pontus ſuſtulit,
Sed ignotæ regiones
Obſcuro quodam fato abripuerunt.
Heu miſera. nobis autem exitialis
Nox oculis oborta eſt.
Quo enim modo, qua terra peregrina,
Vel mari tumido vagantes,
Gravem vitæ alimoniam
Nanciſcemur?

ἂν ἐπιποθήσαις τὸν τρόπον τῆς τελευτῆς μαθεῖν. ἢ, ὡς μάλιςα ἄν τις ποθήσαι μαθεῖν ὅπως βέϐηκεν, οἷ παραδόξως. καὶ ἐπιφέρει τὴν αἰτίαν τοῦ παραδόξου δοκοῦντος εἶναι. 1752. Τί γὰρ ὅτῳ μήτ' ἄρης] πρὸς τὸ ἄνω. τί γάρ ἐςιν εἰκάσαι ἐκείνῳ, ᾧτινι μήτε πόλεμος μήτε νόσος ἐπῆλθεν, ἀλλ' ἀφανῶς διὰ χάσματος ἀπολομένῳ; 1757. Νῷιν δὲ] ἡμῖν. ἐμοὶ καὶ Ἰσμήνῃ. τὸ δὲ τάλαινα, διὰ μέσου ἀναπεφώνηται. 1759. Πῶς γάρ, ἢ τίν' ἀπίαν γᾶν] ποῦ γῆς πλανηθεῖσαι, τροφῆς τύχοιμεν; ἀπίαν γᾶν, τὴν μακρὰν καὶ ἄποθεν οὖσαν. 1761. Δύσοιςον] τὴν δυσπόριςον. ἵν' ᾖ τοῦ πάθους ἐπίτασις, ὅτι εἰ καὶ τροφῆς εὐπορήσομεν, ἀηδῶς προσοισόμεθα, τοῦ πατρὸς ἐςερημέναι.

§ Σχημ. Τρικλ. 1757. Νῷιν] συνίζησις.

 [1767.

Ισ. Οὐ κάτοιδα. κατά με φόνιος
Ἀΐδας ἕλοι πατρὶ
Ξυνθανεῖν γεραιῷ
Τάλαιναν· ὡς ἔμοιγ' ὁ μέλλων
Βίος οὐ βιωτός.

Χο. Ὦ δίδυμα τέκνων ἄριστα,
Τὸ φέρον ἐκ θεοῦ, καλῶς
Χρὴ φέρειν, μηδ' ἄγαν οὕτω
Φλέγεσθον· οὔ-
τοι κατάμεμπτ' ἔβητον.

Αν. Πόθος καὶ κακῶν ἄρ' ἦν τις.
Καὶ γὰρ ὃ μηδαμῆ δὴ τὸ φίλον, φίλον,
Ὁπότε γε καὶ τὸν ἐν χεροῖν κατεῖχον.
Ὦ πάτερ, ὦ φίλος,
Ὦ τὸν ἀεὶ κατὰ γᾶς σκότον εἱμένος.
Οὐδὲ γέρων ἀφίλητος ἐμοί ποτε·

1767. Ὦ δίδυμα τέκνων] ταῦτα ὁ χορὸς, παραινῶν ἐμμένειν τοῖς ἐγνωσμένοις παρὰ θεῶν. φέρειν γὰρ (φησὶ) χρὴ τὸ ἐκ θεῶν εἱμαρμένον καλῶς. 1769. Μηδ' ἄγαν οὕτω φλέγεσθον] ἀντὶ τοῦ μὴ ἄκρως φλέγεσθε, τὸ ἐκ τοῦ θεοῦ συμβὰν δυσανασχέτως φέρουσαι. 1771. Οὔτοι κατάμεμπτα] οὐκ ἐν τοιούτοις ἐστὲ ὥστε καταμέμφεσθαι. ἤτοι ὡς ἂν ἐπικουφίζοντος αὐταῖς τὴν συμφορὰν τοῦ βασιλέως. ἢ, ὅτι οὐκ ἐν χείροσι νῦν ὑμῶν ἔσται τὰ πράγματα. 1772. Πόθος καὶ

κακῶν

### Strophe II.

*If.* Ego quoque nefcio. utinam me fatalis
Rapiat orcus miferam,
Ut cum nieo fene parente
Commoriar. Mihi enim
Quæ fupereft vita, non eft vitalis.

### Systema II.

*Ch.* O geminæ filiarum optimæ,
Quodcunq. a Deo venit recte tolerare convenit;
Neque adeo nimis angamini,
Non enim queftu veftro digna
Vobis evenerunt.

### Antistrophe I.

*An.* Eft ergo malorum aliquid defiderium. [fuit,
Etenim quod neutiquam erat gratum, gratum
Quam diu illum in manibus tenerem vivum.
O pater, O chare pater,
Sempiternis fub terra tenebris cooperte.
Senex licet effes, mihí tamen charus eras,

κακῶν ἄρ' ἦν τις] οἱ μὲν περὶ τὸν χορὸν παραμυθεῖσθαι πειρῶνται αὐτάς. αἱ δὲ οὐδὲν ἧττον ἐπὶ τὰ ἑαυτῶν χωρῦσι, καὶ ὀλοφύρονται· καί φασιν, ἦν ἄρα τις καὶ κακῶν πόθος· ὡς ἡμεῖς ἐν κακοῖς ὄντος τῦ πατρὸς καὶ μὴ ὁρῶντος, ἐστέργομεν αὐτὸν, καὶ νῦν μὴ παρόντα ποθῦμεν, ὡς ὅτε ἐν χεροῖν κατεῖχον τὸν Οἰδίποδα, περιέστελλον καὶ ἐθεράπευον. Ἢ οὕτως καὶ γὰρ δυστυχῦντα τὸν πατέρα ἐποθῦμεν θεραπεύειν, καὶ νῦν μὴ παρόντα ποθῦμεν. 1777. Γέρων ἀφίλητος] λείπει τὸ ἦς.

1778.

Καὶ τάδε μὴ κυρήσῃς.

Χο. Ἔπραξεν οἰῶ.
Αν. Ἔπραξεν οἷον ἤθελε.
Χο. Τὸ ποῖον;
Αν. Ἇς ἔχρῃζε γᾶς ἐπὶ ξένας
Ἔθανε· κοίταν δ᾽ ἔχει
Νέρθεν εὐσκίαστον αἰὲν,
Οὐδὲ πένθος ἔλι--
π᾽ ἄκλαυτον. ἀεὶ γὰρ ὄμ-
μα σε τόδ᾽, ὦ πάτερ, ἐμὸν
Στένει δακρύῤῥοον· οὐδ᾽ ἔχω
Πῶς με χρὴ τὸ σὸν τάλαιναν
Ἀφανίσαι τοσόνδ᾽ ἄχος· ἰὼ, μὴ
Γᾶς ἐπὶ ξένας θανεῖν ἔχρῃζες, ἀλ-
λ᾽ ἔρημος ἔθανες ὧδέ μοι.

Ισ. Ὦ τάλαινα, τίς ἄρα με πότμος
Αὖθις ὧδ᾽ ἔρημος, ἄπορος,
Ἐπιμένει, σέ τ᾽, ὦ φίλα,
Πατρὸς ὧδ᾽ ἐρήμας;

1778. Καὶ τάδε μὴ κυρήσῃς] καὶ ταῦτ᾽ μὴ γένοιό μοι ἄφιλος. 1782. Ἇς ἔχρῃζε γᾶς] ἐφ᾽ ἧς ἤθελε ξένης γῆς ἀπέθανε. 1790. Τοσόνδ᾽ ἄχος] τουτέστι, τὸ παρά σε ἄχος, τηλικοῦτόν ἐστιν. Ib. Ἰὼ, μὴ]

Nec mihi charus esse desines.

### Antisystema. I.

*Ch.* Effecit igitur.
*An.* Effecit quod voluit.
*Ch.* Quale autem?
*An.* Qua cupiit, peregrina in terra
Mortuus est, tumulumque habet sub terra
Umbrosum semper, neque dolorem reliquit
Non dolendum, semper enim
Hicce oculus, O pater, meus
Lachrymis plorat stillantibus,
Neque scio quonam modo oporteat me
Miserrimam tantum dolorem animo eximere.
Hei mihi!
Heu peregrino in solo non debuisses emori,
Sed sic desertus mihi mortuus es

### Antistrophe. I.

*Ism.* O misera! quæ me fortuna jam manet
Ita deserta consiliique inops
Teque, O chara, a
Patre jam desertas?

μοῖ] τὸ ἑξῆς, μὴ ἔχρῃζες. ἀντὶ τοῦ μὴ ὤφελες. 1792. Ἔρημος] μεμονωμένος τῶν συγγενῶν.

1797.

Καὶ τάδε μὴ κυρήσῃς.

Χο. Ἔπραξεν οὐῦ.
Αν. Ἔπραξεν οἷον ἤθελε.
Χο. Τὸ ποῖον;
Αν. Ἃς ἔχρῃζε γᾶς ἐπὶ ξένας
Ἔθανε· κοίταν δ' ἔχει
Νέρθεν εὐσκίαστον αἰὲν,
Οὐδὲ πένθος ἔλι-
π' ἄκλαυτον. ἀεὶ γὰρ ὄμ-
μά σε τόδ', ὦ πάτερ, ἐμὸν
Στένει δακρύῤῥοον· οὐδ' ἔχω
Πῶς με χρὴ τὸ σὸν τάλαιναν
Ἀφανίσαι τοσόνδ' ἄχος· ἰὼ, μὴ
Γᾶς ἐπὶ ξένας θανεῖν ἔχρῃζες, ἀλ-
λ' ἔρημος ἔθανες ὧδέ μοι.

Ισ. Ὦ τάλαινα, τίς ἄρα με πότμος
Αὖθις ὧδ' ἔρημος, ἄπορος,
Ἐπιμένει, σέ τ', ὦ φίλα,
Πατρὸς ὧδ' ἐρήμας;

1778. Καὶ τάδε μὴ κυρήσῃς] καὶ ταῦτ' μὴ γένοιό μοι ἄφιλος. 1782. Ἃς ἔχρῃζε γᾶς] ἐφ' ἧς ἤθελε ξένης γῆς ἀποθανεῖν. 1790. Τοσόνδ' ἄχος] τουτέστι, τὸ παρά σε ἄχος, τηλικοῦτόν ἐστι. Ib. Ἰὼ, μὴ]

Nec mihi charus esse desines.

### Antisystema. I.

*Ch.* Effecit igitur.
*An.* Effecit quod voluit.
*Ch.* Quale autem?
*An.* Qua cupiit, peregrina in terra
Mortuus est, tumulumque habet sub terra
Umbrosum semper, neque dolorem reliquit
Non dolendum, semper enim
Hicce oculus, O pater, meus
Lachrymis plorat stillantibus,
Neque scio quonam modo oporteat me
Miserrimam tantum dolorem animo eximere.
Hei mihi!
Heu peregrino in solo non debuisses emori,
Sed sic desertus mihi mortuus es

### Antistrophe. I.

*Ism.* O misera! quæ me fortuna jam manet
Ita deserta consiliique inops
Teque, O chara, a
Patre jam desertas?

μὴ] τὸ ἑξῆς, μὴ ἔχρηζες. ἀντὶ τοῦ μὴ ὤφειλες. 1792. Ἔρημος] μεμονωμένος τῶν συγγενῶν.

Χο. Ἀλλ᾽ ἐπεὶ ὀλβίως γ᾽ ἔλυσε
Τὸ τέλος, ὦ φίλαι, βίου,
Λήγετον τοῦδ᾽ ἄχους.
Κακῶν γὰρ οὔ-
τοι δυσάλωτος οὐδείς.

Αν. Πάλιν, φίλα, συθῶμεν.
Ισ. Ὡς τί ῥέξωμεν;
Αν. Ἵμερος ἔχει με.
Ισ. Τίς;
Αν. Τὰν χθονίαν ἑστίαν ἰδεῖν.
Ισ. Τίνος;
Αν. Πατρὸς, τάλαιν᾽ ἔγωγε.
Ισ. Θέμις δὲ πῶς τάδ᾽ ἐστί; μῶν δῆτ᾽ οὐχ ὁρᾷς;
Αν. Τί τόδ᾽ ἐπέπληξας;
Ισ. Καὶ τόδ᾽ ὡς.
Αν. Τί τόδε μάλ᾽ αὖθις;
Ισ. Ἄταφος ἔπιτνε, δίχα τε παντός.
Αν. Ἄγε με, καὶ τότ᾽ ἐναίρεξον.

1797. Ἀλλ᾽ ἐπεὶ ὀλβίως γ᾽ ἔλυσεν] ἐπεὶ ὁ Οἰδίπους εὐδαιμόνως ἀπέθανε, μὴ λίαν θρηνεῖτε. 1801. Δυσάλωτος οὐδεὶς] οὐδεὶς δύσληπτος, ἀλλ᾽ εὐάλωτος. 1803. Ὡς τί ῥέξωμεν] κατὰ κῶλα ἀλλήλαις διαλέγονται πάνυ παθητικῶς· καὶ μή τινι ἀπίθανον δόξῃ αἰνισσομένη, καὶ τὸ ἐπιθυμεῖν τὴν Ἀντιγόνην ὀπίσω ἰέναι ἐπὶ τὸν τοῦ πατρὸς τάφον,
μὴ

## ANTISYSTEMA II.

*Ch.* Sed quoniam feliciter saltem clausit
Ultimum, O charæ, vitæ diem,
Tollite dolorem, malorum
Enim nullus
Est immunis.

## MONOSTROPHICA.

*An.* Iterum, chara, abeamus.
*Is.* Quidnam facturæ?
*An.* Desiderium me tenet.
*Is.* Quale?
*An.* Terrestrem domum videndi.
*Is.* Cujus?
*An.* Patris. Heu me miseram.
*Is.* Quomodo vero fas est hæc *patrare*? An non [vides?
*An.* Quid propter hoc increpas?
*Is.* Cur? propter hoc, inquam.
*An.* Cur propter hoc rursus?
*Is.* Insepultus obiit, et absque omni.
*An.* Duc me eo, & tum confice.

μὴ ἐπισταμένη τὸ κατ' αὐτὸν ὅπως ἀπέθανεν· ἀλλὰ τὸ ἦθος ἐννοεῖ-ν τὸ παθητικὸν, καὶ ὃ μάλιστα πράττουσιν αἱ γυναῖκες ἐν τοῖς τοιούτοις συμπτώμασιν ἀεὶ, ἐπιφυλάττειν θέλουσαι τοῖς τῶν θανόντων τάφοις.
1809. Μῶν δῆτ' οὐχ ὁρᾷς] οὐχ ὁρᾷς καὶ τόδε, ὡς ἄταφος ἔπιτνε δίχα τε παντός; τὰ δὲ ἄλλα διὰ μέσου κατ' ἀκόλουθον τῆς Ἀντιγόνης.

Ισ. Αἲ αἲ δυστάλαινα· ποῖ δὴ —
Τ' αὖθις ὧδ' ἔρημος, ἄπορος,
Αἰῶνα τλάμων ἕξω;
Χο. Φίλαι, τρέσητε μηδέν.
Αν. Ἀλλὰ ποῖ φύγω;
Χο. Καὶ πάρος ἀπεφεύγετον
Σφῷιν τὸ μὴ πίτνειν κακῶς.
Αν. Φρονῶ.
Χο. Τί δῆθ' ὑπερνοεῖς;
Αν. Ὅπως μολούμεθ' ἐς δόμους οὐκ ἔχω.
Χο. Μηδέ γε μάτευε· μόγος ἔχει.
Αν. Καὶ πάρος· ἐπεὶ
Τοτὲ μὲν πέρα, τοτὲ δ' ὕπερθεν.
Χο. Μέγ' ἄρα πέλαγος ἐλάχετόν τι.
Αν. Ναὶ, ναί.
Χο. Ξύμφημι κ'αὐτός.
Αν. Φεῦ, φεῦ. ποῖ μόλωμεν, ὦ Ζεῦ;
Ἐλπίδων γὰρ ἐς τί με
Δαίμων τανῦν γ' ἐλαύνει.

Χο. Παύετε θρήνων, παῖδες. ἐν οἷς γὰρ

1821. Σφῷιν τὸ μὴ πιτνεῖν] κακῶς ἡ ἀντωνυμία, διὸ τὸ χ. 1834. Παύετε θρήνων, παῖδες] τῇ μὲν ἑρμηνείᾳ ἐπιστῆσαι, ἄξιον. τὸ δὲ τῆς διανοίας, ἀσαφές. φησὶ γὰρ ὁ χορὸς, μὴ θρηνεῖτε, ὦ παῖδες. νέμεσις γάρ ἐστι τοῦτον θρηνεῖν ᾧ τὰ τῆς τελευτῆς κατὰ χάριν ἀπέβη.

ὐ

Digitized by Google

*Is.* Heu miserrima; ubinam posthac deserta
Consiliique inops vitam
Misera exigam?

*Ch.* Amicæ, ne quid metuatis.

*An.* At quo fugiam?

*Ch.* Jam antea effugistis,
Ut ne quid mali accideret vobis.

*An.* Animo meditor.

*Ch.* Quid tandem meditaris?

*An.* Quomodo domum redeamus, plane ignoro.

*Ch.* Neque sollicite inquire: dolor habet.

*An.* Imo, & antea; quippe
Modo quidem ultra, modo supra modum.

*Ch.* Magnum sane pelagus sortitæ estis.

*An.* Imo, imo.

*Ch.* Idem quoque ego dico.

*An.* Heu, heu. Quo ibimus, O Jupiter?
Ad quam enim spem me
Deus jam impellit?

ANAPÆSTI.

*Ch.* Tollite luctus, puellæ; non enim decet

οὐ χρὴ οὖν τούτους πενθεῖν οἷς κεχαρισμένον ἐστὶ τὸ ἀποθανεῖν.

ΣΧΟΛ. ΤΡΙΚΛ. 1820. Καὶ πάρος ἀπεφεύγετον] καὶ πρώην, φησὶν, ὡς εἰς καταφυγήν τινα πρὸς τὰ ἐνταῦθα κατεφύγετε, καὶ τοιαῦτα εὕρατε, καὶ νῦν που ζητεῖτε καταφεύγειν.

Χάρις ἡ χθονία ξυναπόκειται.
Πενθεῖν οὐ χρή· νέμεσις γάρ.
Αν. Τέκνον Αἰγέως, προσπίτνουμέν σοι.
Θη. Τίνος, ὦ παῖδες, χρείας ἀνύσαι;
Αν. Τύμβον θέλομεν
Προσιδεῖν αὐταὶ πατρὸς ἡμετέρου.
Θη. Ἀλλ' οὐ θεμιτὸν σφι κεῖσε μολεῖν.
Αν. Πῶς εἶπας, ἄναξ κοίραν' Ἀθηνῶν;
Θη. Ὦ παῖδες, ἀπεῖπεν ἐμοὶ κεῖνος
Μήτε πελάζειν ἐς τούσδε τόπους,
Μήτ' ἐπιφωνεῖν μηδένα θνητῶν
Θήκην ἱερὰν ἣν κεῖνος ἔχει.
Καὶ ταῦτά μ' ἔφη πράσσοντα, καλῶς
Χώραν ἕξειν αἰὲν ἄλυπον.
Ταῦτ' οὖν ἔκλυε δαίμων ἡμῶν,
Χὠ πάντ' ἀΐων Διὸς ὅρκος.
Αν. Ἀλλ' εἰ τάδ' ἔχει κατὰ νοῦν κείνῳ,
Ταῦτ' ἂν ἀπαρκοῖ. Θήβας δ' ἡμᾶς
Τὰς Ὠγυγίους πέμψον, ἐάν πως
Διακωλύσωμεν ἰόντα φόνον
Τοῖσιν ὁμαίμοις.
Θη. Δράσω καὶ τάδε, καὶ πάνθ' ὅσα ἂν

1843. Ὦ παῖδες ἀπεῖπεν ἐμοὶ] παραφύλαξον τὴν τέχνην, πῶς αἱ μὲν εἰσὶ νέαι καὶ ἄπειροι τῶν κατὰ τὴν ὑπόθεσιν· ὁ δὲ Θησεὺς ἔνια λέγει τῶν εἰρημένων αὐτῷ ὑπὸ τοῦ Οἰδίποδος· τὰ δὲ τελευταῖα, καὶ δυσφατώτερα· καὶ οὐ ῥᾳδίως ἐστὶν αὐταῖν καταχρατῆσαι ἐν τῇ ἐξηγήσει. πεποίηται γὰρ ταῦται εἰς τὸ ἀσαφέστερον. 1851. Ἀλλ' εἰ τάδ' ἔχει κατὰ

νοῦν

Illos lugere quibus insepultis gratia reposta est.
Hoc enim foret invidentia.
*An.* Fili Aegei, ad tua accidimus genua.
*Th.* Quid, O puellæ, vultis a me confici?
*An.* Tumulum cupimus
Aspicere patris nostri.
*Th.* At neutiquam fas est tibi eo ire.
*An.* Quidnam dixisti, O rex Athenarum domine?
*Th.* O puellæ, interdixit mihi ille
Nequis hos adeat locos, neve
Quis mortalium alloquatur
Tumulum sacrum quem ille tenet.
Quæ si facerem, dixit me terram hanc
Habiturum semper incolumem.
Hæc a nobis Deus audivit, & Jovis
Juramentum quod audit omnia.
*An.* At hæc ita si illi placent,
Nobis quoque sufficiant. Nos autem ad Thebas
Mitte Ogygias, si quâ fortè
Prohibere possimus cædem
Fratribus imminentem.
*Th.* Faciam & hæc, & omnia

νοῦν κείνῳ] εἰ ἀρέσκει τούτῳ τὸ μὴ λεχθῆναι ἡμῖν ταῦτα, καὶ ἡμῖν ἀρκεῖ τὸ μὴ ἀκοῦσαι. 1885. Τοῖσιν ὁμαίμοις] Ἐτεοκλεῖ καὶ Πολυνείκῃ. 1857. Πρόσφορα] ἀντὶ τοῦ χρήσιμα.

¶ Σχημ. Τρικλ. 1837. Αἰγίως] συνίζησις.

Μέλλω

Μέλλω πράσσειν πρόσφορά θ' ὑμῖν
Καὶ τῷ κατὰ γῆς, ὃς νέον ἔῤῥει,
Πρὸς χάριν. οὐ γὰρ δεῖ μ' ἀποκάμνειν.
Χο. Ἀλλ' ἀποπαύετε, μήτ' ἐπὶ πλείω
Θρῆνον ἐγείρετε,
Πάντως γὰρ ἔχει τάδε κῦρος.

Digitized by Google

Quæcunque sum facturus, ut vobis sint utilia,
Utque huic qui sub terra est, qui nuper periit,
Gratificer. Non enim defatigari me oportet,
*Ch.* Sed jam quiescite, nec majora
Lamenta excitate, omnia enim hæc
Omnino sunt rata.

Digitized by Google

Digitized by Google

# NOTÆ

## IN

# OEDIPUM COLONEUM.

HAEC fabula magnoperè in laude & admiratione est, quam senex edidit Sophocles, gratificans & patriæ & curiæ seu populo suo, nam fuisse traditur Κολωνόθεν. —— Hujus fabulæ maximè admirantur dispositionem Græci, & stupendam videri volunt. CAMERARIUS.

V. 7. ξυνών. Legitur & παρών: Sed nostram hanc lectionem illi præfero, ut quemadmodum dicitur aliquis συνεῖναι γήρᾳ, eâdem formâ quâ συνεῖναι πενίᾳ pro συζῆν πενίᾳ, ita vicissim dicatur γῆρας συνεῖναι τινί. Nam χρόνος μακρὸς est γῆρας. H. STEPHANUS.

V. 9. Ἀλλ'—— Sunt qui Εἴ τινα βλέπεις interpunctionibus includant. H. STEPHANUS.

V. 10. Schol. l. 8. θύρας δ' ἐπίθεσθε βέβηλοι. Sic etiam in Justin. Mart. Λόγ. πρὸς Ἕλλην. p. 18. Edit. Rob. Steph. Exstat in Fragmentis Orpheo adscriptis, ubi Edit.

—— θύρας δ' ἐπίθεσθε βεβήλοις.

V. 15. πόλιν στέγουσι, ὡς ἀπ' ὀμμάτων πρόσω.

Sic Editiones. Lege στέγουσιν.

V. 16. ὡς ἀπεικάσαι. Legitur ὡς σάφ' εἰκάσαι. At mox habetur ὡς ἐπεικάσαι & rursum ἀπεικάσαι in *Trachin*. Legimus etiam in eadem Trag. ὥς τ' ἐπεικάζειν, & alibi Ἦ καὶ δάμαρτα τήνδ' ἐπεικάζων κυρῶ. H. STEPHANUS.

V. 35. τῶν ἀδηλοῦμεν. Scribitur & ἃ δηλοῦμεν. Sed perperam, meo judicio. Ut autem ἀδηλοῦμεν exponit Schol. ἀγνοοῦμεν, sic ἀδηλίαν Hesychius ἄγνοιαν. H. STEPHANUS.

V. 44. Τὸν δ' ἱκέτην. Lego τὸν ἱκέτην, postulante versu.

V. 51. προστρέπω. Scribitur & προτρέπω. Sed retinenda nostra lectio. In Ajac. 842. προτρέπω, ubi Ed. Turn. habet in margine προστρέπω, quam lectionem in contextum receptam fuisse mallem. Sic πρόστροπος & προστροπή, necnon προστρόπαιος

 cum

cum præpoſitione πρὸς dicuntur, & quidem ab hoc ipſo poëta. Habes in Oedip. Tyr. 41.

Ἱκετεύομέν σε πάντες οἵδε πρόστροποι,——

Et in Philoct. 770

Κἄμ' ὄντα σαυτοῦ πρόστροπον——

Quibus tamen in locis obſervandus eſt aliquantum diverſus hujus vocabuli uſus; nam in poſteriore πρόστροπον eſt planè idem quod ἱκέτην, ſupplicem: at in priore eſt adjunctum ad illud ἱκέται, (ἱσμὲν ἱκέται σου πρόστροποι) & exprimit geſtum ſupplicum, qui videlicet genibus eorum quibus ſupplicant advolvuntur. H. Stephanus.

V. 66. Καὶ κάρτα. Poſt κάρτα lubenter diſtinxerim, ut ſit, καὶ κάρτα (pro quo in proſâ καὶ μάλα) ſubaudito ex præcedente verſu ναίουσι τίνες: deinde ſequatur ἐπώνυμοί γε, reddaturque γε *et quidem*. H. Stephanus.

V. 72 Ὡς πρός τί λέξων —— *Quid ille dicturus aut moliturus ibit?*

V. 100.

Πρώταισιν ὑμῶν ἀντέκυρσ' ὁδοιπόρων.

Forſan. Πρώταισιν ὑμῖν ἀντέκυρσ' ὁδοιπορῶν.

V. 144. Δῆλον. Schol. Δηλῶ.

V. 146. Schol. l. 6. Poſt δυστυχής. forſan legendum, Ἄλλως. Τοῦτο——

V. 146. Scribitur & ὥρμων, ſed rectius ὤρμων. Item 152. pro κάθυδρος legitur & κάθυγρος. H. Stephanus.

V. 149. ὡς. Vocabulum ὡς verſus reſpuit, nec incommode poteſt abeſſe. Canterus.

V. 177. Προσβίβαζε. Eſt qui mavult Πρόβιβαζε.

V. 194. Legendum βραχύ σ' ὀκλάσας, *paulisper te inflectens*. ὀκλάσαι autem propriè jumentorum eſt in crura incumbentium. Camerarius.

V. 195. ἐμὸν. Meum eſt tuum greſſum moderari, teque componere accumbentem. Tuum igitur committe ſenile corpus dextræ amanti. Habent hæc multum geſtuum. Camerarius.

V. 205. Hæc ſunt plena affectibus, ἐμπαθέστατα. Nam Chorus geſtit cognoſcere advenam: ille abhorret commemorationem miſe-

miseriæ suæ. Crebræ negationes perturbati animi sunt indices. CAMERARIVS.

V. 216. μένεις. Legitur & βαίνεις, quod, si metri mensura admittat, malim. H. STEPHANVS.

V. 247. ὐ καλοῖς —— Displicet τὸ καλοῖς. Interpres in EDIT. LOND. *non cæcis*. tanquam legisset ὐκ ἀλαοῖς. quod tamen subabsurdum est; qui enim alium intuetur, cæcus esse non potest.

V. 265. —— τὸν καλύμενον ξένον. Forsan κακύμενον, *vexatum, afflictum*.

V. 267. Κἀμοὶ γέ πυ. Ita video exponi: Hæc fama ubi igitur in me comprobatur? Sed tunc πῦ fuerit. Video & retentâ scripturâ ironice dictum hoc accipi posse: ut sit, scilicet & in me ista confirmantur. CAMERARIVS.

V. 299. ταῦτά. fors. ταυτά.

V. 317. Στείχυσαν ἄσσον ἡμῶν, Αἰτναίας ἔπι——

Spondæus in pede quarto. Malim, ἧμιν, ultimâ brevi, vel, si vis, ἡμῖν, neque enim de accentibus litigabimus.

V. 321. ἢ γνώμη πλανᾷ; Sic Ed. Steph. Canter. Lond. Malo.

ἦ γνώμη πλανᾷ; vel, forsan,
—— ἢ γνώμη πλανᾷ,
Καὶ φημὶ κἀπόφημι.

V. 324. φαιδρὰ γῦν. Legitur & φαιδρὸν ὄν. sive autem φαιδρὰ sive φαιδρὸν legatur, non dubium est quin adverbialiter accipiatur pro φαιδρῶς: sed illam lectionem, non hanc, agnoscit Schol. H. STEPHANVS.

V. 325. Schol. Σημαίνει με. Puto Σαίνει με.

V. 334. δύσμορ' ὁρᾶν. In aliis δύσμορ' ἰσορᾶν. Sed molliorem versum efficit altera lectio. H. STEPHANVS.

V. 346. λόγοις. Legitur & λόγων, quod melius cum αὐτάγγελος convenire videtur. Alioqui dativus λόγοις dicetur respicere præcedentem dativum πόθοισι. H. STEPHANVS.

V. 348. Οἱ δ' αὖ. Pro αὖ ὅμαιμοι, seu αὖθ' ὅμαιμοι (ut habent quidam codices) est & alia lectio, sed nihil sensum immutans, Οἱ δ' αὐθόμαιμοι. Verum ante ποῖ in cæteris quoque editionibus posita est interpunctio, quæ tamen expungenda videri possit, si scholiastæ expositionem sequamur, qui ποῖ νεανίαι πονεῖν explicat πῦ τῦ πονεῖν εἰσι, (ita enim ibi repono, non sine quorundam exempl. auctoritate) jungens, ut opinor, ὅμαιμοι, seu αὐθόμαιμοι, cum νεανίαι: hoc modo, οἱ δ' αὖθ' ὅμαιμοι νεανίαι πῦ



Digitized by Google

τῦ ποιεῖν εἰσι; At ego vereor ne potius κακίαι jungatur cum ποιεῖν, ut subaudiatur præpositio κατὰ, perinde ac si diceret, ποῖ τὸ ἑαυτῶν κακιὰν ἐνδείκνυνται διὰ τῦ ποιεῖν; quæ mea expositio comprobatur iis quæ ab Oedipo subjunguntur, hos οἰκεῖοις, quos decebat ποιεῖν. Sic autem exponendo, reliquenda esset illa interpunctio. H. STEPHANVS. ποιεῖν. Malim, si divinare liceat, τὸ νῦν. CANTERVS. Mallem πόνων. EDIT. LOND.

V. 371. τίς σ' ἐξῆγεν οἴκοθεν ϛόλος,
*Quis te domo pepulit motus?*

V. 393. Ὡς αὐτίκ' —— Confusiuscula est structura: sed τιμὴ interdum pœnam significat. Dicit igitur: Polynices cum exercitu affore nuntiatur, qui Argivos in cœlum tollat nisi Thebas receperit, videlicet quum illæ se dediderint: nam si expugnandæ sint, id futurum cum immortali gloriâ Argivorum, quos jam victores spe præcepissent. ut talis ordo servetur, ὡς Ἄργος ἢ πρὸς ὐρανὸν βιϐῶν, ἢ Θήϐας καθίξων. Fortasse rectum et generaliter intelligi hoc modo: Qui vel afficiat detrimentis, vel extollat victoriâ seu Argivos seu Thebanos. CAMERARIVS.

V. 393. Schol. l. 11. ὑψώσω f. ὑψώσων

V. 401. Ποίοισι τύτοις. Hic locus interpretes turbavit. Nam quomodo nunc quærit quale oraculum editum sit, quum supra tenere se declaravit, quippe qui salutarem adventum suum Deorum voluntate esse dixerit Atheniensibus? volunt igitur duplex accipiendum oraculum: unum, Fore victores Oedipi susceptores eorum qui repulissent: alterum peculiariter datum Thebanis, quod juberet juxta Thebanum solum humari Oedipum. Hæc aliis confingi videntur: nam nullius poëtæ aut fide digni scriptoris testimonio confirmari. Sed ipse profecto poëta hoc loco tali quippiam innuit: idque nos intelligere, ut opinor, satis est. CAMERARIVS.

V. Θανόντ' —— Hic versus legitur & ita, Θανόντ' ἴσεσθαι κ̀ κατ' εὐνοίας χάριν. Pro εὐνοίας quædam Exemp. habuisse ἰυσοίας testatur Schol. H. STEPHANVS.

V. 418. μηδ' ἵν' ἂν σαυτῦ κρατῇς, *neque tamen ut tui juris sis.*

V. 421. L. Οὐκ

V. 427. ἡμιν. Legitur & ἐφ' ἡμῶν. Sed Schol. agnoscit ἡμῖν. H. STEPHANVS.

V. 445. καλήνυσιν. Legitur & κατήνεσεν, quod & ipsum convenire huic loco potest. H. STEPHANVS.

V. 453.

Digitized by Google

453. Τοῖωνἰκ'. In aliis τόθ' ἠνίκ', quod magis est usitatum. H. STEPHANVS.

V. 455. Οἱ τῦ φαῖρὸς. Videtur scribendum Ἐκ τῦ πάρος. CANTERVS.

V. 456. ἀλλ' ἔπυς σμικρῦ (sic) χάριν. Invenitur & ita, ἀλλ' ἀπ' ὐ σμικρῦ λόγυ, id est, saltem tuerentur me uno verbo: ut intelligamus ne oratione quidem defendisse patrem. Sed prior scriptura innuit, offensos filios a patre, illius curam abjecisse. CAMERARIVS. quem vide.

V. 467. Παλαίφαθ', ἅ μοι Φοῖβος ἤνυσεν πόλι.
Forf. ἄγι vel ἄτε pro ἅ. vel, Παλαίφαῖα, ἅ μοι —— Ut *Trachin.* 161.

Ευνθήμαῖα, ἅ μοι ——————

V. 471. Σὺν ταῖσι. Videtur scribendum Σὺν ταῖσδε. CANTERVS.

V. 480. καῖέςειψας, *calcasti* κατέςειψας aliqui maluerunt, ut intelligatur supplicis ornatu advenisse. Nam ςέφειν coronare est. Præferebant autem supplices ramos. Sed prius simplicius videtur. CAMERARIVS.

V. 488. οἰοπόκῳ. Legitur & νεοπόκῳ, quæ lectio non minus commoda videtur quam altera: quia ut νεοπόκῳ post νεαρᾶς, sic οἰοπόκῳ post οἰὸς aliquid perissologiæ habet. Sed & pro λαβὼν legitur βαλών. H. STEPHANVS. Hic de duabus malis lectionibus, οἰοπόκῳ & νεοπόκῳ, unam facio bonam, legendo νεοπόκῳ. CANTERVS.

V. 503. ἀφίερπειν ἄςροφος, *nunquam te convertens.*

Virgilius *Ecl.* VIII. 101.

*Fer cineres, Amarylli, foras: rivoque fluenti,*
*Transque caput jace: ne respexeris.*

Ovidius *Fast.* V. 439.

*Hoc novies dicit, nec respicit. &c.* Ubi vide Neapol.

V. 512. ἐκτείνουσαν. Puto ἐκῖείνουσαν. CANTERVS. *Nov. Lect.* V. 25.

V. 517. Χρὴ "ςαι μ' ἐφευρεῖν. Malim Χρεί' ἐςι, ne συναλοιφὴν nimis duram admittamus. CANTERVS.

V. 523.

Digitized by Google

V. 523. Δεινὸν μὲν τὸ πάλαι, &c.

*Infandum —— jubes renovare dolorem.*

V. 531. Τό τοι πολύ. Sempiternum malum dicit cæcitatis. Sed video & sic accipi posse ut dicat Chorus se exquirere quod crebra & perpetua fama ferat: id est, historiam de Oedipo. idque verum judico. CAMERARIUS.

V. 589. Ὡς οἶδα γ' αὐτὸς, &c.

*Haud ignara mali miseris succurrere disco.*

V. 594. Ἔξοιδ' ἀνὴρ ὢν ——

*Homo sum, humani nihil a me alienum puto.*

V. 644. Καλῶς τι πρὸς σὲ ——
Forte Καλῶς τὰ πρὸς σὲ. —— *res tuæ.* ED. LOND.

V. 647. ἐκ σμικροῦ λόγου. Legitur etiam ἐκ μακροῦ χρόνου. H. STEPHANUS.
. 687. Οὐκ οἶσθ' ἀπυλάς ;
EDIT. LOND. Sine interrogatione.

V. 697. πρεῦπτεμψι. quædam exemplaria πρεῦτρεψι habent: & V. 733. θαλλὸν pro φυλλόν. H. STEPHANUS.

V. 627. Πρὸς τῶν ἐμαυτοῦ σπερμάτων. Filios suos vocat σπέρματα, iterumque. v. 1340. filiæ ejus σπέρματα dicuntur. Locus observatione dignus, vel propter illa verba Apostoli Pauli ad *Galat.* iii. 16. οὐ λέγει, Καὶ τοῖς σπέρμασιν, ὡς ἐπὶ πολλῶν, ἀλλ' ὡς ἐφ' ἑνὸς, καὶ τῷ σπέρματί σου, ὅς ἐστι Χριστός.
In *Philoct.* Neoptolemus sæpe vocatur σπέρμ' Ἀχιλλέως.

V. 723. ——οὐδὲ Μουσᾶν χοροί
Νιν ἀπεστύγησαν, οὐδ' αὖ
Ἁ χρυσάνιος Ἀφροδίτα.

Theocritus I. 140. ——ἔκλυσε δίνα
Τὸν Μώσαις φίλον ἄνδρα, τὸν οὐ νύμφαισιν ἀπεχθῆ.

V. 732. μεγίστα. Videtur scribendum μέγιστα. CANTERUS.
V. 733. Παιδοτρόφου. Ferunt victori in Panathenæis præmium datum oleum moriæ, ideoque παιδοτρόφον dictum crediderim

Digitized by Google

-diderim, nam & pueris erat in his certaminibus locus. Camerarius.

V. 747. Πρώταισι παῖσδ' ἔκτισας —— Videtur scribendum παῖσδε κτίσας. Canterus.

V. 752. Schol. προσιόντα —— μετὰ χαρᾶς. Puto legendum μετὰ χειρὸς, *cum copiis, cum comitibus*. Vide Schol. ad v. 1099.

V. 759. γέρων κυρῶ. In Schol. γέρων ἐγώ.

V. 764. Ὃν μή ποτ' ὀκνεῖτε. Sic Edit. H. Steph. Canter. & Londin. ut secundus pes sit anapæstus. Lego, ut in Schol. Ὃν μήτ' ὀκνεῖτε.

V. 768.

Ἀλλ' ἄνδρα τόνδε τηλίκον ἀπεςάλην ——

Versus laborat. Forsan τηλίκονγ' vel. τηλίκονδ'.

V. 770. ἀνδρῶν. Scribitur & ἀςῶν, quod malo. H. Stephanus.

V. 775.

Καλεῖ δικαίως· ἐκ δὲ τῶν πάντων ἐγώ.

In Schol. ἐκ δὲ τῶνδε μάλις' ἐγώ.

Forsan. ἐκ δὲ τῶν μάλις' ἐγώ. Antea dixerat — ὑπὸ πάντων κελευσθεὶς, unde petitum videtur Πάντων.

V. 790. Κύψον. In quibusdam cod. habetur κρύψον, sed videtur manasse hæc lectio & per errorem irrepsisse ex κρύπτειν, in v. 748. H. Stephanus. Κύψον. Johnson, *cede*. Ed. Lond. *abde te*. An vertendum, *Annue?*

V. 796. Ex Didymi sententiâ docent legendum πεῖρα, non πειρᾶ, ut sit, fraude & circumventione. Sed non est cur scripturam mutare velimus. Camerarius.

V. 820. ἄνατος. Ed. Turn. ἄναιτος, quam lectionem ego omnino repudiandam censeo, ut mendosam. At ἄνατος non apud Schol. solùm, verùm etiam apud Hesychium habetur: itidemque supra in *Antig*. H. Stephanus.

831. οἶδα γάρ σε ταῦτα μὴ πείθων. *Scio enim me hæc tibi persuadere non posse*. Ed. Lond. distinguit:

Ἀλλ', οἶδα γάρ σε ταῦτα μὴ πείθων, ἴθι,

833. εἰ. Legitur etiam ἢ τερποίμεθα: sed melior nostra lectio, nam durè jungeretur κακῶς cum τερποίμεθα. H. Stephanus.

V. 926.

Digitized by Google

847. *Testor hos* &c.
Johnsonus videtur legisse,

> Μαρτύρομαι τούσδ', ού σε, πρὸς γε τοὺς φίλους
> Οἵ ἀνταμείβῃ ῥήματ'. ἤν σ' ἕλω ποτὶ———

V. 916. τῆσδε γῆς ἀρᾶς. Impedita oratio. Forsan τῆσδε τῆς ἀρᾶς.

V. 926. βραδύς. Al. βαρύς, vel forte βραχὺς ut infra v. 932. Ed. Lond.

V. 935. Ζεύς. Imperfectus est hic iambicus versus. H. Stephanus.

V. 952. Οὔκουν. Non dubium est quin scribendum sit οὐκοῦν, pro οὐκ, cujus particulæ frequens est in Sophocle iste usus cum futuro. Sed & οὐκ ἂν cum optativo eundem usum habet, οὐκ ἂν φράσειας. Sic & οὐκοῦν ἂν εἴποις. H. Stephanus.

V. 961. ού μιθῆκ' ἄν. Legitur etiam ούκ ἀφῆκ' ἄν, eodem sensu. H. Stephanus.

971. στερίσασαι. In Schol. & in Camerar. παρίσασαι.

997. Οὐδεὶς ——— Civitatem dixerat: nunc ipsos ait, id est cives, ad significationem respiciens, non vocem. sciebam, inquit, nullam huic civitati intercedere conjunctionem cum meis, ut illos, invito me, alere velle deberent. Camerarius.]

V. 1041. διςομεῖν, Forsan δυςομεῖν, maledicere. Canterus. *Nov. lect.* viii. 15.

V. 1015. δοκεῖς; Crediderim esse expungendam interrogationis notam: ut sit, τοῦ δοκεῖς καθυβρίζειν τόδε, πότερον, &c. H. Stephanus.

1053. οἷς ἐγὼ οὐδὲ —— Rectius fortasse 'γὼ scribetur: qualis scriptura sæpe apud hunc quoque poëtam visitur in aliis vocibus. H. Stephanus. Vide Canterum ad *Philoct.* 537.

V. 1073. ἀμαυρῷ. Legitur & ἀφαυρῷ, quod malim hoc quidem in loco. H. Stephanus.

1140. Θεωρήσασα. Videtur scribendum Θεωρήσεις. Canterus.

1164. σῶμα βαςάσαι. Forte σῶμα μ' ἀσπάσαι. Edit. Lond.

V. 1175. 'Εμφῦτι. In nonnullis Cod. est ἐμφῦσα. sed retinere nostram lectionem debemus. H. Stephanus.

1181. ἐμφανέντ' — Alteram lectionem huic antepono, τέκν' εἰ φανέντ'. Et cum hic versus unà cum precedente in tria membra dividatur, ego contra unum esse puto, ponens videlicet hypostygmen

tantum post λιπαρὶς, hoc sensu, Ne mireris me tamdiu immorari his filiarum compellationibus, & amplexationibus, utpote quas præter spem receperim. Sed quum dixisset μὴ θαύμαζε πρὸς τὸ λιπαρὶς, velut hoc exponens subjungit, εἰ τέκνα φανέντα (pro τέκνων φανέντων: qui absoluti accusativi pro genitivo usus frequens est) μηκύνω λόγον. perinde ac si diceretur, μὴ θαύμαζε εἰ τούτοις τοῖς λόγοις προσλιπαρῶ, καὶ αὐτοὺς μηκύνω, τέκνα ἐμὰ παρ' ἐλπίδα ἀνακτησάμενος. Quare probare non possum quod apud Schol. legitur, videlicet λιπαρὶς expositum ἀρέσκον. Multo certè melius in Electrâ λιπαρεῖ χειρὶ exponit. (ubi tamen & aliam expositionem admittere potest.) Quod vero ad alteram illam expositionem attinet nominis λιπαρὶς, videlicet τὸ λίαν προσκεκαθικὸς τῆς ψυχῆς τοῖς τέκνοις, in eâ quidem ad ipsum etiam etymum respicitur, (nam παρὰ τὸ λίαν παρεῖναι dici λιπαρὶς, existimarunt veteres Grammatici) sed debuit potius hîc dicere, ni fallor, τὸ λίαν χρονίζον τῶν προσφθεγμάτων καὶ ἀσπασμῶν. H. STEPHANVS. Τέκνα φανέντα potest esse nominativus absolutus. Vide *Oedip. Tyr.* 60. & 101.

1116. Schol. κελεύσιμον. mendosum hoc fateamur necesse est. H. STEPHANVS.

V. 1196. Οὐκ ἔγωγέ σε.
Οὐδ' ἂν ἐάσω.

Fors. *Non ego te* ψαύσω, *contingam. Neque sinam te dextram mihi porrigere.* Sed obstare videntur sequentia.

V. 1205. Οὐ γὰρ λόγοισι ——

Æschylus:

Οὐ γὰρ δοκεῖν ἄριστος, ἀλλ' εἶναι θέλει. CAMERARIVS.

V. 1212. Λόγον —— Quædam exempl. habent Λόγος δ' ὃς ἐκπέπλωκεν. Ego ἐκπέπλωκεν apertè mendosum esse dico: (nec enim dubito quin ἐμπέπλωκεν ἐμοὶ sit, incidit in aures meas, illapsus est in aures.) At nec nomin. λόγος nec accus. λόγον satis placent, sed lubenter legerem λόγου, ut esset συμβαλοῦ γνώμην περὶ λόγου, subauditâ præpositione. H. STEPHANVS.

V. 1217. Ὡς μὴ εἰδότ'. Sic in omnibus exempl. quæ quidem videre mihi licuit: sed quum abundet una syllaba in hoc versu, videndum est an μὴ expungi, an η in eo elidi per apostrophum debeat: quam alioqui elisionem duram esse fateor. H. STEPHANVS.



Digitized by Google

PHANUS. Post ὡς delenda est dictio μή. CAMERARIUS. Est Synizesis. Sic *Trachin.* 325.

Καὶ ξυμφορά τις μὴ εἰδέναι σίγ' ἥτις εἶ.

Camerarius videtur putasse τὸ μὴ redundare, quia sequitur μηδὲν, sed apud Græcos duplex triplexque negatio sæpe occurrit, ubi Latini unam solent adhibere.

V. 1231. ἐπίσχες. Invenitur & alia lectio, εἶχες ἥπερ εἶ. Sed hanc mendosam esse censeo. nostræ autem sensus quidem est aptus, sed non satis mensuræ versus convenit. malo igitur ἴσχες. H. STEPHANUS. Emendatione forsan non est opus.

V. 1253. Totum locum sic refingo:

——— ὥστε ΜΗΔΕ δρῶντά σε
Τὰ τῶν κακίστων ΔΥΣΣΕΒΕΣΤΑΤ', Ὦ πάτερ,
ΘΕΜΙΝ σέ γ' εἶναι κεῖνον ἀντιδρᾷν κακῶς.
'Αλλ' ΕΑ ΑΥΤΟΝ.

Verba 'Αλλ' ΕΑ ΑΥΤΟΝ per crasin efferenda sunt 'Αλλ' ΗΥΤΟΝ.

DAWES Misc. Crit. p. 342.

V. 1256. 'Αλλ' αὐτὸν. Insigne est hoc ἀναπόδοτον, ac singulare. Vult enim hoc dicere, ἀλλ' αὐτὸν εἴκειν καὶ πειθόμενον ἐξιστάσθαι, &c. CANTERUS. Forte, ἔασον, *permitte*. ED. LOND. quam lectionem si admittas, erit synizesis; nam secunda in ἔασον longa est.

V. 1259. Jubet eum vetera evolvere, in quibus inventurus sit qualis soleat esse iræ exitus. Habere enim facilia & propria argumenta, nimirum cæcitatem CAMERARIUS. *Tu vero non jam illa specta Paterna & materna piacula, quæ sustinuisti; Quæ si sepones, tum sat scio* &c. EDIT. LOND.

V. 1260. πήμαθ' ἃ 'παθες. ἃ ἔπαθες reponendum censeo, ut fiat tribrachys. H. STEPHANUS.

V. 1277. αἰεὶ. Delendum αἰεὶ, ut congruat versus Antistrophico suo. EDIT. LOND.

V. 1289 Μὴ φῦναι. Est Græcis admodum celebris sententia. CAMERARIUS. quem vide.

V. 1313. Καὶ μὴν ὅδ' ἡμῖν, ὡς ἔοικεν, ὁ ξένος———
'Ανδρῶν μονωθεὶς δάκρυον ὧδ' ὁδοιπορεῖ.

Sic.

Digitized by Google

Sic *Antig*. 532. sed elegantiùs;

> Καὶ μὴν πρὸ πυλῶν ἥδ' Ἰσμήνη
> Φιλάδελφα κάτω δάκρυ' εἰβομένη.
> Νεφέλη δ' ὀφρύων ὕπερ, αἱματόεν
> Ῥέθος αἰσχύνει,
> Τέγγουσ' εὐῶπα παρειάν.

*Miltonus*, SAMSON AGONIST.

> *Yet on she moves, now stands and eyes thee fix'd,*
> *About t' have spoke, but now with head declin'd,*
> *Like a fair flow'r surcharg'd with dew, she weeps,*
> *And words addres's'd seem* [into] *tears dissolv'd,*
> *Wetting the borders of her silken veil.*

V. 1335. προσφορὰ δ' οὐκ ἔστ' ἔτι. *defensio non est*. EDIT. LOND. Alii, *Sera nimis est reprehensio*. *Alii*, *quæ commissa sunt, infecta fieri nequeunt.* Vide Schol.

V. 1342. δυσπρόσοιστον. Invenitur & δυσπρόσιτον, quod nescio an ferre versus possit. H. STEPHANVS.

V. 1346. Τὰ πολλὰ. Non dubito quin adverbialiter accipiatur pro *Plerumque*. Quod si quis ταπολλὰ conjunctim scribere malit, ei per me liberum erit. H. STEPHANVS.

V. 1347. ——δυσχεράναντ'——
Παρέσχε φωνὴν τοῖς ἀφωνήτοις τινά.

*Etiam mutis vocem dederunt*. Sic in Herodoto, I. 85. Crœsi παῖς ἄφωνος, — ὑπὸ δέους τε καὶ κακοῦ ἔῤῥηξε φωνήν. εἶπε δὲ, Ὤνθρωπε, μὴ κτεῖνε Κροῖσον.

Antigone, in cognomine tragœdia, quum fratrem sepelivisset, spreto Creontis edicto, ait, 917.

> Οὐ γάρ ποτ' οὔτ' ἂν εἰ τέκνων μήτηρ ἔφυν,
> Οὔτ' εἰ πόσις μοι κατθανὼν ἐτήκετο,
> Βίᾳ πολιτῶν τόνδ' ἂν ᾐρόμην πόνον. ——
> Πόσις μὲν ἄν μοι κατθανόντος, ἄλλος ἦν,
> Καὶ παῖς ἀπ' ἄλλου φωτὸς, εἰ τοῦδ' ἤμπλακον·
> Μητρὸς δ' ἐν ᾅδου καὶ πατρὸς κεκευθότοιν,
> Οὐκ ἔστ' ἀδελφὸς ὅστις ἂν βλαστοῖ ποτέ.

Hic etiam mirè convenit Sophocli cum Herodoto, III. 119. ubi uxor Intaphernis fratrem præ marito & liberis salvum cupit, aitque; ἀνὴρ μέν μοι ἄλλος γένοιτο, εἰ δαίμων ἐθέλοι, καὶ τέκνα ἄλ-



Digitized by Google

λτ, εἰ ταῦτα ἀποβάλλοιμι· πατρὸς δὲ καὶ μητρὸς οὐκ ἔτι μοῦ ζώντων, ἀδιλφειὸς ἂν ἄλλος οὐδενὶ τρόπῳ γένοιτο.

V. 1362. ἴσχυ. Legitur etiam ἴσχων, & paulo post v. 1365. ταύτην κλύω. quam lectionem malim. H. STEPHANVS.

V. 1378. Οἷος δορύσσους Ἀμφιάρεως ———

Pronunciabatur forsan Ἀμφάρεως. Vide Clarke ad Homer. Il. B. 811.

V. 1406. Βραχεῖ σὺν ὄγκῳ. Ferf. *Non magno molimine.*

V. 1406. πόνῳ. Invenitur & χρόνῳ. H. STEPHANVS.

V. 1430. μή μ' αὐτῷ. Repono μὴ 'μαυτῷ (i. e. ἐμαυτῷ) quod quædam exemplaria habent. H. STEPHANVS. Nisi procreassem has altrices meas filias, quod ad te quidem attinet, jam essem nullus: ut sit τὸ σὸν, κατὰ τὸ σὸν μέρος. CAMERARIVS.

V. 1438. ἐρείψεις. Multi Codices habent ἐροῖ τις. —— Sed nostram lectionem optimè cohærere puto, subaudiendo ὄψεται. ὡς αὐτίκ' ὄψεται, εἴπερ οἶδε λόχοι κινοῦνται &c. Quare? quia οὐκ ἔσθ' ὅπως ἐρείψεις ἐκεῖνο [τὸ ἄστυ,] ἀλλὰ πρόσθεν πεσῇ. &c. Sed pro ἐκεῖνο posuit κείνην πόλιν, ita poscente versu. H. STEPHANVS.

V. 1444. Τοιάδ'. In Edit. H. Stephani Τοιάδ'. Male.

V. 1454. τοῦ ταρτάρου. Scribitur & τοὺς ταρτάρους. at ego τὰ τάρταρα novi, τοὺς ταρτάρους ignoro. Sicui tamen hic accusativus pluralis admittendus videbitur, erit appositio, (ut grammatici vocant) sed dura, meo quidem judicio. H. STEPHANVS.

V. 1455. ὥς σ' ἀποικίσῃ. *ut te hinc in orcum migrare cogat.*

V. 1467. τινα. id est, πρός τινα. Nisi mavis τινι.

V. 1472. Θεῶν. Synizesis.

V. 1476. σφῷν. Synizesis, ut v. 1490. & sæpe.

V. 1498. δυσπότμος τι καὶ κακή. *etsi infelix.* Forte δύσποτμός γε. ED. LOND.

V. 1519. μοῖρα. Schol. sicut & quidam codices, legit μοῖρα. Idem verò paulo post pro τάδε πήματ' legisse videtur τὰ δὲ παρ' ἦμαρ. H. STEPHANVS.

V. 1523. ἐπεὶ —— Chorus vim & potestatem temporis agnoscere se fatetur, cujus decursu nunc hæc, nunc illa in sublime evehantur. Pro πήματα reponendum est παρ' ἦμαρ, quomodo Schol. legisse constat. Nec aliter versus postulat, si cum pari conferatur: tamen ut non syllabarum major habeatur, quam

Digitized by Google

quam temporum ratio, quod in Pindaro quoque metiendo præcipiunt Grammatici. Jam quem Scholiastes tenet consecutionis ordinem, ἐπεὶ ὁ χρόνος ὁρᾷ ταῦτα (quanquam pro ταῦτα & altero ὁρᾷ legit ὁρᾶταί τι) ἕτερα μὲν αὔξων ἄνω, τὰ δὲ παρ' ἦμαρ αὖθις: in eo nequaquam placet, quoniam aliud etiam in verbo ἐπεὶ subesse suspicor vicinum, & pro ἐπεὶ legerim ἐκεῖ, quod nec versui nocebit, & sensum atque consecutionem juvabit mirificè. Nam quod vulgo dicimus, per tempus nunc hæc nunc illa extolli, depressis aliis; id his verbis exprimetur pulcherrimè. ὁρᾷ ταῦτ' ἀεὶ χρόνος, ἐκεῖ μὲν τὰ ἕτερα δὲ παρ' ἦμαρ αὖθις αὔξων ἄνω. CANTERVS. *Nov. Lect.* VII. 11.

V. 1537. Τί μὰν ἀφήσει τέλος. In editis, quotquot vidi, nullo sensu legitur τέλος. Lege βέλος. Ita ἄλιον βέλος aliquoties apud Homerum. Forte & pro οὐκ ἄνιν. v. 1540. concinnius refingas οὐδ' ἄνιν. MISCELL. OBSERV. Vol. V. Tom. I. p. 88.

V. 1538. Δίδια τόδ' ——

Edit. Canteri,

Δίδια δ'. οὐ γὰρ ἄλιον ——

V. 1542. ἀποστροφή. Scriptum est in quibusdam Cod. ὑποστροφή. Sed ἀποστροφὴ pro ἀποφυγὴ novum non est: at ὑποστροφὴ contra planè novum, mihi quidem certè. H. STEPHANVS.

V. 1648. — τὸν αἰένυπνον. Johnson, *semper insomnem.* Ita etiam Interpres in Edit. Lond. qui *Cerberum* designari putat. Scholiastes *Mortem*. Deus *Somnus* dicitur *æternalis* apud Gruter. & Reines. Verùm, quomodocumque se res habeat, τὸν αἰένυπνον est *numquam insomnem.*

V. 1550 ἀφιλγής. Invenitur etiam ἀφθεγγής. quam vocem agnoscit & Schol. si non mentiuntur ejus Scholiorum exemplaria. Pro ἐναισίῳ autem quod habetur initio versus sequentis, legitur & ἐν αἰσίῳ. Fortasse autem ἐν αἰσίῳ potius scribendum est conjunctim. H. STEPHANVS.

V. 1564. ἀγίζων. Schol. Ἁγιάζων, ἀντὶ τοῦ ἁγίζων. Puto legendum, Ἁγίζων, ἀντὶ τοῦ ἁγιάζων.

V. 1586. ψευδόφημα. Legitur & ψευδόθεμα. Sed illam lectionem tutius, ut opinor, sequemur quam hanc. H. STEPHANVS.

V. 1596. Post μάλης distinguendum esse puto. H. STEPHANVS.

V. 1661.

V. 1616.

> Τῇδ' ὧδε τῇδε βᾶτε· τῇδε γάρ μ' ἄγει
> Ἑρμῆς ὁ πομπός. &c.

Hæc, & quæ mox narrantur de morte Oedipi, pulcherrima sunt. Ἄκρως δὲ καὶ ὁ Σοφοκλῆς ἐπὶ τοῦ θνήσκοντος Οἰδίπου καὶ ἑαυτὸν μετὰ διοσημείας τινὸς θάπτοντος πεφάντασται. *Longinus.* § 15.

V. 1661. Schol. l. 6. χαλκόπουν ὁδόν. Puto ὀδόν. Vide v. 58.

V. 1667. κἀπὸ. Lege κἀπὶ. CANTERVS. *Nov. Lect.* III. 3.

V. 1671. Τὼ δ'. In Schol. Τὰ δ'. ——

V. 1693. οὐδ' ἔτ'. Edit. Steph. οὐδέ τ'. Rectius, ut edidimus.

> V. 1707. Ὁ δ' ὡς ἀνὴρ γενναῖος, οὐκ οἴκτου μέτα
> Καθήνυσεν.

An legendum?

> ——ὡς ἀνὴρ γενναῖος ὤν, οἴκτου μέτα

Κατήνυσεν. *miseratione motus*. Philoct. 1096. —— γενναῖός περ ὤν. *Antig.* 1205. οὐκ ἄπειρος οὖσα. —— &c.

Certè οἶκτος non dedecorat virum magnum. vid. *Philoct.* 988. 1112.

V. 1712. μή μ' ἃ. Repono μηδ' ἃ, ut scribitur in quibusdam Cod. H. STEPHANVS.

V. 1732. ἢ τὸ. Annotatur etiam ἢ τις ex vet. cod. Ego autem vel ἢ τι, vel ἢ τὸ legendum puto. H. STEPHANVS.

V. 1740. μολοῦμεθ'. Legitur & μολοῦμ' ἐς. H. STEPHANVS.

V. 1741. μόγος ἔχει. Fortè οἴκοι. scil. domi. EDIT. LOND.

V. 1751. ἐν πόθῳ. Malim ἐν πόθῳ, vel εἰς πόθον, secundum alteram scripturam. CANTERVS.

V. 1756. φαινόμεναι; Quid sibi hoc velit, nescio. Fortasse, σαινόμεναι, *concussæ*; vel χαινόμεναι *dehiscentes*, si vox hæc non sit ποινηροῦ κόμματος. Favet nonnihil huic conjecturæ Scholiastes —ἀλλ' ἀφανῶς διὰ χάσματος ἀπολομένου. Sed ampliandum censeo.

V. 1770. τοῖσιν ὁμαίμοις. In Turn. Ed. annotatur ἴσως συνομαίμοις. At ego non intelligo quid necesse sit ὁμαίμοις in συνομαίμοις mutare, quum hic versus τοῖσιν ὁμαίμοις non minus erri

ferri posse videatur quam ille qui hujus fabulæ penultimus est. H. STEPHANUS.

V. 1771. —— καὶ πάνθ' ὅσα ἄν. Lege ὅσα γ' ἄν, euphoniæ causâ. EDIT. LOND.

V. 1778. τάδι. Invenitur & τᾷδι, nempe, γᾷ ut perinde sit ac si Antigone illi terram levem precaretur. H. STEPHANUS.

V. 1790. ἰὼ, μή. Dele ἰὼ quia turbat versum. EDIT. LOND.

V. 1794. Αὖθις. ——— Versus etiam hîc unus desideratur. CANTERUS.

V. 1803. ῥίξαιμεν. ῥιξόμεν' pro ῥιξόμεναι CAMERARIUS.

Corrigenda v. 318. Schol. l. 3. ἀφαρυμένη. L. ἀφαιρυμένη. v. 382. Schol. l. 3. ὃ. L. ὃ. v. 480. Schol. l. 7. κατεβάτυσας. L. καλιβάτιυσας. v. 527. Schol. l. 7. διλαίας. L. δειλαίας. v. 566. Φο. l. Χο. v. 743. Schol. l. 6. εὔπολον. L. εὔπωλον. v. 752. ἐπάνοις. l. ἐπαίνοις. v. 766. ἐπίσαμαι· dele colon. v. 780. χορεῦνα. l. χωρεῦνα. v. 782. ἦδ' ἡ. l. ἦδ' ἡ. v. 847. Schol. l. 2. ἀνλιμείβη. L. ἀνλαμείβη. v. 1041. δισοιμεῖν. l. δισομεῖν. v. 1103. Schol. l. 11. μυσυρίοις. L. μυστηρίοις. v. 1121. Θησιδᾶν. l. Θησειδᾶν. & in Schol. 1149. ὀπαδὸν. L. ὀπαδὸν. v. 1229. ἐγγενὴς. dele distinctionem. 1311. μέσσαν, dele comma. v. 1385. L. Παρθενοπαῖος. & in Schol. L. ὑ τὸν. 1385. Schol. l. 3. ὑν. l. ὑ. v. 1407. τοῖς. L. σοῖς. v. 1550. Schol. ἴσω. L. ἴσο. v. 1552. Schol. L. συνλύχοιμι. v. 1183. Schol. l. 4. δόξῃ. adde κὴ.

ΔΗΜΗ-

# ΔΗΜΗΤΡΙΟΥ ΤΟΥ ΤΡΙΚΛΙΝΙΟΥ

## ΠΕΡΙ Μέτρων οἷς ἐχρήσατο Σοφοκλῆς.

### Περὶ τῶν ἐν τῷ Αἴαντι μαστιγοφόρῳ μέτρων.

Vers. 1. ΑΕΙ μὲν] Εἴσθεσις τοῦ δράματος ἐκ συστηματικῶν ἐστὶ περιόδων· οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, ρλ΄. ὧν τελευτή, Θεοὶ φιλοῦσι καὶ στυγοῦσι τοὺς κακούς. ἑξῆς ἡ κορωνὶς ἐξιόντων τῶν ὑποκριτῶν.

134. Τελαμώνιε] Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται συστηματικὰ ἐξ ὁμοίων. σύστημα δέ ἐστιν (ὡς Ἡφαιστίων φησὶ) μέτρων συναγωγή, ἢ δύο ἢ πλειόνων, ἢ ὁμοίων ἢ ἀνομοίων. ἀνομοίων μέν, ὡς τὰ ἐλεγεῖα, (ἑξαμέτρου γάρ ἐστι πρὸς πεντάμετρον κοινωνία) καὶ ἡ ἐπῳδή· ἐξ ὁμοίων δέ ἐστιν, ἅπερ ὑπὸ ποδῶν ἢ συζυγίας ἢ περιόδου καταμετρεῖται, ἄνευ ἀριθμοῦ τινος ὡρισμένου. τὸ δὲ παρὸν μέτρον ἀναπαιστικόν ἐστι, λακωνικὸν καλούμενον, διὰ τὸ τὸν Λάκωνα Ἀλκμᾶνα πολλῷ τούτῳ χρήσασθαι. εἰσὶ τὰ μὲν δίμετρα ἀκατάληκτα· τὰ δὲ τῶν ἀποθέσεων, δίμετρα καταληκτικά, ἤτοι ἑφθημιμερῆ (ὃ μέτρον καλεῖται παροιμιακόν, διὰ τὸ πολλὰς παροιμίας τῷ τοιούτῳ μέτρῳ γεγράφθαι.) τὸ μέντοι δωδέκατον κῶλον, μονόμετρόν ἐστιν ἀκατάληκτον,



Digitized by Google

ὃ καὶ ἀναπαιστικὴ ὀνομάζεται βάσις, τὰ δὲ πάντα κῶλα τοῦ συστήματος, εἰσὶ λη. ὧν τελευταῖον, Σιγῇ πλήξειαν ἄφωνοι. ἡ παράγραφος ἐν ταῖς ἀποθέσεσι.

160. Μελὰ γὰρ] Οἱ προστιθέντες εἰς τὸ ἄρις' ἂν, τὸ δράσῃ, ϗ λέγοντες ἄρις' ἂν δράσῃ, ἀγνοοῦντες τὰ μέτρα τοῦτο προστιθέασι· σὺ δὲ τὸ ὀρθοῖτο ἀπὸ κοινοῦ λέγε. ὁμοίως ϗ μέγας ὀρθοῖτ' ὑπὸ μικρῶν, λέγε, οὐ μικροτέρων· ἑφθημιμερὲς γὰρ ὀφείλει εἶναι τὸ τοιοῦτο κῶλον, ὡς ἀποθετικόν. ἀλλὰ ϗ τὸ ἀπαλέξασθαι σοῦ χωρὶς, τοιοῦτον ὀφείλει εἶναι ἑφθημιμερὲς, ὡς ἀποθετικόν· διὸ τὸ ἄναξ ἐξεβλήθη παρ' ἐμοῦ.

172. Ἠ ῥά σε] Τὰ τοιαῦτα εἴδη τῶν χορῶν εἰσὶν ἐπῳδικά. ἐπῳδικὰ δὲ καλεῖται (ὡς Ἡφαιστίων φησὶν) ἐν οἷς ὁμοίοις ἀνόμοιόν τι ἐπιφέρεται δηλονότι. ἐπ' ἔλαττον μέντοι τοῦ τῶν τριῶν ἀριθμοῦ, ἤτοι στροφῆς ϗ ἀντιστροφῆς, ϗ ἐπῳδοῦ, οὐκ ἂν γένοιτο τὸ τοιοῦτον· ἐπὶ πλεῖον δὲ οὐδὲν αὐτὸ κωλύει ἐκτείνεσθαι. γίνεται δὲ ὥσπερ τριὰς ἐπῳδικὴ, οὕτω ϗ τετρὰς ϗ πεντὰς ϗ ἐπὶ πλέον, ὡς τὰ πλεῖστα Πινδάρου ϗ Σιμωνίδου πεποίηται. τῆς παρούσης δὲ στροφῆς τὰ κῶλα εἰσὶν ια· ϗ τὰ τῆς ἀντιστροφῆς, τοσαῦτα. τὸ α, δακτυλικὸν τετράμετρον· (κατὰ μονοποδίαν γὰρ μετρεῖται τὰ δακτυλικά.) τὸ δεύτερον, δακτυλικὸν πενθημιμερές· τὸ γ, τροχαϊκὸν ἑφθημιμερές· τὸ δ, ἀσυνάρτητον, ἐξ ἰαμβικοῦ διμέτρου βραχυκαταλήκτου, ϗ ἀναπαιστικοῦ πενθημιμεροῦς· τὸ ε, ἰαμβικὸν τρίμετρον ἀκατάληκτον· τὸ ς, ὅμοιον τῷ β· τὸ ζ, ἀσυνάρτητον, ἐξ ἰαμβικοῦ ϗ δακτυλικοῦ πενθημιμερῶν· (ὃ καλεῖται ἰαμβέλεγος) τὸ η, ὅμοιον ἤτοι ἰαμβέλεγος· τὸ θ, ἰαμβικὸν μονόμετρον ἀκατάληκτον· τὸ ι, προσοδιακὸν τρίμετρον καταληκτικὸν, ἐκ παίωνος δευτέρου, ἀντὶ ἰωνικοῦ ϗ χοριάμβου ϗ τροχαϊκῆς καταληκτικῆς· (καλεῖται δὲ οὕτως ὅτι ἐν ταῖς ἑορταῖς ἐν αἷς πρόσοδοι ἐγίνοντο, τοιούτοις μέτροις ἐχρῶντο) τὸ ια, ἰαμβικὸν πενθημιμερὲς, τοῦ δευτέρου ποδὸς ἀναπαίστου. εἶτα παράγραφος.

183. Οὔποτε] Ἀντιστροφὴ κώλων ια. Ἀλλ' ἄνα] Τοῦτο καλεῖται ἐπῳδὸς, διὰ τὸ ἐπᾴδεσθαι τῇ τε στροφῇ ϗ ἀντιστροφῇ, ἤγουν μετὰ τὴν στροφὴν ᾄδεσθαι. ἰστέον δὲ ὅτι τὴν μὲν στροφὴν κινούμενοι οἱ χορευταὶ πρὸς τὰ δεξιὰ ᾖδον· τὴν δὲ ἀντιστροφὴν, πρὸς τὰ ἀριστερά· τὴν δὲ ἐπῳδὸν, ἱστάμενοι ᾖδον. ἐδήλου δὲ (ὥς φασιν) ἡ μὲν στροφὴ τὴν τοῦ οὐρανοῦ ἐκ τῶν ἑῴων πρὸς τὰ δυτικὰ μέρη κίνησιν· ἡ δὲ ἀντιστροφὴ, τὴν τῶν πλανήτων, ὡς ἀπὸ δυσμῶν πρὸς ἕω γινομένην· ἡ δὲ ἐπῳδὸς τὴν τῆς γῆς στάσιν, ἱσταμένων τῶν χορευτῶν, ᾀδομένη. ἔστι δὲ τῆς παρούσης ἐπῳδοῦ τὰ κῶλα ζ· τὸ α, ἀσυνάρτητον, ἐκ δακτυλικοῦ πενθημιμεροῦς, ϗ ἰαμβικοῦ διμέτρου βραχυκαταλήκτου· (καλεῖται δὲ τοῦτο διπενθημιμερές) ἀλλ' ἐνταῦθα ἐλλείπει τὸ ἰαμβικὸν μιᾷ συλλαβῇ· τὸ β, ὅμοιον· τὸ γ, τροχαϊκὸν δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς, τοῦ γ ποδὸς δακτύλου· τὸ δ, τὸ ε ϗ τὸ ς, ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα· τὸ ζ, ἰωνικὸν ἀπ' ἐλάττονος τρίμετρον καταληκτικὸν τοῦ β ποδὸς παίωνος δευτέρου. τοῦ δὲ τρίτου ἰωνικοῦ καταληκτικοῦ. ἐπὶ τῷ τέλει κορωνὶς ϗ παράγραφος.

201.

201. Ναὸς ἀρωγοὶ] Τὰ τοιαῦτα εἴδη καὶ αἱ περίοδοι, καλοῦνται ἀνομοιόστροφα· ἀνομοιόστροφα δ' ἐστὶ (καθὰ Ἡφαιστίων φησὶν) ὅσα πάντως διαιρεῖται, ἢ κατὰ πρόσωπον ἀμοιβαῖον, ἢ χοροῦ πρὸς ὑποκριτὴν ἀπόκρισιν, ἢ κατὰ ἐφύμνιον, ἢ κατὰ ἐπῳδὸν, ἢ κατ' ἄλλο ἀναφώνημα. διαιρεῖται δὲ ἤτοι εἰς δύο, ἢ εἰς πλείω. ἐὰν μὲν οὖν εἰς δύο διαιρεθῇ, καλεῖται ἑτερόστροφον· ἐὰν δὲ εἰς πλείω, ἀλλοιόστροφον. εἰσὶ δὲ τὰ παρόντα ἑτερόστροφα καὶ συστηματικά. τοῦ πρώτου τοῦδε συστήματος τὰ κῶλα ζ. τὸ α, τὸ β καὶ τὸ γ, ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα· τὸ δ, δακτυλικὸν τετράμετρον, ἤτοι δίμοιρον ἔπους. (τὸ γὰρ δ τῶν ϛ δίμοιρον.) τὸ ε, ἀσυνάρτητον ἐκ δακτυλικῆς καὶ ἀναπαιστικῆς βάσεως· τὸ ϛ, ἀναπαιστικὸν μονόμετρον· τὸ ζ, ἀναπαιστικὸν δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς, ὃ καλεῖται παροιμιακόν. ἐπὶ τῷ τέλει παράγραφος.

208. Τί δ' ἐνήλλακται] Ἑτέρα στροφὴ μονόστροφος ἐξ ὁμοίων κώλων ἀναπαιστικῶν ϛ, ὧν τὸ δεύτερον, μονόμετρον· τὸ τε ϛ, ἑφθημιμερές· τὰ δὲ λοιπὰ, δίμετρα ἀκατάληκτα. εἶτα παράγραφος.

214. Πῶς δῆτα] Ἕτερον σύστημα κατὰ περικοπὴν κώλων ζ. ὧν τὰ γ, ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα· τὸ δ, ἀσυνάρτητον, ἐκ δακτυλικῆς καὶ ἀναπαιστικῆς βάσεως· τὸ ε, ὅμοιον τοῖς πρώτοις· τὸ ϛ, ὅμοιον τῷ δ· τὸ ζ, ἀναπαιστικὸν ἑφθημιμερές. ἐπὶ τῷ τέλει παράγραφος.

221. Οἵαν ἐδήλωσας] Τὰ τοιαῦτα εἴδη καλεῖται κατὰ σχέσιν. κατὰ σχέσιν δέ ἐστιν (ὡς Ἡφαιστίων φησὶν) οἷς ἀνταποδίδοται καὶ ἀνακυκλεῖται ἕτερα παρόμοια. εἰσὶ δὲ τὰ κῶλα τῆς παρούσης στροφῆς, ιβ· καὶ τὰ τῆς ἀντιστροφῆς, τοσαῦτα· τὸ α, ἀσυνάρτητον ἐξ ἰαμβικῆς καὶ τροχαϊκῆς βάσεως, ὃ καλεῖται περίοδος. δύο γὰρ ἴαμβοι καὶ δύο τροχαῖοι, περίοδος καλεῖται, ὅτι οὐκ ἔστι μέτρου τι εἶδος, ἀλλ' ἁπλῶς περίοδος καλεῖται, τὸ ὑπεράνω τῶν τεσσάρων συλλαβῶν σύστημα) τὸ β, δακτυλικὸν πενθημιμερές· τὸ γ, ἰαμβικὸν ἑφθημιμερές· τὸ δ, ὅμοιον τῷ β· τὸ ε, ἀναπαιστικὸν μονόμετρον· τὸ ϛ, ἀναπαιστικὸν ἑφθημιμερές· τὸ ζ, ὅμοιον τῷ α, ἤτοι περίοδος. (ἔχει δὲ δάκτυλον ἀντὶ τροχαίου) τὸ η, ἰαμβικὸν πενθημιμερές· τὸ θ, ἀντισπαστικὸν δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερές, ὃ καλεῖται φερεκράτειον, ἀπὸ Φερεκράτους τοῦ ἐφευρόντος αὐτό· τὸ ι, ὅμοιον τῷ η· τὸ ια, ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ὃ καλεῖται γλυκώνειον ἀπὸ Γλύκωνος τοῦ ἐφευρόντος αὐτό. τὸ ιβ, τροχαϊκὸν ἑφθημιμερές, τὸν γ ἔχων πόδα δάκτυλον. εἶτα παράγραφος καὶ διπλαῖ, διὰ τὸ εἶναι τῶν ἀνταποδιδομένων.

233. Ὦ μοι] Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς, κώλων ἀναπαιστικῶν ιβ· ὧν τὸ η, μονόμετρον· τὸ ιβ, ἑφθημιμερές· τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα. ἐπὶ τῷ τέλει παράγραφος.

245. Ὥρα τίν'] Τοῦτο ἀντιστροφή ἐστι τῆς ἄνω ῥηθείσης στροφῆς, ἧς ἡ ἀρχὴ, Οἵαν ἐδήλωσας. ἔστι δὲ κώλων ιβ, ὁμοίων κατὰ πάντα ἐκείνῃ. ἐπὶ δὲ τῷ τέλει οὐ τὰ αὐτὰ κεῖται σημεῖα, ἀλλὰ μόναι δύο διπλαῖ. ἐν μὲν γὰρ ταῖς στροφαῖς τῶν ἀλλοιοστρόφων τούτων συστημάτων, τῶν κατὰ περικοπὴν ἐχόντων συστήματα ἀνομοιομερῆ, ἐπὶ τοῦ τελευταίου κώλου, κατὰ μὲν τὴν

ἀρχὴν διπλῆ τίθεται ἔξω νενευκυῖα, ἐπὶ δὲ τῷ τέλει παράγραφος καὶ ἔσω νενευκυῖα διπλῆ, δηλῶσαι ὅτι τῶν ἀνταποδιδομένων εἰσὶν αἱ τοιαῦται στροφαί· ἐν δὲ ταῖς ἀντιστροφαῖς ἐπὶ τῷ τέλει τοῦ τελευταίου κώλου μόνη παράγραφος. ἐπὶ μέντοι τῆς τελευταίας ἀντιστροφῆς, ἐπὶ τοῦ τελευταίου κώλου, δύο μόναι τίθενται διπλαῖ, κατά τε τὴν ἀρχὴν τοῦ κώλου, καὶ κατὰ τὸ τέλος. ἀμφότεραι δὲ ἔξω νενευκυῖαι, δηλῶσαι ὅτι τέλος ἔσχε τὰ ἀνταποδιδόμενα. τί δὲ ἐστι παράγραφος, καὶ τί διπλῆ, καὶ τί κορωνὶς, θεωρείσθω ἐν τούτοις,

— < > ⸓

257. Οὐκέτι λαμ.] Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς, ἐν ἐκθέσει κώλων ἀναπαιστικῶν ἕξ· ὧν τὰ πέντε δίμετρα ἀκατάληκτα· τὸ δὲ ϛ, καταληκτικὸν, ἤτοι ἑφθημιμερές. εἶτα παράγραφος.

263. Ἀλλ' εἰ πέπαυται] Στίχοι εἰσὶν ἐντεῦθεν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι πϐ. ὧν τελευταῖος, Τὰ τοῦδε πράγη, καὐτὸς ὡς ἔχων κυρεῖ. περὶ τὸ τέλος δὲ τούτων κατὰ εἰσϐολὴν κόμματα τρία, ἃ καὶ δοκεῖ μοι ἀντισπαστικὰ εἶναι μονόμετρα ἀκατάληκτα· ὧν τὸ μὲν α, καὶ τὸ β, Ἰώ μοι μοι· τὸ δὲ γ, Ἰὼ παῖ παῖ. ἐν δὲ τῷ τέλει πάντων συνήθως ἡ κορωνὶς τίθεται.

348. Ἰώ μοι φίλοι] Τὰ τοιαῦτα εἴδη καὶ αἱ περίοδοι καλοῦνται ἀλλοιόστροφα, ὡς εἴρηται· εἰσὶ δὲ καὶ κατὰ σχέσιν. ἔστι γοῦν ἡ παροῦσα στροφὴ κώλων ἀντισπαστικῶν ϛ· ὧν τὰ ε, δίμετρα ἀκατάληκτα γλυκώνεια· τὸ δὲ ϛ, δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερὲς, ὃ καλεῖται φερεκράτειον. σύγκειται δὲ ἐξ ἀντισπάστων, διϊάμϐων καὶ διτροχαίων, καὶ ἐπιτρίτων καὶ χοριάμϐων· ἔχει δὲ ἀντιστροφὴν τὸ, Ἰώ μοι γένος ναΐας. ἐπὶ τῷ τέλει συνήθως παράγραφος καὶ διπλαῖ διὰ τὴν ἀνταπόδοσιν.

354. Οἴμ', ὡς ἔοικας] Σύστημα κατὰ περικοπὴν ἐκ δύο στίχων ἰαμϐικῶν τριμέτρων ἀκαταλήκτων.

356. Ἰώ μοι γένος] Ἡ παροῦσα ἀντιστροφὴ κώλων ἐστὶν ἕξ, ὁμοίων τοῖς τῆς στροφῆς· ἐν δὲ τῷ τρίτῳ κώλῳ πεντασύλλαϐον ἔχει τὸν πρῶτον ἀντίσπαστον (διαλύονται γὰρ αἱ μακραὶ τῶν τοιούτων ποδῶν εἰς δύο βραχείας, καὶ γίνονται πεντασύλλαϐοι) ἐπὶ τῷ τέλει παράγραφος.

362. Εὔφημα] Ἕτερον σύστημα δύο στίχων, ὅμοιον τῷ ἀνωτέρῳ, Οἴμ', ὡς ἔοικας.

364. Ὁρᾷς τὸν] Στροφὴ δευτέρα κώλων δ· ὧν τὰ τρία ἀντισπαστικὰ τρίμετρα βραχυκατάληκτα. σύγκειται δὲ ἐξ ὁμοίων τοῖς εἰρημένοις ποδῶν· τὸ δὲ δ, ἴαμϐος τρίμετρος ἀκατάληκτος. ἔχει δὲ ἀντιστροφὴν τὸ, Ἰὼ πάνθ' ὁρῶν. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ.

368. Μὴ δέσποτ'] Ἕτερον σύστημα ἐκ στίχων τριῶν ἰαμϐικῶν τριμέτρων ἀκαταλήκτων, καὶ κώλου δισπονδείου μετὰ τοὺς δύο στίχους κειμένου.

372. Ἰὼ δύσμορος] Στροφὴ τρίτη κώλων ε, ἀντισπαστικῶν ὁμοίων τοῖς εἰρημένοις· ὧν τὰ δ, τρίμετρα ἀκατάληκτα γλυκώνεια· τὸ δὲ ε, δίμετρον καταληκτικὸν ἑφθημιμερὲς φερεκράτειον. ἔχει δὲ ἀντιστροφὴν τὸ, Ἰὼ Ζεῦ προγόνων. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ.

377.

Digitized by Google

377. Τῆ δῆτ' ἂν ἀλγοίης] Σύστημα ἕτερον στίχων δύο ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων.

379. Ἰὼ πάνθ' ὁρῶν] Η ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ, Ορᾷς τὸν θρασύν. ἔστι δὲ κώλων δ, ὧν τὰ τρία ἀντισπαστικὰ τρίμετρα· τὸ δὲ δ, ἴαμβος τρίμετρος· εἶτα μόνη παράγραφος.

383. Ξὺν τῷ θεῷ] Σύστημα ὅμοιον τῷ ἀνωτέρῳ οὗ ἡ ἀρχὴ, Μὴ δέσποτ' Αἴας.

387. Ἰὼ Ζεῦ] Η ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ, Ἰὼ δύσμορος· ἔστι δὲ κώλων ἀντισπαστικῶν ε, ὁμοίων ἐκείνῃ. ἐπὶ τῷ τέλει παράγραφος μόνη.

392. Οταν κατεύχῃ] Σύστημα στίχων δύο ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων.

394. Ἰὼ σκότος] Στροφὴ ἑτέρα κώλων ις. τὸ πρῶτον, παιωνικὸν τρίμετρον καταληκτικὸν ἐκ παίωνος δευτέρου· τὸ β, δίμετρον καταληκτικὸν παίωνος πρώτου· τὸ γ, ἰαμβικὸν δίμετρον ἀκατάληκτον· τὸ δ, ἰαμβικὸν ἑφθημιμερές· τὸ ε, ἰωνικὸν δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς ἐξ ἰωνικῶν ἀπ' ἐλάσσονος· τὸ ς, ἰαμβικὸν ἑφθημιμερές· τὸ ζ, τροχαϊκὸν ἑφθημιμερές· τὸ η, ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον ἐκ διτροχαίου· τὸ θ, δακτυλικὸν πενθημιμερές· ἔχει δὲ τὸν πρῶτον πόδα διαλελυμένον εἰς τετράβραχυν· τὸ δὲ τῆς ἀντιστροφῆς καθαρόν ἐστι. τὸ αὐτὸ δὲ καὶ χοριαμβικόν ἐστιν ἡμιόλιον. τὸ ι καὶ ια, τροχαϊκὰ πενθημιμερῆ· τὸ ιβ, τροχαϊκὸν ἑφθημιμερὲς Εὐριπίδειον· τὸ ιγ, ὅμοιον τῷ δεκάτῳ· τὸ ιδ, ἰαμβικὸν ὅμοιον τῷ τρίτῳ· τὸ ιε, ὅμοιον τῷ τετάρτῳ· τὸ ις, τροχαϊκὸν ἰθυφαλλικὸν τὸν δεύτερον ἔχον πόδα δάκτυλον. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ, διὰ τὸ εἶναι τῶν ἀνταποδιδομένων, ὡς εἴρηται.

410. Ω δυστάλαινα] Σύστημα δυοῖν στίχοιν ἰαμβικοῖν τριμέτροιν ἀκαταλήκτοιν.

412. Πόροι ἁλι.] Η ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ, Ἰὼ σκότος. ἔστι δὲ κώλων ὁμοίων τοῖς ἐκείνης ις. τὸ μέντοι ιγ, κῶλον τροχαϊκὸν ὂν, διαλελυμένην ἔχει τὴν τοῦ πρώτου ποδὸς μακρὰν εἰς δύο βραχείας. ἐν τῷ τέλει δύο μόναι διπλαῖ συνήθως. ἴσθι δὲ ὅτι ἐν μὲν ταῖς προῤῥηθείσαις στροφαῖς, ἡ ἔσω νενευκυῖα τίθεται ἐπὶ τέλει διπλῆ, μετὰ δὲ τὴν συμπλήρωσιν τῶν στροφῶν καὶ ἀντιστροφῶν καὶ τῶν μεταξὺ τούτων ἀνομοιομερῶν συστημάτων, δύο τίθενται διπλαῖ ἔξω νενευκυῖαι· ἡ μὲν, ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ ἐν τῷ τέλει· ἐξ ὧν δηλοῦται ὡς τέλος ἴσχει τὰ ᾄσματα ἃ κατὰ ἀνταπόδοσιν γέγραπται, ὡς προείρηται.

428. Οὔτοι σ' ἀπ'.] Σύστημα ἐκ δυοῖν στίχοιν, ὅμοιον τῷ, Ω δυστάλαινα.

430. Αἶ αἶ] Αἱ συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ἑξῆς, ὧν τελευταῖος, Εἰ τοὐμὸν ἦθος ἄρτι παιδεύειν νεοῖς. εἶτα κορωνίς.



Digitized by Google

601. Ω κλεινὰ Σαλ] Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται κατὰ σχέσιν, ὡς εἴρηται. ἔστι δὲ τὸ παρὸν ᾆσμα δύο στροφῶν. τῆς πρώτης στροφῆς τὰ κῶλα ιγ, καὶ τὰ ἀντιστροφῆς, τοσαῦτα. τὸ α, ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, ἐξ ἐπιτρίτου σαπφικοῦ· τὸ β, ἰωνικὸν ἀπὸ μείζονος, δίμετρον ὑπερκατάληκτον· τὸ γ, ἰωνικὸν ὅμοιον δίμετρον ἀκατάληκτον· τὸ δ, ἰαμβικὸν μονόμετρον ὑπερκατάληκτον, ἤτοι πενθημιμερές· τὸ ε, ἰωνικὸν ἀπὸ μείζονος δίμετρον καταληκτικόν· (ἔχει δὲ παίωνα δεύτερον ἀντὶ ἰωνικοῦ) τὸ ς, ἀντισπαστικὸν δοχμαϊκὸν πενθημιμερές. τὸ ζ, ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ὃ καλεῖται γλυκώνειον. τὸ η, ὅμοιον τῷ β· τὸ θ, ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον, ὃ λέγεται ἡμιόλιον· τὸ ι, ὅμοιον· τὸ ια, προκελευσματικὸν δίμετρον καταληκτικὸν, ὅμοιον τῷ ιγ κώλῳ τοῦ α ἐπινικίου Πινδάρου τῷ Οθεν ὁ πολύφατος· (ἐχρήσατο δὲ τῷ ποδὶ τούτῳ ἐνταῦθα ὡς ταχεῖ, διὰ τὸ ταχὺ τοῦ ἀνύειν ἤτοι πορεύεσθαι ὁδόν.) τὸ ιβ, ὅμοιον προκελευσματικὸν μονόμετρον ὑπερκατάληκτον· (ἐχρήσατο δὲ τούτῳ τῷ ποδὶ αὖθις, διὰ τὸ ταχέως εἰς ᾅδου τοὺς θανόντας κατέρχεσθαι.) ὁμοίως τούτοις ἔχει τὰ τῆς ἀντιστροφῆς. (οἱ γὰρ ἀχάριστοι ταχέως ἄφιλοι γίνονται· καὶ τὸ πίπλον, ταχέως πίπτει) τὸ ιγ, ἰαμβικὸν πενθημιμερὲς τοῦ πρώτου ποδὸς ἀναπαίστου. εἶτα ἡ συνήθης παράγραφος.

627. Ηπου παλαιᾷ] Τῆς δευτέρας ταύτης στροφῆς τὰ κῶλα ιδ, καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ α, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· τὸ β, χοριαμβικὸν δίμετρον βραχυκατάληκτον, ἤτοι ἡμιόλιον· (τὸ δὲ τῆς ἀντιστροφῆς κῶλον ἀντὶ χοριάμβου ἐπίτριτον ἔχει τρίτον.) τὸ γ, ἰαμβικὸν πενθημιμερές· τὸ δ, ἰαμβικὸν ἑφθημιμερές· τὸ ε, παιωνικὸν δίμετρον καταληκτικὸν ἐκ παίωνος τετάρτου καὶ βακχείου· (εἰ δὲ βούλει, ἀντισπαστικὸν ἡμιόλιον ἐξ ἀντισπάστου πεντασυλλάβου) τὸ ς, χοριαμβικὸν ἡμιόλιον· τὸ ζ, ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον δοχμαϊκόν· (εἰ δὲ βούλει, τροχαϊκὸν πενθημιμερὲς) τὸ η, ἰωνικὸν ἡμιόλιον ἀπὸ μείζονος· τὸ θ, ὅμοιον τῷ ζ· τὸ ι, ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον, κλεομάχειον· (εἰ δὲ βούλει, ἰαμβικὸν ἑφθημιμερὲς, τοῦ δευτέρου ποδὸς ἀναπαίστου) τὸ ια, ἀντισπαστικὸν δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς, ὃ καλεῖται γλυκώνειον· τὸ ιβ, ὅμοιον· τὸ ιγ, ἀντισπαστικὸν ἡμιόλιον· τὸ ιδ, ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον, (ἔχει δὲ παίωνα δεύτερον ἀντὶ ἰωνικοῦ.) ἐπὶ τῷ τέλει τῆς στροφῆς παράγραφος τίθεται· ἐπὶ δὲ τῷ τέλει τῆς ἀντιστροφῆς κορωνίς. ἐξιόντων γὰρ τῶν ὑποκριτῶν καὶ τῶν χορευτῶν εἰσιόντων, κορωνὶς τίθεται, καὶ αὖθις τῶν χορευτῶν ἐξιόντων καὶ τῶν ὑποκριτῶν εἰσιόντων ἡ αὐτὴ κορωνὶς τίθεται.

655. Απανθ' ὁ μακρ.] Συστηματικὴ αὕτη περίοδος στίχων ἐστὶν ἰαμβικῶν τριμέτρων μζ. ὧν τελευταῖος, Πύθοισθε καὶ τὴν δυστυχῶ σεσωσμένον. εἶτα κορωνίς.

702. Εφριξ' ἐν ἔρωτι] Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται κατὰ σχέσιν, ὡς εἴρηται. ἔστι δὲ τὸ ᾆσμα μιᾶς στροφῆς. τὰ δὲ κῶλα τῆς στροφῆς, ιδ καὶ τὰ τῆς ἀντιστροφῆς, τοσαῦτα. τὸ α, ἰαμβικὸν τρίμετρον ἀκατάληκτον,

Digitized by Google

ληκτον, ἐπιμεμιγμένον ἀναπαίστῳ καὶ χορείῳ· τὸ β, ἰαμβικὸν ἑφθημιμερές· τὸ γ, ἀναπαιστικὸν πενθημιμερές· τὸ δ, ἰαμβικὸν δίμετρον ἀκατάληκτον, ὃ καλεῖται ἀνακρεόντειον· τὸ ε, ἀντισπαστικὸν Φαλαίκειον, τρίμετρον καταληκτικόν· τὸ ς, χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον· τὸ ζ, δακτυλικὸν δίμετρον ἀκατάληκτον (κατὰ μονοποδίαν γὰρ μετρεῖται) τὸ η, προσοδιακὸν δίμετρον ἀκατάληκτον, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου. τοῦτο δὲ καὶ ἀναπαιστικὸν δύναται εἶναι δίμετρον βραχυκατάληκτον· τὸ θ, ἰαμβικὸν πενθημιμερές· τὸ ι, χοριαμβικὸν ὅμοιον τῷ ς· τὸ ια, ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον· τὸ ιβ, ἰαμβικὸν ἑφθημιμερες· τὸ ιγ, ἰωνικὸν δίμετρον καταληκτικόν· τὸ ιδ, προσοδιακὸν τρίμετρον ἀκατάληκτον, ἢ ἐπιχοριαμβικὸν, ἐκ συζυγίας ἰαμβικῆς, χοριάμβου, καὶ ἰαμβικῆς αὖθις συζυγίας καταληκτικῆς, ἤτοι βακχείου. εἶτα ἐπὶ μὲν τῇ στροφῇ παράγραφος· ἐπὶ δὲ τῇ ἀντιστροφῇ, κορωνίς.

716. Ελυσε γὰρ] Αντιστροφὴ κώλων ιδ.

730. Ανδρες φίλ.] Η συστηματικὴ αὕτη περίοδος, καὶ οἱ ἑξῆς ἅπαντες στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρμζ. ὧν τὸ μὲν ιθ κῶλον, ὅμοιον μονόμετρον ἀκατάληκτον· ὁ δὲ τελευταῖος, Τὰ δ' ἄλλ' ἐν ᾅδου τοῖς κάτω μυθήσομαι. εἶτα κορωνίς.

877. Πόνος πόν.] Τὰ τοιαῦτα εἴδη καλεῖται ἀλλοιόστροφα, ὡς εἴρηται· ἔστι δὲ τὰ παρόντα κατὰ σχέσιν. τὸ δὲ προκείμενον τοῦτο σύστημα καλεῖται προῳδός. ἔστι δὲ κώλων καὶ στίχων ἰαμβικῶν ια· ὧν τὰ πρῶτα δύο δίμετρα ἀκατάληκτα· τὸ ς καὶ τὸ η, μονόμετρα καταληκτικά· οἱ δὲ λοιποὶ στίχοι, τρίμετροι. ἐπὶ τῷ τέλει παράγραφος.

888. Τίς ἂν δή μοι] Η παροῦσα στροφὴ, κώλων ἐστὶ ιγ. τὸ α, ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον, ἤτοι ἡμιόλιον ἐξ ἐπιτρίτου πρώτου· (οἰκεῖος γὰρ τῷ μέτρῳ) τὸ β, παιωνικὸν δίμετρον ἀκατάληκτον ἐκ παιώνων τετάρτων· τὸ γ, ἰωνικὸν δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς, ἐκ παίωνος δευτέρου, καὶ τροχαϊκῆς συζυγίας καταληκτικῆς· τὸ δ, χοριαμβικὸν δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς· τὸ ε, ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον, ὃ καλεῖται δοχμαϊκόν· τὸ ς, ὅμοιον τῷ δ· τὸ ζ, ἀντισπαστικὸν ἀκατάληκτον, ὃ καλεῖται γλυκώνειον, ἐκ διϊάμβου καὶ ἀντισπάστου· τὸ η, χοριαμβικὸν ἡμιόλιον· τὸ θ, ἀντισπαστικὸν ἡμιόλιον ἐξ ἐπιτρίτου δευτέρου· τὸ ι, προκελευσματικὸν δίμετρον καταληκτικὸν, περὶ οὗ εἴρηται ἐν τῷ χορῷ τῷ, Ω κλεινὰ Σαλαμίς· (ἐχρήσατο καὶ τούτῳ ποδὶ ἐνταῦθα, διὰ τὸ ταχὺ ἐμπίπτειν τὰ χαλεπά· καὶ ἐν τῇ ἀντιστροφῇ, διὰ τὸ ταχὺ τοῦ χρόνου) τὸ ια, ἀντισπαστικὸν Φερεκράτειον ἐξ ἐπιτρίτου τρίτου· τὸ ιβ, ὅμοιον τῷ η. τὸ ιγ, ἴαμβος τρίμετρος ἀκατάληκτος· εἶτα παράγραφος καὶ διπλαῖ.

901. Ιώ μοι μοι] Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς μὲν πρὸς τὴν στροφὴν, ὅμοιον δὲ τῷ μετὰ τὴν ἀντιστροφὴν ταύτης ἑτέρῳ συστήματι, ἧς ἡ ἀρχὴ, Εμελλες δὴ τάλας, κώλων καὶ στίχων θ· ὧν τὸ πρῶτον καὶ τρίτον ἀντισπαστικὰ μονόμετρα ἀκατάληκτα ἐπίτριτον ἔχοντα πρῶτον ἀντισπάστου· τὸ ζ,

ἰαμβικὸν

Digitized by Google

ἰαμβικὸν μονόμετρον καταληκτικόν· οἱ δὲ λοιποὶ, ἰαμβικοὶ τρίμετροι. ἐπὶ τῷ τέλει παράγραφος.

910. Ω μοι ἐμῶν] Η παροῦσα στροφὴ, κώλων ἐστὶ ε. τὸ α, χοριαμβικὸν ἡμιόλιον· τὸ β, ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον· τὸ τρίτον, ἀντισπαστικὸν ἡμιόλιον· τὸ δ, ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον δοχμιακὸν ἐξ ἐπιτρίτου τετάρτου· τὸ ε, ὅμοιον τῷ τρίτῳ, ἐξ ἐπιτρίτου δευτέρου· εἶτα παράγραφος κ̀ διπλαῖ.

915. Ως ὧδε] Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς μὲν πρὸς τὴν στροφὴν, ὅμοιον δὲ τῷ μετὰ τὴν ἀντιστροφὴν ταύτης ἑτέρῳ συστήματι, οὗ ἡ ἀρχὴ, Ωμοι ἀναλγήτων, στίχων ἰαμβικῶν τριμέτρων τεσσάρων. ἐπὶ τῷ τέλει παράγραφος.

919. Ωμοὶ ἐμᾶς] Η παροῦσα στροφὴ κώλων ἐστὶν ν· τὸ α, χοριαμβικὸν ἡμιόλιον. τὸ β, ὅμοιον· τὸ γ, ἀντισπαστικὸν ἡμιόλιον ἐξ ἐπιτρίτου πρώτου· τὸ δ, ἰαμβικὸν δίμετρον ἀκατάληκτον, τοῦ τετάρτου ποδὸς ἀναπαίστου· τὸ ε, ὅμοιον δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερὲς, τοῦ πρώτου ποδὸς ἀναπαίστου· τὸ ϛ, ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον· τὸ ζ, ἀντισπαστικὸν δίμετρον καταληκτικὸν φερεκράτειον ἐξ ἐπιτρίτου τετάρτου· τὸ η, ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον ἐκ παίωνος δευτέρου κ̀ ἰωνικοῦ βραχυκαταλήκτου ἤτοι ἡμίσεος. εἶτα παράγραφος κ̀ διπλαῖ.

927. Οὔτοι θεα.] Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς μὲν πρὸς τὴν στροφὴν, ὅμοιον δὲ τῷ μετὰ τὴν ἀντιστροφὴν ταύτης ἑτέρῳ συστήματι, οὗ ἡ ἀρχὴ, Η ῥᾶ κελαινώπαν, στίχων ἰαμβικῶν τριμέτρων δέκα. ἐν τῷ τέλει παράγραφος.

937. Εμελλες δὴ τάλ.] Η ἀντιστροφὴ αὕτη τῆς πρώτης ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ, Τίς ἂν δή μοι. ἔστι δὲ κώλων ὁμοίων ἐκείνῃ ϛγ. τὸ μέντοι δεύτερον κῶλον τὸ, Ποτὲ χρόνῳ, ἐνήλλακται παρ' ἡμῶν, ἵν' ᾖ ὅμοιον τῷ τῆς στροφῆς. (οὕτω γὰρ ἄμεινον γράφειν ἢ ὥσπερ ἦν πρότερον, μηδαμῶς ἁρμόζον τῷ μέτρῳ) ὡσαύτως κ̀ ἐν τῷ ὑστέρῳ προσετέθη τὸ Αχιλλέως ἀρμοδίως, ἵν' ᾖ ὅμοιος ὁ στίχος τῷ τῆς ἀντιστροφῆς· ἴαμβος γὰρ ὀφείλει εἶναι τέλειος ὁ παρὼν στίχος. ἐπὶ τῷ τέλει μόνη παράγραφος, ὡς εἴρηται.

950. Ιώ μοι μοι] Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς μὲν πρὸς τὴν ἀντιστροφὴν ταύτην, ὅμοιον δὲ τῷ μετὰ τὴν α στροφὴν κειμένῳ συστήματι, ἧς ἡ ἀρχὴ, Τίς ἂν δή μοι, κώλων κ̀ στίχων ἰσομέτρων ἐκείνῳ. ἐπὶ τῷ τέλει μόνη παράγραφος.

959. Ωμοι ἀναλ.] Η ἀντιστροφὴ αὕτη τῆς β ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ, Ωμοι ἐμῶν νόσων. ἔστι δὲ κώλων ὁμοίων ἐκείνῃ πέντε, ἤτοι ἰσομέτρων. ἐπὶ τῷ τέλει μόνη παράγραφος.

964. Ουκ ἂν τάδ.] Σύστημα κατὰ περικοπὴν ὅμοιον τῷ μετὰ τὴν δευτέραν στροφὴν συστήματι, ἧς ἡ ἀρχὴ, Ωμοι ἐμῶν νόσων, στίχων ἰαμβικῶν τριμέτρων δ.

968. Η ῥᾶ κελαι.] Η ἀντιστροφὴ αὕτη τῆς τρίτης ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ, Ωμοι ἐμᾶς ἄτας. ἔστι δὲ κώλων ὁμοίων ἐκείνῃ ὀκτὼ, ἤτοι ἰσομέτρων.

τὸ

τὸ μέντοι ἕβδομον κῶλον τὸ, Ξὺν διπλοῖ βασιλέες, οὕτω χρὴ γράφειν, ἵν' εἴη ὅμοιον τῷ τῆς στροφῆς ἑβδόμῳ. ἐπὶ τελευταίου κώλου καὶὰ μὲν τὴν ἀρχὴν ἡ ἔξω νενευκυῖα διπλῆ· ἐπὶ δὲ τῷ τέλει, ὁμοίως ἡ αὐτὴ, δηλοῦσαι τέλος σχεῖν τὰ ἀνταποδιδόμενα, ὡς εἴρηται.

976. Οἴδ' οὖν] Σύστημα καὶὰ περικοπὴν ἀνομοιομερὲς μὲν πρὸς τὴν ἀντιστροφὴν ταύτην, ὅμοιον δὲ τῷ μεὶὰ τὴν στροφὴν τὴν τρίστην συστήματι, ἧς ἡ ἀρχὴ, Ωμοι ἐμᾶς ἄτας, στίχων ἰαμβικῶν τριμέτρων ι. εἶτα παράγραφος.

986. Πρὸς ταῦτ.] Οἱ μεὶὰ τὰ προειρημένα συστήμαὶα οὗτοι στίχοι ἰαμβικοί εἰσι τρίμετροι ρπζ. ὧν τελευτὴ, Ανδρὸς ματαίου φλαῦρ' ἔπη μυθουμένου· μεὶὰ δὲ τὸν τρίτον στίχον, κῶλον μονόμετρον· καὶ μεὶὰ τὸν κζ, ἕτερον κόμμα. ἐπὶ τῷ τέλει παράγραφος.

1182. Εσαι] Σύστημα καὶὰ περικοπὴν ἀνομοιομερὲς, ἀναπαιστικῶν ε. ὧν τὰ δ, δίμετρα ἀκαὶάληκὶα· τὸ δὲ ε, καὶαληκὶικὸν, ἤτοι ἑφθημιμερές.

1187. Καὶ μὴν] Η συστηματικὴ αὕτη περίοδος, στίχων ἐστὶν ἰαμβικῶν τριμέτρων ἀκαὶαλήκὶων ιζ, ὧν τελευταῖος, Τάφου μεληθεὶς τῷδε, κἂν μηδεὶς ἐᾷ. ἐπὶ τῷ τέλει κορωνίς. Οἴμοι] Μονόμετρον βραχυκαὶάληκὶον.

1204. Τίς ἄρα νέατος.] Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται καὶὰ σχέσιν, ὡς εἴρηται. ἔστι δὲ τὸ παρὸν ᾆσμα δύο στροφῶν. τῆς πρώτης στροφῆς τὰ κῶλα ζ, καὶ τῆς ἀντιστροφῆς, τοσαῦτα. τὸ α, χοριαμβικὸν δίμετρον ὑπερκαὶάληκὶον τοῦ πρώτου ἑξασυλλάβου· (διαλύονται γὰρ καὶ αἱ δύο μακραὶ πολλάκις τῶν τοιούτων ποδῶν· τοῦ δὲ ἑτέρου καθαροῦ καὶ συλλαβῆς) τὸ β, ἰωνικὸν δίμετρον ὑπερκαὶάληκὶον, ἐξ ἰωνικοῦ ἀπ' ἐλάσσονος παίωνος τρίτου καὶ συλλαβῆς· τὸ γ, χοριαμβικὸν δίμετρον ἀκαὶάληκὶον ἐξ ἐπιτρίτου δευτέρου, καὶ χοριάμβου· τὸ δ, ἀντισπαστικὸν δίμετρον βραχυκαὶάληκὶον ἡμιόλιον, ἐπίτριτον πρῶτον ἔχον ἀντὶ ἀντισπάστου· τὸ ε, ἰωνικὸν ἀπὸ μείζονος μονόμετρον, ὑπερκαὶάληκὶον, ἤτοι πενθημιμερές· τὸ ϛ, ἰωνικὸν ἀπ' ἐλάσσονος δίμετρον ἀκαὶάληκὶον, ἐξ ἰωνικοῦ καὶ δισπονδείου· (ἀλλὰ τὸ τῆς ἀντιστροφῆς κῶλον οὐδαμῶς ἐστιν ὅμοιον τούτῳ. σύγκειται γὰρ ἐκ διτροχαίου καὶ διϊάμβου· καὶ, οἶμαι, ὡς ἐπίτηδες τοῦθ' ὁ ποιητὴς πεποίηκεν, ἵνα μήτις αὐτῷ μέμψηται ὡς ὀκὶασήμῳ συζυγίᾳ χρωμένῳ ἐν ἰωνικοῖς. ἔνθα ἑπτασήμῳ ἢ ἑξασήμῳ ἢ πεντασήμῳ χρῶνται) τὸ ζ, ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ὑπερκαὶάληκὶον ἐξ ἰωνικοῦ, καὶ ἐπιτρίτου δευτέρου καὶ συλλαβῆς. ἐπὶ τῷ τέλει τῆς τε στροφῆς καὶ ἀντιστροφῆς παράγραφος συνήθως.

1211. Οφελε] Αντιστροφὴ κώλων ζ.

1218. Κεῖνος οὔτε] Τῆς δευτέρας ταύτης στροφῆς τὰ κῶλα ια· καὶ τὰ τῆς ἀντιστροφῆς, τοσαῦτα. τὸ πρῶτον, ἰωνικὸν απ ἐλάσσονος, ἢ ἐπιωνικὸν. δίμετρον καὶαληκὶικὸν, ἤτοι ἑφθημιμερὲς ἐξ ἐπιτρίτου δευτέρου καὶ ἰωνικοῦ καὶαληκὶικοῦ· τὸ β, χοριαμβικὸν καθαρὸν δίμετρον ἀκαὶάληκὶον ἐκ δύο χοριάμβων· τὸ γ, ὅμοιον δίμετρον ὑπερκαὶάληκὶον καθαρὸν ἐκ χοριάμβων·

τὸ δ, ἰωνικὸν ἀπὸ μείζονος καθαρὸν δίμετρον ὑπερκατάληκτον· τὸ ε, ὅμοιον τῷ δευτέρῳ· τὸ ς, ὅμοιον τούτῳ· τὸ ζ, ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον σαπφικὸν, ἐξ ἀντισπάστου καὶ διϊάμβου καὶ συλλαβῆς· τὸ η, ἰωνικὸν ἀπὸ μείζονος, κλεομάχειον, δίμετρον ἀκατάληκτον, ἐξ ἰωνικοῦ καὶ ἐπιτρίτου δευτέρου· τὸ θ, ἰωνικὸν δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς ἐκ παίωνος δευτέρου· τὸ ι, χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ χοριάμβου καὶ διϊάμβου· τὸ ια, χοριαμβικὸν μονόμετρον ὑπερκατάληκτον, ἤτοι πενθημιμερές. ἐπὶ τῷ τέλει τῆς στροφῆς συνήθως παράγραφος· ἐπὶ δὲ τῷ τῆς ἀντιστροφῆς, κορωνίς.

1239. Καὶ μὴν ἰδὼν] Αἱ συστηματικαὶ αὗται περίοδοι, καὶ οἱ ἑξῆς στίχοι ἰαμβικοί εἰσι τρίμετροι ρθ. ὧν τελευτὴ, Πράσσειν τάδ' ἡμᾶς, εὖ μ' ἐπαινέσας τὸ σόν. ἐπὶ ταῖς ἀποθέσεσι τῶν προσώπων παράγραφος· ἐπὶ δὲ τῷ τέλει κορωνίς.

1419. Αλις ἤδη γὰρ] Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς κώλων ἀναπαιστικῶν ις. ὧν τὰ ιδ, δίμετρα ἀκατάληκτα· τὸ ζ, μονόμετρον· τὸ δὲ ις, δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερές. εἶτα παράγραφος.

1435. Η πολλὰ βρ.] Σύστημα ἐπῳδικὸν ἐν ἐκθέσει τοῦ δράματος κώλων ἀναπαιστικῶν τριῶν. ὧν τὰ δύο, δίμετρα ἀκατάληκτα· τὸ δὲ τρίτον, καταληκτικὸν, ἤτοι ἑφθημιμερές· ἐπὶ τῷ τέλει κορωνὶς ἡ περατοῦσα τὸ δρᾶμα.

ΔΗΜΗΤΡΙΟΥ

Digitized by Google

# ΔΗΜΗΤΡΙΟΥ
## ΤΟΥ
# ΤΡΙΚΛΙΝΙΟΥ
### ΠΕΡΙ
## Μέτρων οἷς ἐχρήσατο Σοφοκλῆς ἐν τῇ Ηλέκτρᾳ.

Vers. 1. ΩΤΟΥ στρατ.] Η εἴσθεσις τοῦ δράματος ἐκ συστηματικῶν ἐστι περιόδων· οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, πδ. ὧν τελευτὴ, Νίκην τ' ἐφ' ἡμῖν καὶ κράτος τῶν δρωμένων. κατ' εἰσβολὴν δὲ μετὰ τὸν ος στίχον, κῶλον ἐφθημιμερὲς ἀντισπαστικόν. ἑξῆς ἡ κορωνὶς ἐξιόντων τῶν ὑποκριτῶν.

86. Ω φάος ἁγνὸν] Τὰ τοιαῦτα εἴδη καλεῖται συστηματικὰ ἐξ ὁμοίων, ὡς εἴρηται. ἔστι δὲ τὰ κῶλα τοῦ ὅλου συστήματος, λδ. ὧν τὸ α, δακτυλικὸν τρίμετρον· τὸ β, ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον· τὸ γ καὶ δ, δακτυλικὰ ἐφθημιμερῆ· τὰ ἑξῆς ιϛ, ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα· τὸ δὲ ιγ, ὅμοιον καταληκτικόν· τὸ ἑξῆς τούτου, δακτυλικὸν τετράμετρον· τὸ ἑξῆς αὖθις τούτου, ὅμοιον τῷ δευτέρῳ· τὸ ἑξῆς τούτου, ὅμοιον τῷ τρίτῳ· τὰ ἑξῆς, ἀναπαιστικὰ πάντα. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος· ὡσαύτως καὶ ἐπὶ τῷ τέλει.

120. Ω παῖ παῖ]. Τὰ τοιαῦτα εἴδη καὶ αἱ περίοδοι πᾶσαι καλοῦνται ἀλλοιόστροφα, ὡς εἴρηται· εἰσὶ δὲ καὶ κατὰ σχέσιν. ἡ παροῦσα δὲ στροφὴ κώλων ἐστὶν η. ὧν τὰ πρῶτα δύο δακτυλικὰ ἐφθημιμερῆ· τὰ δὲ ἑξῆς τρία ανα-



Digitized by Google

ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα· τὸ ϛ, ἰαμβικὸν ἑφθημιμερὲς, τοῦ δευτέρου ποδὸς χορείου· τὸ ζ, ἀναπαιστικὸν μονόμετρον· τὸ η, ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον σαπφικόν. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ.

128. Ω γένεθλα γεν.] Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς, ὅμοιον τῷ μετὰ τὴν ἀντιστροφὴν συστήματι, οὗ ἡ ἀρχὴ, Νήπιος ὅστις. ἔστι δὲ καὶ τοῦτο κατὰ σχέσιν, κώλων δὲ θ, ὧν τὸ α, ἀναπαιστικὸν ἑφθημιμερές· τὰ δὲ ἑξῆς δ, ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα· (εἰ δὲ βούλει, δακτυλικὰ τετράμετρα) τὸ ϛ, ἀναπαιστικὸν πενθημιμερές· (εἰ δὲ βούλει, δακτυλικόν) τὸ ζ, ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον εἰς δισύλλαβον· τὸ η, ἰαμβικὸν, ἑφθημιμερές· τὸ θ, ἰαμβικὸν πενθημιμερές. ἐπὶ τῷ τέλει συνήθως παράγραφος μόνη.

137. Αλλ' οὔτοι τόν γ'] Η ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ, Ω παῖ παῖ. ἔστι δὲ κώλων η, ὁμοίων κατὰ πάντα ἐκείνῃ. ἐπὶ τῷ τέλει οὐ τὰ αὐτὰ κεῖται σημεῖα, ἀλλὰ μόνη παράγραφος.

145. Νήπιος ὅστις] Σύστημα κατὰ περικοπὴν ὅμοιον τῷ μετὰ τὴν στροφὴν συστήματι, οὗ ἡ ἀρχὴ, Ω γένεθλα. ἔστι δὲ κώλων ὁμοίων ἐκείνῳ, θ. εἰ δὲ τὸ πρῶτον κῶλον ἐν ἐκείνῳ μὲν ἐξ ἄλλων ποδῶν σύγκειται, τοῦτο δὲ ἐξ ἑτέρων, οὐδὲν θαυμαστόν· τοῦ γὰρ αὐτοῦ εἰσὶ μέτρου καὶ οὗτοι κἀκεῖνοι. ἐπὶ τῷ τέλει μόνη παράγραφος.

154. Οὔτοι σοί.] Η στροφὴ αὕτη μονόστροφός ἐστιν, ἀντιστροφὴν μὴ ἔχουσα· καὶ ἔστι κώλων ζ. τὸ α, σπονδειακὸν ἑφθημιμερὲς, ἤτοι δακτυλικὸν ἐκ σπονδείων· τὸ β, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον τὸν πρῶτον ἔχον πόδα χορεῖον· τὸ γ, ἀσυνάρτητον ἐξ ἰαμβικῆς βάσεως ἐκ χορείου ἀρχομένης, καὶ τροχαϊκοῦ ἰθυφαλλικοῦ· τὸ δ, ὅμοιον, τῆς ἰαμβικῆς βάσεως ἐκ δακτύλου ἀρχομένης ἐν τούτῳ· τὸ ε, δακτυλικὸν πενθημιμερές· τὸ ϛ, ἰαμβικὸν ἑφθημιμερὲς, τοῦ δευτέρου ποδὸς χορείου· τὸ ζ, ὅμοιον, τοῦ δευτέρου ποδὸς ἀναπαίστου· ἐπὶ τῷ τέλει παράγραφος μόνη.

161. Ολβιος ὤν] Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς μονόστροφον, κώλων ιγ, ὧν τὸ α, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον, τοῦ πρώτου ποδὸς δακτύλου· τὸ β, ὅμοιον· τὸ γ, δακτυλικὸν τετράμετρον· τὸ δ, ἰαμβικὸν δίμετρον ἀκατάληκτον, τοῦ πρώτου ποδὸς δακτύλου· τὸ ε, ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον· τὸ ϛ, τροχαϊκὸν ἰθυφαλλικόν· τὸ ζ, ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον· τὸ η, τὸ θ καὶ ι, καὶ ια, ὅμοια τῷ τρίτῳ· τὸ ιβ, ἀντισπαστικὸν ἡμιόλιον· τὸ ιγ, ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον. ἐπὶ τῷ τέλει μόνη παράγραφος.

174. Θάρσει μοι] Καὶ αὕτη ἡ στροφὴ μονόστροφός ἐστιν, ἀντιστροφὴν μὴ ἔχουσα· καὶ ἔστι κώλων ια. τὸ πρῶτον, ἀναπαιστικὸν ἑφθημιμερές· τὸ β, ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον· τὸ γ καὶ τὸ δ, ἰωνικὰ τρίμετρα καταληκτικὰ ἐκ παίωνος πρώτου ἀντὶ ἰωνικοῦ, ἐπιτρίτου τρίτου καὶ βακχείου, ἢ ἀμφιβράχεος· τὸ ε, ἀναπαιστικὸν ἢ δακτυλικὸν πενθημιμερές· τὸ ϛ, ἀναπαιστικὸν ἑφθημιμερές· τὸ ζ, ἰαμβικὸν δίμετρον ἀκατάληκτον· τὸ η, ἰωνικὸν

δίμετρον

δίμετρον καταληκτικὸν ἐκ παίωνος πρώτου ἀντὶ ἰωνικοῦ, ἢ ἐπιτρίτου καταληκτικοῦ· τὸ θ, τροχαϊκὸν ἑφθημιμερὲς Ευριπίδειον· τὸ ι, δακτυλικὸν τετράμετρον· τὸ ια, αναπαιστικὸν δίμετρον ὑπερκατάληκτον, ἔχον τὸν δεύτερον πόδα προκελευσματικὸν, ἤτοι τετράβραχυν. ἐπὶ τῷ τέλει παράγραφος μόνη.

185. Αλλ' ἐμὲ μὲν] Σύστημα ἕτερον ἀνομοιομερὲς μονόστροφον, κώλων ι. τὸ πρῶτον, παιωνικὸν δίμετρον καταληκτικὸν, ἐκ παίωνος πρώτου καὶ τετάρτου καταληκτικοῦ· τὸ δεύτερον, ὅμοιον, ἐκ παίωνος τετάρτου καὶ βακχείου· τὸ τρίτον, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον, τοῦ πρώτου ποδὸς χορείου· τὸ τέταρτον, τροχαϊκὸν μονόμετρον· τὸ ε, τὸ ς, τὸ ζ καὶ τὸ η, δακτυλικὰ τετράμετρα· τὸ θ, ἀντισπαστικὸν ἡμιόλιον ἐξ ἐπιτρίτου πρώτου· τὸ ι, ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. ἐπὶ τῷ τέλει παράγραφος μόνη.

195. Οἰκτρὰ] Η στροφὴ αὕτη κατὰ σχέσιν ἐστιν. (ἔχει γὰρ καὶ ἀντιστροφὴν, καὶ ἐστι κώλων η) τὸ α, δακτυλικὸν ἢ ἀναπαιστικὸν ἑφθημιμερές· τὸ β, ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον, ἢ δακτυλικὸν τετράμετρον· τὸ γ, ὅμοιον, ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον· τὸ δ, τὸ ε, τὸ ς καὶ τὸ ζ, ὅμοια, ἀναπαιστικὰ δίμετρα· τὸ η, τροχαϊκὸν δίμετρον βραχυκατάληκτον, ὃ καλεῖται ἰθυφαλλικόν. ἑξῆς παράγραφος καὶ διπλαῖ, ἔσω νενευκυῖα διὰ τὴν ἀνταπόδοσιν, καὶ ἔξω.

203. Ω πασᾶν κείνα] Σύστημα ἕτερον κατὰ περικοπὴν ἀνομοιομερὲς, ὅμοιον τῷ μετὰ τὴν ἀντιστροφὴν συστήματι, οὗ ἡ ἀρχὴ, Εν δεινοῖς ἠναγκάσθην· ἔστι δὲ κώλων ιβ. τὸ πρῶτον ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον· (εἰ δὲ βούλει, δακτυλικὸν τετράμετρον) τὸ β, ὅμοιον, ἑφθημιμερές· τὸ γ, ὅμοιον τῷ α· τὸ δ, ἀναπαιστικὸν μονόμετρον· τὸ ε, δακτυλικὸν πενθημιμερές· τὸ ς, ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον, ἴαμβον ἔχον τὸν α πόδα, ἐν δὲ τῷ β, συνίζησιν· τὸ ζ, ἰωνικὸν ἀπὸ μείζονος, ἐκ παίωνος πρώτου καὶ ἰωνικοῦ· τὸ η, τροχαϊκὸν ἑφθημιμερὲς Ευριπίδειον, τὸν πρῶτον ἔχον πόδα χορεῖον· τὸ θ, ἀσυνάρτητον ἐκ δακτυλικῆς καὶ ἰαμβικῆς βάσεως· τὸ ι, ἰαμβικὸν δίμετρον ἀκατάληκτον, τὸν πρῶτον ἔχον πόδα δάκτυλον· τὸν δὲ β, χορεῖον· τὸ ια, ὅμοιον τῷ α, δακτυλικὸν τετράμετρον· τὸ ιβ, τροχαϊκὸν δίμετρον ἀκατάληκτον. ἐπὶ τῷ τέλει παράγραφος μόνη.

215. Φράζου μὴ] Η ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ, Οἰκτρὰ μὲν νόστοις. ἔστι δὲ κώλων η, ὁμοίων κατὰ πάντα ἐκείνῃ. ἐπὶ τῷ τέλει παράγραφος μόνη.

223. Εν δεινοῖς] Σύστημα κατὰ περικοπὴν ὅμοιον τῷ μετὰ τὴν ἀντιστροφὴν συστήματι, οὗ ἡ ἀρχὴ, Ω πασᾶν. ἔστι δὲ κώλων ὁμοίων ἐκείνῳ ιβ. εἰ δέ τινα τῶν κώλων ἐνηλλαγμένους ἔχει τοὺς πόδας, ἀλλὰ τοῦ αὐτοῦ ὄντος μέτρου, οὐδὲν πρὸς τὸ μέτρον ἀνθίστανται. οὐ χρὴ δὲ γράφειν, Εν δεινοῖς ἠναγκάσθην ἐν δεινοῖς· περισσὸν γάρ ἐστι πρὸς τὸ τοῦ α συστήματος κῶλον. ἀλλ' Εν δεινοῖς ἠναγκάσθην δή· δίμετρον γὰρ ὀφείλει εἶναι τοῦτο ὥσπερ κἀκεῖνο.

235. Ἀλλ' ὦν εὐνοίᾳ] Στροφὴ ἑτέρα μονόστροφος κώλων γ'. ἔστι δὲ ἀναπαιστικὰ ἑφθημιμερῆ, ἢ δακτυλικά. ἐπὶ τῷ τέλει παράγραφος μόνη.

238. Καὶ τί μέτρον] Σύστημα ἕτερον ἐπῳδικὸν πασῶν τῶν στροφῶν καὶ τῶν συστημάτων, κώλ. ιε. τὸ α, δακτυλικὸν τετράμετρον ἀκατάληκτον. τὸ β, τὸ γ, τὸ δ, τὸ ε, ὅμοια· τὸ ς, ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ ζ, ὅμοιον. τὸ η, χοριαμβικὸν ἡμιόλιον· τὸ θ καὶ τὸ ι, ὅμοια τῷ η'· τὸ ια, τροχαϊκὸν πενθημιμερές· τὸ ιβ, ὅμοιον· τὸ ιγ, ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἐπιτρίτου τετάρτου καὶ ἰάμβου· (εἰ δὲ βούλει, τροχαϊκὸν ἑφθημιμερὲς, τοῦ δευτέρου ποδὸς δακτύλου) τὸ ιδ, ἰαμβικὸν ἑφθημιμερές· τὸ ιε, τροχαϊκὸν ἰθυφαλλικόν. ἐπὶ τῷ τέλει διπλαῖ, ὡς εἴρηται.

253. Ἐγὼ μὲν ὦ] Αἱ περίοδοι αὗται πᾶσαι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων σκα. ὧν τελευταῖος, Δοκῶ με πεῖραν τήνδε τολμήσειν ἔτι. ἐπὶ τῷ τέλει κορωνίς.

474. Εἰ μὴ ἐγὼ] Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται ἐπῳδικά· ἐπῳδικὰ δέ ἐστι (ὡς εἴρηται) ἐν οἷς ὁμοίοις ἀνόμοιόν τι ἐπιφέρεται. ἔστι δὲ τὸ παρὸν εἶδος, τριὰς ἐπῳδική· τῆς παρούσης δὲ στροφῆς τὰ κῶλα ις' καὶ τὰ τῆς ἀντιστροφῆς, τοσαῦτα. τὸ α, χοριαμβικὸν δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς, ἐξ ἐπιτρίτου τρίτου ἀντὶ χοριάμβου καὶ ἀναπαίστου· τὸ δεύτερον ὅμοιον ἐκ χοριάμβου καθαροῦ καὶ μολοσσοῦ· (εἰ δὲ βούλει, δακτυλικὸν τρίμετρον) τὸ γ, χοριαμβικὸν ἡμιόλιον· τὸ δ, τροχαϊκὸν δίμετρον βραχυκατάληκτον, ὃ καλεῖται ἰθυφαλλικόν· τὸ ε, ἰαμβικὸν δίμετρον ἀκατάληκτον, τοῦ γ ποδὸς χορείου· τὸ ς, ὅμοιον καθαρὸν ἰαμβικόν· τὸ ζ, τροχαϊκὸν ἑφθημιμερὲς Εὐριπίδειον· τὸ η, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· τὸ θ, χοριαμβικὸν δίμετρον καταληκτικὸν, ἐκ χοριάμβου καὶ βακχείου, ἢ ἀμφιβραχέος· τὸ ι, ὅμοιον τῷ ζ, τροχαϊκόν· τὸ ια, ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον· τὸ ιβ, τροχαϊκὸν πενθημιμερές· (εἰ δὲ βούλει, ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου δ) τὸ ιγ, ὅμοιον τῷ ια· τὸ ιδ, ὅμοιον τῷ ιβ κατὰ πάντα· τὸ ιε, ἰωνικὸν ἀπὸ μείζονος δίμετρον καταληκτικὸν, ἐξ ἰωνικοῦ καὶ ἀμφιμάκρου, ἤτοι κρητικοῦ· (εἰ δὲ βούλει, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον, τοῦ δευτέρου ποδὸς ἀναπαίστου) τὸ ις, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. ἐπὶ τῷ τέλει τῆς τε στροφῆς καὶ ἀντιστροφῆς, παράγραφος συνήθως.

490. Ἥξει δὲ] Ἀντιστροφὴ τῆς ἄνω στροφῆς, ἧς ἡ ἀρχὴ, Εἰ μὴ ἐγὼ, κώλων ὁμοίων ις.

506. Ὦ Πέλοπος] Ἡ ἐπῳδὸς αὕτη κώλων ιβ. τὸ α, παιωνικὸν δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς, ἐκ παίωνος πρώτου καὶ παλιμβακχείου· τὸ β καὶ γ, ὅμοια, πλὴν τὸ β μὲν μολοσσὸν ἔχει ἐν τῇ δευτέρᾳ συζυγίᾳ· τὸ δὲ γ, κρητικὸν, ἤτοι ἀμφίμακρον οἰκεῖον τῷ μέτρῳ· τὸ δ, τροχαϊκὸν μονόμετρον καταληκτικόν· τὸ ε καὶ τὸ ς, ὅμοια τῷ δευτέρῳ· τὸ ζ, δακτυλικὸν πενθημιμερὲς ἐκ σπονδείων· (εἰ δὲ βούλει, ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου τρίτου καὶ συλλαβῆς, ὃ καλεῖται δοχμαϊκόν) τὸ η, τροχαϊκὸν ἑφθημιμερές· (εἰ δὲ βούλει, ἀντισπαστικὸν φερεκράτειον

δίμετρον

Digitized by Google

δίμετρον καταληκτικὸν ἐξ ἐπιτρίτου τετάρτου καὶ κρητικοῦ) τὸ θ, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· τὸ ι, τροχαϊκὸν ὅμοιον τῷ τετάρτῳ. τὸ ια, ἰαμβικὸν ἑφθημιμερές· τὸ ιβ, ὅμοιον τρίτῳ. ἑξῆς συνήθως κορωνὶς καὶ παράγραφος.

518. Ανειμένη μὲν] Αἱ μονόστροφοι αὗται περίοδοι, στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων τζ, ὧν τελευτὴ, Λύπη δ', ἐαν ζῶ· τοῦ βίου δ' οὐδεὶς πόθος. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

825. Ποῦ ποτε κεραυνοὶ] Τὰ τοιαῦτα εἴδη καλεῖται κατὰ σχέσιν, ὡς εἴρηται· ἐσχημάτισται δὲ ἡ παροῦσα στροφὴ καὶ ἀντιστροφὴ τρόπον ἕτερον. οὐ γὰρ ἓν συνιστᾷ ταύτην πρόσωπον, ἀλλὰ δύο κατὰ τὸν ἀμοιβαῖον τρόπον. ἔστι δὲ ἡ πρώτη στροφὴ, κώλων ιβ, καὶ ἀντιστροφὴ, τοσούτων. τὸ πρῶτον ἐπῳδικὸν δίμετρον ὑπερκατάληκτον, ἐκ παίωνος πρώτου ἰωνικοῦ ἀπὸ μείζονος, καὶ συλλαβῆς· τὸ β, χοριαμβικὸν δίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ δακτύλου· τὸ γ, ἰωνικὸν ἡμιόλιον ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ ἡμίσεος· τὸ δ, ὅμοιον· τὸ ε, ἰωνικὸν ἀπ' ἐλάττονος μονόμετρον· τὸ ς, ἰωνικὸν ἀπὸ μείζονος δίμετρον καταληκτικὸν ἐξ ἰωνικοῦ καὶ μολοσσοῦ· τὸ ζ, ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον βραχυκατάληκτον, ἐκ β ἰωνικῶν καὶ συλλαβῶν β· τὸ η, ἀντισπαστικὸν δίμετρον καταληκτικὸν Φερεκράτειον, ἐξ ἐπιτρίτου τετάρτου καὶ βακχείου· τὸ θ, ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον καταληκτικὸν ἐξ ἰωνικοῦ καὶ ἀναπαίστου· τὸ ι, χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ δύο χοριάμβων· τὸ ια, χοριαμβικὸν μονόμετρον· τὸ ιβ, χοριαμβικὸν ἡμιόλιον, ἐκ χοριάμβου καὶ ἡμίσεος. εἶτα ἐπὶ τῇ α, στροφῇ καὶ ἀντιστροφῇ, παράγραφος συνήθως.

840. Οἶδα] Αντιστροφὴ τῆς ἄνω στροφῆς κώλ. ιε.

855. Δειλαία] Η παροῦσα στροφὴ κώλων ἐστὶ ι, καὶ ἡ ἀντιστροφὴ, τοσούτων· τὸ α, περιοδικόν (ἐκ τροχαϊκῆς γὰρ καὶ ἰαμβικῆς σύγκειται συζυγίας, καὶ καλεῖται τοῦτο περίοδος) τὸ β, δακτυλικὸν τετράμετρον ἀκατάληκτον· τὸ γ, ὅμοιον· τὸ δ, εἰ μὲν ἀρχαίων γράψεις, δακτυλικόν ἐστιν ἑφθημιμερὲς, ἐκ σπονδείων· (τοιοῦτον γάρ ἐστι τὸ τῆς ἀντιστροφῆς κῶλον) εἰ δ' Αχαιῶν, ἀντισπαστικόν ἐστι δίμετρον καταληκτικὸν ἐκ δισπονδείου καὶ βακχείου· ἐν δὲ τῷ κώλῳ τῆς ἀντιστροφῆς, μολοσσὸν ἀντὶ βακχείου ἔλαβε. τὸ ε, χοριαμβικὸν ἡμιόλιον, ἐκ χοριάμβου καὶ ἡμίσεος· τὸ ς, ὅμοιον ἐξ ἐπιτρίτου β· (εἰ δὲ βούλει, ἰωνικὸν ἡμιόλιον ἐξ ἐπιτρίτου καὶ ἰωνικοῦ ἡμίσεος) τὸ ζ, παιωνικὸν ἡμιόλιον ἐκ παίωνος δ, καὶ ἡμίσεος· τὸ η, ἰαμβικὸν δίμετρον ἀκατάληκτον· τὸ θ, ἀναπαιστικὸν μονόμετρον· τὸ ι, χοριαμβικὸν δίμετρον καταληκτικὸν, ἐκ χοριάμβου καὶ βακχείου. εἶτα ἐπὶ μὲν τῇ στροφῇ παράγραφος, ἐπὶ δὲ τῇ ἀντιστροφῇ κορωνὶς μόνη.

877. Υφ' ἡδονῆς τοι] Αἱ περίοδοι αὗται πᾶσαι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ϱπζ. ὧν τελευτὴ, Ηδη βεβήκης, τἄμ' ἐπαινέσεις ἔπη. μετὰ δὲ τὸν ϱ, κομμα μονοσύλλαβον, Φεῦ. ἐπὶ τῷ τέλει κορωνίς.

1064. Τί τοὺς ἄνωθεν] Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται κατὰ σχέσιν ὡς εἴρηται· ἔστι δὲ τὸ παρὸν ᾆσμα στροφῶν δύο. τῆς πρώτης στροφῆς

τὰ

τὰ κῶλα ιβ, ϗ τὰ τῆς ἀντιστροφῆς, τοσαῦτα. τὸ α, χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἰαμβικῆς συζυγίας χοριάμβου ϗ ἰάμβου· τὸ β, ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐξ ἀντισπάστου ϗ ἰαμβικῆς συζυγίας γλυκώνειον· τὸ γ, ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον σαπφικὸν, ἐξ ἀντισπάστου ϗ ἰαμβικῆς συζυγίας ϗ συλλαβῆς· τὸ δ, ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον βραχυκατάληκτον, ἐξ ἰωνικοῦ, τροχαϊκῆς συζυγίας ϗ ἰωνικοῦ ἡμίσεος· τὸ ε, ὅμοιον τῷ γ, ἔχει δὲ παίωνα γ ἀντὶ τοῦ ἀντισπάστου (εἰ δὲ βούλει, ἰωνικὸν ἀπ' ἐλάττονος) τὸ ς, ὅμοιον τῷ β· (ἔχει δὲ ἐπίτριτον τέταρτον ἀντὶ τοῦ ἀντισπάστου) τὸ ζ, ὅμοιον κατὰ πάντα τούτῳ· τὸ η, ἰωνικὸν δίμετρον ἀκατάληκτον ἐξ ἰαμβικῆς συζυγίας, ϗ ἰωνικοῦ ἀπ' ἐλάττονος· (εἰ δὲ βούλει, ἰαμβικὸν ἐφθημιμερὲς τὸν τρίτον ἔχον πόδα ἀνάπαιστον) τὸ θ, χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον ἐκ χοριάμβου, ἰαμβικῆς συζυγίας ϗ συλλαβῆς· τὸ ι, ἰωνικὸν δίμετρον ἀκατάληκτον ἐκ παίωνος τρίτου ἀντὶ ἰωνικοῦ ϗ τροχαϊκῆς συζυγίας, ἤτοι ἐπιτρίτου δευτέρου· (εἰ δὲ βούλει, ἰαμβικὸν ἐφθημιμερὲς τὸν πρῶτον ἔχον πόδα ἀνάπαιστον) τὸ ἑνδέκατον ὅμοιον· τὸ δωδέκατον, ὅμοιον τῷ πέμπτῳ. ἑξῆς ἡ συνήθης παράγραφος.

1076. Οτι σφίσ'] Αντιστροφὴ τῆς ἄνω στροφῆς κώλ. ὁμοίων ιβ.

1088. Οὐδεὶς τῶν ἀγαθῶν] Η παροῦσα στροφὴ κώλων ἐστὶν η, ϗ ἡ ἀντιστροφὴ, τοσούτων. τὸ α, ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου τετάρτου, ϗ ἀντισπάστου ϗ συλλαβῆς, ὃ καλεῖται σαπφικὸν ἢ ἱππωνάκτειον· τὸ β, ἰαμβικὸν δίμετρον ἀκατάληκτον· τὸ γ, χοριαμβικὸν δίμετρον καταληκτικὸν ἐκ χοριάμβου ϗ μολοσσοῦ. ἐν δὲ τῷ τῆς ἀντιστροφῆς, βακχεῖον ἔχει τὸν δεύτερον πόδα· τὸ δ, περίοδος καταληκτική. (σύγκειται γὰρ ἐξ ἰαμβικῆς συζυγίας ϗ τροχαϊκῆς καταληκτικῆς) τὸ ε, τροχαϊκὸν ἰθυφαλλικόν· τὸ ς, ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον, καθαρὸν μὲν ἐνταῦθα, ἐν δὲ τῷ τῆς ἀντιστροφῆς τρίβραχυν ἔχει τὸν δεύτερον πόδα· τὸ ζ, τροχαϊκὸν δίμετρον καταληκτικὸν Εὐριπίδειον· (ἔχει δὲ τὸν πρῶτον ϗ τρίτον πόδα τρίβραχυν) τὸ η, ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἰαμβικῆς ϗ τροχαϊκῆς συζυγίας ϗ σπονδείου· εἴη δ' ἂν ϗ σύνθετον, ἐκ δύο ἰαμβικῶν πενθημιμερῶν συγκείμενον. ἐπὶ τῷ τέλει τῆς στροφῆς μὲν παράγραφος· ἐπὶ δὲ τῷ τῆς ἀντιστροφῆς, κορωνὶς μόνη.

1104. Αρ' ὦ γυναῖκες] Αἱ περίοδοι αὗται πᾶσαι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ρλβ ὧν τελευτὴ, Γεγηθὸς ἕρπει δάκρυον ὀμμάτων ἄπο. μετὰ δὲ τὸν ξβ, κῶλα γ. τὸ α, ἰαμβικὸν μονόμετρον καταληκτικόν· τὸ β, δακτυλικὸν τρίμετρον· τὸ δὲ γ, ἀναπαιστικὸν ἐφθημιμερές. ἐπὶ τῷ τέλει κορωνίς.

1245. Ιὼ γονεῖ] Τὰ τοιαῦτα εἴδη ϗ αἱ περίοδοι, καλοῦνται ἀλλοιόστροφα, ὡς εἴρηται. ἔστι δὲ τὰ κῶλα τῆς παρούσης στροφῆς δ. τὸ α, ἀντισπαστικὸν δίμετρον καταληκτικὸν φερεκράτειον, ἐξ ἰαμβικῆς συζυγίας ϗ βακχείου· (εἰ δὲ βούλει, ἰαμβικὸν ἐφθημιμερές) τὸ β, ἀντισπαστικὸν ὅμοιον, ἐξ ἰαμβικῆς συζυγίας ϗ κρητικοῦ, ἤτοι ἀμφιμάκρου· τὸ γ, παιωνικὸν ἡμιόλιον, ἐκ παίωνος τετάρτου ϗ ἰάμβου· τὸ δ, ἴαμβος τρίμετρος ἀκατάληκτος.

τελληκτος. εἶτα παράγραφος, καὶ ἔσω νενευκυῖα διπλῆ, διὰ τὴν ἀνταπόδοσιν, ἐπὶ τῷ τέλει τοῦ τελευταίου κώλου. ἐν δὲ τῇ ἀρχῇ, ἡ ἔξω νενευκυῖα.

1249. Πάρεσμεν] Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς μὲν πρὸς τὴν στροφὴν, ὁμοιομερὲς δὲ τῷ μετὰ τὴν ἀντιστροφὴν ταύτην ἑτέρῳ συστήματι, οὗ ἡ ἀρχὴ, Ξύμφημι κἀγώ. στίχων ἰαμβικῶν τριμέτρων δύο καὶ κώλου, ὃ μέσον ἐστὶ κείμενον τῶν στίχων. ἔστι δὲ καὶ αὐτὸ ἰαμβικὸν μονόμετρον καταληκτικόν. εἶτα μετὰ τὸν τρίτον στίχον παράγραφος ἐπὶ τῷ τέλει.

1252. Αλλ' οὐ] Η παροῦσα στροφὴ, κώλων ἐστὶ ε. τὸ α, ἀντισπαστικὸν ἡμιόλιον ἐκ δισπονδείου καὶ ἰάμβου· τὸ β, ὅμοιον, ἐξ ἐπιτρίτου τρίτου καὶ σπονδείου· (εἰ δὲ βούλει, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον) τὸ γ, ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον τοῦ πρώτου ποδὸς πεντασυλλάβου ἀντισπάστου· τοῦ δὲ δευτέρου, ἐπιτρίτου δευτέρου· τὸ δ, ἰαμβικὸν ἑφθημιμερές. τὸ ε, ἀντισπαστικὸν ἡμιόλιον καθαρόν. εἶτα παράγραφος καὶ διπλαῖ διὰ τὴν ἀνταπόδοσιν.

1257. Ορα γε] Σύστημα ἕτερον κατὰ περικοπὴν μονόστιχον, ὅμοιον τῷ μετὰ τὴν ἀντιστροφὴν συστήματι, οὗ ἡ ἀρχὴ, Τότ' εἶδες· διὰ τοῦτο καὶ ὁ ὢν ἐνταῦθα ἕτερος στίχος, ἐξεβλήθη ὡς περισσός. εἶτα παράγραφος.

1258. Οτοτοτοί] Η παροῦσα στροφὴ, κώλων ἐστὶ ε. τὸ α, ἰαμβικὸν μονόμετρον ἀκατάληκτον· τὸ β, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον, ἔχον τοὺς πρώτους πόδας χορείους· τὸ γ, δακτυλικὸν πενθημιμερὲς, τὸν β ἔχον πόδα προκελευσματικὸν, ἤτοι τετράβραχυν· τὸ δ, παιωνικὸν δίμετρον ἀκατάληκτον, ἐκ παιώνων πρώτων· τὸ ε, ἐπιχοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, τοῦ πρώτου ποδὸς παίωνος πρώτου. εἶτα παράγραφος καὶ διπλαῖ.

1263. Εξοιδα καὶ] Σύστημα ἕτερον κατὰ περικοπὴν ὅμοιον τῷ μετὰ τὴν ἀντιστροφὴν συστήματι, οὗ ἡ ἀρχὴ, Τὰ μέν σ' ὀκνῶ. στίχων ἰαμβικῶν τριμέτρων δύο. εἶτα παράγραφος.

1265. Ο πᾶς ἐμοὶ] Η ἀντιστροφὴ αὕτη, τῆς πρώτης ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ, Ιὼ γοναί. ἔστι δὲ κώλων ὁμοίων ἐκείνῃ, ε. ἐπὶ τῷ τέλει μόνη παράγραφος.

1269. Ξύμφημι κἀγώ] Τὸ παρὸν σύστημα ὅμοιόν ἐστι τῷ μετὰ τὴν πρώτην στροφὴν συστήματι, οὗ ἡ ἀρχὴ, Πάρεσμεν. ἔστι δὲ στίχων ἰαμβικῶν τριμέτρων δύο, καὶ κώλου ὁμοίου· ἐπὶ τῷ τέλει μόνη παράγραφος.

1272. Τίς δῆτ' οὖν] Η ἀντιστροφὴ αὕτη τῆς δευτέρας ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ, Αλλ' οὐ τὰν Ἄρτεμιν. ἔστι δὲ κώλων ὁμοίων ἐκείνῃ, ε. ἐπὶ τῷ τέλει παράγραφος μόνη.

1277. Τότ' εἶδες] Τὸ παρὸν σύστημα ὅμοιόν ἐστι τῷ μετὰ τὴν δευτέραν στροφὴν συστήματι, οὗ ἡ ἀρχὴ, Ορα γε μὲν δή. ἔστι δὲ μονόστιχον ὡς κἀκεῖνο. ἐπὶ τῷ τέλει μόνη παράγραφος.

1278. Ὀτοτοτοτοῖ.] Ἡ ἀντιστροφὴ αὕτη, τῆς τρίτης ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ, Ὀτοτοτοτοῖ. ἔστι δὲ κώλων ὁμοίων ἐκείνῃ, ε. πλὴν τὸ δεύτερον κῶλον οὐ τοὺς δύο πόδας ἔχει χορείους ὡς ἐκεῖνο· ἀλλὰ μόνον τὸν πρῶτον. ἐπὶ τῷ τέλει μόνη παράγραφος.

1283. Τὰ μὲν σ' ἐνῶ] Τὸ παρὸν σύστημα ὅμοιόν ἐστι τῷ μετὰ τὴν τρίτην στροφὴν συστήματι, οὗ ἡ ἀρχὴ, Ἐξοιδα καὶ ταῦτα· ἔστι δὲ στίχων ἰάμβων δύο. ἐπὶ τῷ τέλει μόνη παράγραφος.

1285. Ἰὼ χρόνῳ] Σύστημα ἕτερον ἀνομοιομερὲς πρὸς τὰ ῥηθέντα συστήματα, κώλων ζ. ὧν τὸ α, ἴαμβος τρίμετρος ἀκατάληκτος· τὸ β, ὁμοίως τρίμετρος καταληκτικός· (λείπει γὰρ συλλαβὴ) τὸ γ, ἐπιχοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, τὸν πρῶτον ἔχον πόδα, παίωνα πρῶτον· τὸ δ, ὅμοιον τῷ δευτέρῳ· τὸ ε, ὅμοιον· τὸ ϛ, ὅμοιον τῷ πρώτῳ· τὸ ζ, ἀντισπαστικὸν ἡμιόλιον καθαρόν. ἐν ἀρχῇ τοῦ τοιούτου κώλου, καὶ ἐν τῷ τέλει αἱ διπλαῖ.

1294. Ὦ φίλαι] Ἡ μονόστροφος αὕτη στροφὴ, κώλων ἐστὶ ζ. τὸ α, δακτυλικὸν πενθημιμερές· τὸ β, ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου δευτέρου· τὸ γ, ἀντισπαστικὸν δίμετρον καταληκτικὸν, ἐξ ἐπιτρίτου δευτέρου, καὶ ἀμφιβραχέος· τὸ δ, ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν, ἐκ διτροχαίων δύο, καὶ ἀμφιβραχέος· τὸ ε καὶ ϛ, τροχαϊκὰ δίμετρα ἀκατάληκτα· τὸ ζ, χοριαμβικὸν τρίμετρον καταληκτικὸν, ἐκ χοριάμβου, διϊάμβου καὶ βακχείου. ἑξῆς κορωνὶς μόνη ἐπισφραγίζουσα οἷον τὰ προρρηθέντα συστήματα. στροφὴ δὲ τοῦτο τὸ σύστημα ὠνόμασται παρ' ἡμῶν, ἐπεὶ καὶ στροφὴν ποιησαμένη Ἠλέκτρα πρὸς τὸν χορὸν ποιεῖται τὸν λόγον. ἔπειτα δὲ καὶ πρὸς τὸν Ὀρέστην.

1301. Τὰ μὲν περισσεύοντα] Αἱ μονοστροφικαὶ αὗται περίοδοι, στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ξϛ. ὧν τελευτὴ, Τῆς δυσσεβείας οἷα δωροῦνται θεοί· ἑξῆς κορωνὶς συνήθως.

1400. Ἴδεθ' ὅπου] Τὰ τοιαῦτα εἴδη τῶν χορῶν, καλεῖται κατὰ σχέσιν, ὡς εἴρηται. ἔστι δὲ τὸ ᾆσμα μιᾶς στροφῆς, τὰ δὲ κῶλα τῆς στροφῆς, ζ, καὶ τὰ τῆς ἀντιστροφῆς, τοσαῦτα. τὸ α, παιωνικὸν δίμετρον ἀκατάληκτον καθαρὸν, ἐκ παιώνων τετάρτων δύο. τὸ β, ἀντισπαστικὸν, τρίμετρον βραχυκατάληκτον, ἐξ ἀντισπάστου πεντασυλλάβου, ἐπιτρίτου δευτέρου καὶ ἰάμβου· τὸ γ. ἴαμβος τρίμετρος καθαρός· τὸ δ, σύνθετον ἐξ ἰαμβικοῦ διμέτρου ἀκαταλήκτου, καὶ τροχαϊκοῦ μονομέτρου καταληκτικοῦ· (εἰ δὲ βούλει, χοριαμβικὸν τρίμετρον καταληκτικὸν ἐκ διϊάμβων δύο, καὶ ἀμφιμάκρου) τὸ ε, ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον, δοχμιακόν· τὸ ϛ, ἰαμβικὸν δίμετρον ἀκατάληκτον· τὸ ζ, ἴαμβος τρίμετρος καθαρός. εἶτα ἐπὶ μὲν τῇ στροφῇ παράγραφος· ἐπὶ δὲ τῇ ἀντιστροφῇ, κορωνὶς μόνη.

1414. Ὦ φίλταται γυναῖκες] Τὰ τοιαῦτα εἴδη καὶ αἱ περίοδοι, καλοῦνται ἀλλοιόστροφα. ἔστι δὲ τὸ παρὸν σύστημα προῳδικὸν, στίχων δὲ ἰαμβικῶν θ. ὧν οἱ μὲν η, τρίμετροι ἀκατάληκτοι· ὁ δὲ ζ, ἰαμβικὸς, δίμετρος ἀκατάληκτος. εἶτα παράγραφος.



Digitized by Google

1425. Ἤκουσ' ἀνήκουστα] Ἡ παροῦσα στροφὴ, κώλων ἐστὶ δύο. τὸ α, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· τὸ β, ἰαμβικὸν ἑφθημιμερές. ἐπὶ τῷ τελευταίῳ κώλῳ παράγραφος καὶ διπλαῖ.

1427. Οἴ μοι τάλαιν'] Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς, στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων, δ. εἶτα παράγραφος ἐπὶ τῷ τέλει συνήθως. ἰστέον δὲ ὅτι τὸ μετὰ τὴν ἀντιστροφὴν σύστημα ἐλλιπές ἐστιν, ὅπερ οὐκ ἂν εὑρεθείη ἐν ἑτέροις.

1433. Ὦ πόλις] Ἡ παροῦσα στροφὴ κώλων ἐστὶ δ. τὸ α, χοριαμβικὸν δίμετρον καταληκτικὸν, ἐκ χοριάμβου καὶ ἀναπαίστου· (εἰ δὲ βούλει, δακτυλικὸν πενθημιμερές) τὸ β, ἀναπαιστικὸν μονόμετρον ὑπερκατάληκτον, δοχμαϊκὸν ἐκ διϊάμβου· (εἰ δὲ βούλει, ἰαμβικὸν πενθημιμερές) τὸ γ, ὅμοιον τῷ πρώτῳ· τὸ δ, ἰαμβικὸν μονόμετρον ἀκατάληκτον, καθαρόν. ἐπὶ τελευταίῳ κώλῳ παράγραφος καὶ διπλαῖ.

1437. Ὤ μοι] Σύστημα ἕτερον κατὰ περικοπὴν, στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων δύο. εἶτα παράγραφος.

1441. Τελοῦσ' ἀραὶ] Ἡ παροῦσα στροφὴ, κώλων ἐστὶ δ. τὸ α, ἀντισπαστικὸν δίμετρον καταληκτικὸν, ἐκ διϊάμβου καὶ κρητικοῦ, φερεκράτειον· τὸ β, χοριαμβικὸν καθαρὸν ἡμιόλιον· τὸ γ, ἴαμβος τρίμετρος ἀκατάληκτος. τὸ δ, ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, ἐξ ἐπιτρίτου καὶ διϊάμβου, καὶ συλλαβῆς, σαπφικόν. εἶτα παράγραφος καὶ διπλαῖ.

1445. Καὶ μὴν πάρεισιν] Σύστημα ἕτερον κατὰ περικοπὴν, στίχων ἰαμβικῶν τριμέτρων, ς. εἶτα παράγραφος.

1452. Παύσασθ'] Ἡ ἀντιστροφὴ αὕτη, τῆς πρώτης ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ, Ἤκουσ' ἀνήκουστα· ἔστι δὲ κώλων δύο ὁμοίων ἐκείνῃ. ἐπὶ τῷ τέλει μόνη παράγραφος.

1454. Ὦ παῖδες] Τὸ παρὸν σύστημα ὅμοιον ἐχρῆν εἶναι τῷ μετὰ τὴν πρώτην στροφὴν συστήματι, οὗ ἡ ἀρχὴ, Οἴμοι τάλαινα. ἐκεῖνο μὲν γὰρ στίχων ἐστὶν ἰαμβικῶν τριμέτρων, δ. τοῦτο δὲ στίχων ὁμοίων δύο, καὶ κώλου ὁμοίου πενθημιμεροῦς, ὅπερ οὐκ ἂν ἐν ἑτέροις εὕροι τις. ἐπὶ τῷ τέλει μόνη παράγραφος.

1457. Βαῖτε κατ' ἀντιθύρων] Ἡ ἀντιστροφὴ αὕτη τῆς δευτέρας ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ, Ὦ πόλις. ἔστι δὲ κώλων τεσσάρων ὁμοίων ἐκείνῃ. ἐπὶ τῷ τέλει μόνη παράγραφος.

1461. Θάρσει· τελοῦμεν] Τὸ παρὸν σύστημα ὅμοιόν ἐστι τῷ μετὰ τὴν β στροφὴν συστήματι, οὗ ἡ ἀρχὴ, Ὤμοι πέπληγμαι. καὶ ἔστι, ὡς κἀκεῖνο, στίχων ἰαμβικῶν τριμέτρων δύο· ἐπὶ τῷ τέλει μόνη παράγραφος.

1465. Δι' ὤτος ἂν] Ἡ ἀντιστροφὴ αὕτη, τῆς τρίτης ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ, Τελοῦσ' ἀραί. ἔστι δὲ κώλων δ, ὁμοίων ἐκείνῃ. αἱ δύο ἐπὶ τῷ τελευταίῳ κώλῳ διπλαῖ.

1469. Τίς οἶδεν ὑμῶν] Τὸ παρὸν σύστημα ὅμοιόν ἐστι τῷ μετὰ τὴν τρίτην στροφὴν συστήματι, οὗ ἡ ἀρχὴ, Καὶ μὴν πάρεισιν οἵδε. καί ἐστιν ὡς

ἐκείνο ϛίχων ἰαμβικῶν τριμέτρων, ϛ. ἐπὶ τῷ τέλει παράγραφος μόνη. τοῦτο δὲ καὶ τῶν ἑξῆς ἀρχὴ δοκεῖ εἶναι συϛημάτων, καὶ περιόδων, διὰ τὸ καὶ τὸ πρόσωπον ἕτερον εἶναι. εἰσὶ δὲ καὶ οἱ ἑξῆς πάντες ϛίχοι, ἰαμβικοὶ τρίμετροι ξ, ὧν τελευταῖος, Κτείνων· τὸ γὰρ πανοῦργον οὐκ ἂν ἦν πολύ. εἶτα παράγραφος.

1541. Ω σπέρμ' Ἀτρέως] Σύϛημα ἐπῳδικὸν ἐν ἐκθέσει τοῦ δράματος, κώλων ἀναπαιϛικῶν τριῶν. ὧν τὰ δύο, δίμετρα ἀκατάληκτα· τὸ δὲ τρίτον, καταληκτικὸν, ἤτοι ἑφθημιμερές. ἐπὶ τῷ τέλει κορωνὶς ἡ περατοῦσα τὸ δρᾶμα.

ΔΗΜΗΤΡΙΟΥ

Digitized by Google

# ΔΗΜΗΤΡΙΟΥ
# ΤΟΥ
# ΤΡΙΚΛΙΝΙΟΥ

## ΠΕΡΙ

## Μέτρων οἷς ἐχρήσατο Σοφοκλῆς ἐν τῷ Οἰδίποδι Τυράννῳ.

Vers. 1. Ω ΤΕΚΝΑ, Κάδμου] Ἡ εἴσθεσις τοῦ δράματος ἐκ συστηματικῶν ἐστὶ περιόδων· οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, ρϛ΄ ὧν τελευτὴ, Σωτήρ θ' ἵκοιτο καὶ νόσου παυστήριος. ἐπὶ τῷ τέλει κορωνίς.

151. Ὦ Διὸς] Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται μονοστροφικά. μονοστροφικὰ δέ ἐστιν (ὡς Ἡφαιστίων φησὶν) ὁπόσα ὑπὸ μιᾶς στροφῆς καταμετρεῖται, καθάπερ τὰ Ἀλκαίου, καὶ τὰ Σαπφοῦς, καὶ τὰ Ἀνακρέοντος. καλεῖται δὲ καὶ μετρικὰ ἄτακτα, διότι μέτρῳ μὲν γέγραπται, οὔτε δὲ ὁμοιότητα ἔχει πρὸς ἄλληλα, οὔτε ἀνακύκλησιν. ἔστι γοῦν ἡ παροῦσα μονόστροφος στροφὴ, κώλων ογ. τὸ α, δακτυλικὸν τετράμετρον ἀκατάληκτον (κατὰ μονοποδίαν γὰρ ταῦτα μετρεῖται) τὸ β, δακτυλικὸν ὅμοιον ἑφθημιμερές· τὸ γ, τροχαϊκὸν ἑφθημιμερὲς Εὐριπίδειον· τὸ δ, δακτυλικὸν τρίμετρον· τὸ ε, χοριαμβικὸν μονόμετρον ὑπερκατάληκτον, ἐκ χοριάμβου καὶ συλλαβῆς· (καὶ δακτυλικὸν ἂν εἴη δίμετρον) τὸ ϛ, προσοδιακὸν δίμετρον ὑπερκατάληκτον, ἐκ παίωνος δευτέρου

ἀντὶ

Digitized by Google

ἀντὶ ἰωνικοῦ, χοριάμβου καὶ συλλαβῆς· τὸ ζ, δακτυλικὸν πενθημιμερές· τὸ η, ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον, ἐξ ἀντισπάστου καὶ συλλαβῆς· τὸ θ, ὅμοιον τῷ ζ· τὸ ι, προσοδιακὸν τριμέτρον βραχυκατάληκτον, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος, χοριάμβου καὶ ἡμίσεος ἰωνικοῦ· τὸ ια, ὅμοιον τῷ τετάρτῳ· (ἔχει δὲ καὶ συνίζησιν τὸ κῶλον· τὸ αὐτὸ δ' ἂν εἴη διαλελυμένως κείμενον, καὶ τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον) τὸ ιβ, ὅμοιον δακτυλικόν· τὸ ιγ, ὅμοιον τῷ ζ· τὸ ιδ, ἀναπαιστικὸν μονόμετρον καταληκτικόν· (εἴη δ' ἂν καὶ ἰαμβικὸν μονόμετρον ἐξ ἀναπαίστου) τὸ ιε, ὅμοιον τῷ ε· τὸ ις, ἰαμβικὸν δίμετρον ἀκατάληκτον· τὸ ιζ, δακτυλικὸν ἑφθημιμερές· τὸ ιη, ἀναπαιστικὸν πενθημιμερές· τὸ ιθ, ὅμοιον, δίμετρον βραχυκατάληκτον εἰς δισύλλαβον· (εἰ δὲ βούλει, ἰωνικὸν ἀπὸ μείζονος, δίμετρον καταληκτικὸν ἐξ ἰωνικῆς καὶ τροχαϊκῆς συζυγίας καταληκτικῆς, ἥτις καὶ δάκτυλος, ἔστιν ὅτε γίνεται) τὸ κ, ἰαμβικὸν μονόμετρον ἀκατάληκτον· τὸ κα, ὅμοιον τῷ πρώτῳ· τὸ κβ, ὅμοιον· τὸ κγ, ὅμοιον, δακτυλικὸν ἑφθημιμερές· τὸ κδ, δακτυλικὸν τρίμετρον ἀκατάληκτον· τὸ κε, χοριαμβικὸν δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς ἐκ χοριάμβου καὶ κρητικοῦ· τὸ κς, ἰωνικὸν ἀπ' ἐλάττονος τρίμετρον βραχυκατάληκτον ἐκ παίωνος τρίτου ἀντὶ ἰωνικοῦ, καὶ τροχαϊκῆς συζυγίας, ἤτοι ἐπιτρίτου δευτέρου, καὶ ἰωνικοῦ αὖθις ἡμίσεος· τὸ κζ, ἰαμβικὸν δίμετρον ἀκατάληκτον· τὸ κη, δακτυλικὸν τρίμετρον καταληκτικὸν εἰς δισύλλαβον· τὸ κθ, ὅμοιον, τρίμετρον ἀκατάληκτον· τὸ λ, τροχαϊκὸν ἑφθημιμερὲς ὅμοιον τῷ γ· τὸ λα, ὅμοιον τῷ κη· τὸ λβ, ἀσυνάρτητον ἐξ ἰαμβικῆς συζυγίας, καὶ ἀναπαιστικοῦ πενθημιμεροῦς· τὸ λγ, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· τὸ λδ, ἀναπαιστικὸν μονόμετρον ἀκατάληκτον· (εἰ δὲ βούλει, ἰωνικὸν ἀπὸ μείζονος μονόμετρον ὑπερκατάληκτον καθαρόν) τὸ λε, ἀναπαιστικὸν πενθημιμερὲς, ὅμοιον τῷ ιη· τὸ λς, δακτυλικὸν τρίμετρον, ὅμοιον τῷ δ· τὸ λζ, χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον ἐκ χοριάμβου, τροχαϊκῆς συζυγίας καὶ συλλαβῆς· τὸ λη, ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ἔχον τὸν μὲν πρῶτον πόδα καθαρὸν ἀντίσπαστον, τὸν δὲ δεύτερον πεντασύλλαβον, διαλελυμένης τῆς πρώτης μακρᾶς· τὸ λθ, ἰωνικὸν ἀπ' ἐλάττονος, δίμετρον ὑπερκατάληκτον ἐκ τροχαϊκῆς συζυγίας, ἤτοι ἐπιτρίτου δευτέρου, καὶ ἰωνικοῦ πεντασυλλάβου, καὶ συλλαβῆς· τὸ μ, περίοδος, ἤτοι τροχαϊκὴ καὶ ἰαμβικὴ συζυγία· τὸ μα, δακτυλικὸν, ἑφθημιμερὲς, ὅμοιον τῷ δευτέρῳ· τὸ μβ, ἀναπαιστικὸν ὅμοιον τῷ ιθ· τὸ μγ, ὅμοιον· τὸ μδ, χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον ἐκ χοριάμβου, τροχαϊκῆς συζυγίας καὶ συλλαβῆς. τὸ με, προσοδιακὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἰωνικοῦ ἀπὸ μείζονος, χοριάμβου, καὶ συλλαβῆς. τὸ μς, ἀσυνάρτητον ἐξ ἰαμβικοῦ πενθημιμεροῦς, καὶ ἀναπαιστικοῦ ὁμοίου, ὃ καλεῖται διπενθημιμερές· τὸ μζ, ἰωνικὸν ἀπ' ἐλάττονος τρίμετρον βραχυκατάληκτον ἐξ ἰαμβικῆς συζυγίας, ἰωνικοῦ, καὶ δύο συλλαβῶν. τὸ μη, ἀσυνάρτητον ἐξ ἀναπαιστικῆς καὶ τροχαϊκῆς βάσεως. τὸ μθ, ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον βραχυκατάληκτον ἐξ ἰωνικοῦ παίωνος τρίτου, καὶ ἰωνικοῦ ἡμίσεος· τὸ ν, ἰαμβικὸν δίμετρον ἀκατάληκτον· τὸ να, ἰαμβικὸν τρίμετρον ἀκατάληκτον τὸν δεύτερον ἔχον πόδα τρίβραχυν· τὸ νβ, ὅμοιον,

τρίμετρον

Digitized by Google

τρίμετρον βραχυκατάληκτον· τὸ νγ, ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἰαμβικῆς συζυγίας, ἀντισπάστου καὶ συλλαβῆς· τὸ νδ, παιωνικὸν δίμετρον καταληκτικὸν ἐκ παίωνος τετάρτου καὶ ἀναπαίστου, ἢ κρητικοῦ· τὸ νε, προσοδιακὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἰωνικοῦ ἀπὸ μείζονος, χοριάμβου καὶ συλλαβῆς· (τὸ τοιοῦτον δὲ καὶ ἀναπαιστικὸν δύναται εἶναι ἑφθημιμερὲς) τὸ νϛ, χοριαμβικὸν ὅμοιον τῷ κε, ἐκ χοριάμβου καὶ ἀμφιβραχέος· τὸ νζ, ἰαμβικὸν δίμετρον ἀκατάληκτον ὅμοιον τῷ κζ· τὸ νη, τροχαϊκὸν ἑφθημιμερὲς ὅμοιον τῷ γ· τὸ νθ, ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου τρίτου· τὸ ξ, ὅμοιον τῷ νϛ· τὸ ξα, ἰαμβικὸν ἑφθημιμερὲς τοῦ πρώτου ποδὸς ἀναπαίστου· τὸ ξβ, ἰωνικὸν τρίμετρον καταληκτικὸν ἐξ ἰαμβικῆς συζυγίας, ἰωνικοῦ ἀπ' ἐλάσσονος καὶ κρητικοῦ, ἤτοι τροχαϊκῆς συζυγίας καταληκτικῆς· τὸ ξγ, ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον τοῦ τρίτου ποδὸς τριβράχεος· τὸ ξδ, ἰωνικὸν δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς ἐξ ἰωνικοῦ ἀπ' ἐλάττονος καὶ βακχείου· τὸ ξε, ἰαμβικὸν ἑφθημιμερὲς καθαρόν· τὸ ξϛ, ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ὑπερκατάληκτον ἐκ τροχαϊκῆς συζυγίας, ἰωνικοῦ ἀπὸ μείζονος καὶ συλλαβῆς· τὸ ξζ, ἰαμβικὸν δίμετρον ἀκατάληκτον τοῦ τρίτου ποδὸς τριβράχεος· τὸ ξη, ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον ὑπερκατάληκτον ἐξ ἰωνικοῦ, τροχαϊκῆς συζυγίας ἤτοι ἐπιτρίτου τρίτου καὶ συλλαβῆς· τὸ ξθ, ὅμοιον, ἐξ ἰωνικοῦ, τροχαϊκῆς συζυγίας καὶ συλλαβῆς· τὸ ο, ἰωνικὸν ἀπὸ μείζονος ὅμοιον, ἐξ ἰωνικοῦ, τροχαϊκῆς συζυγίας καὶ συλλαβῆς. τὸ οα, τροχαϊκὸν ἑφθημιμερὲς Εὐριπίδειον· τὸ οβ, ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον. ἐξ ἐπιτρίτου πρώτου, ἀντισπάστου καὶ ἐπιτρίτου δευτέρου. τὸ ογ, ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον τοῦ πρώτου ποδὸς τριβράχεος, τοῦ δὲ δευτέρου ἀναπαίστου. ἐπὶ τῷ τέλει κορωνίς.

224. Αἰτεῖς] Αἱ μονοστροφικαὶ περίοδοι αὗται στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων σμζ. ὧν τελευτὴ, Φάσκειν ἔμ' ἤδη μαντικῇ μηδὲν φρονεῖν. ἐπὶ τῷ τέλει κορωνίς.

471. Τίς ὅντιν'] Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται κατὰ σχέσιν, ὡς εὕρηται. (ἴσθι δὲ ὅτι καὶ τἄλλα ὅσα καὶ στροφὰς ἔχει, κατὰ σχέσιν ἐστίν. ἀλλ' ὅτι καὶ ἐπῳδὰς ἔχει, καλεῖται διὰ τοῦτο ἐπῳδικά) εἰσὶ δὲ τῆς παρούσης στροφῆς τὰ κῶλα δέκα, καὶ τὰ τῆς ἀντιστροφῆς, τοσαῦτα. τὸ πρῶτον χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἰαμβικῆς συζυγίας, χοριάμβου καὶ συλλαβῆς· τὸ β, τροχαϊκὸν ἰθυφαλλικόν (τρεῖς γάρ εἰσι τροχαῖοι) τὸ γ, δακτυλικὸν πενθημιμερὲς ἐκ σπονδείων· τὸ δ, ἰωνικὸν ἀπ' ἐλάττονος τρίμετρον βραχυκατάληκτον ἐκ παίωνος τρίτου ἀντὶ ἰωνικοῦ, τροχαϊκῆς συζυγίας καὶ δύο συλλαβῶν (τοῦτο δὲ καὶ ἰαμβικὸν εἴη τρίμετρον ὑπερκατάληκτον τοῦ πρώτου ποδὸς ἀναπαίστου) τὸ ε, προσοδιακὸν τρίμετρον βραχυκατάληκτον ἐξ ἰωνικοῦ ἀπὸ μείζονος. χοριάμβου καὶ δύο συλλαβῶν, ἤτοι ἰωνικοῦ ἡμίσεος. τὸ ϛ, ἰωνικὸν τρίμετρον βραχυκατάληκτον ἐκ παίωνος τρίτου ἀντὶ ἰωνικοῦ, τροχαϊκῆς συζυγίας καὶ σπονδείου. ἐν τῷ κώλῳ δὲ τῆς στροφῆς ὁ δεύτερος ποὺς ἐστὶ πεντασύλλαβος ἐπίτριτος· τὸ ζ, ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον

τὸ

τὸ η, ὅμοιον· τὸ θ, ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον· (ἔχει γὰρ τὸν πόδα ὅλον ϗ τὸ ἥμισυ αὐτοῦ) τοῦτο ϗ ἀναπαιστικὸν εἴη ἂν πενθημιμερές. τὸ ι, παιωνικὸν δίμετρον καταληκτικὸν ἐκ παίωνος πρώτου ϗ βακχείου. ἐπὶ τῷ τέλει τῆς στροφῆς ϗ ἀντιστροφῆς παράγραφος.

491. Δεινὰ μὲν οὖν] Η δευτέρα αὕτη στροφὴ κώλων ἐστὶ ιε, ϗ ἀντιστροφὴ, τοσούτων. τὸ α, χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον ἐκ δύο χοριάμβων ϗ συλλαβῆς· (τὸ αὐτὸ δὲ εἴη ἂν ϗ ἀναπαιστικὸν ἑφθημιμερὲς ἐκ δακτύλου ἀρχόμενον) τὸ δεύτερον, ἰωνικὸν ἀπ᾽ ἐλάττονος δίμετρον καταληκτικὸν ἐξ ἰωνικοῦ ϗ ἀναπαίστου· (εἴη δ᾽ ἂν ϗ ἀναπαιστικὸν πενθημιμερὲς τοῦ δευτέρου ποδὸς δακτύλου) τὸ τρίτον, ὅμοιον τῷ πρώτῳ· τὸ δ, ὅμοιον τῷ δευτέρῳ· τὸ ε, ἰωνικὸν ἀπ᾽ ἐλάττονος δίμετρον ἀκατάληκτον καθαρόν· τὸ ς ϗ ζ, ὅμοια τῷ δευτέρῳ· τὸ η, ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ὑπερκατάληκτον καθαρόν· τὸ θ, χοριαμβικὸν δίμετρον ἀκατάληκτον καθαρόν· τὸ ι, ὅμοιον· τὸ ια, ὅμοιον· τὸ ιβ, ἀναπαιστικὸν πενθημιμερές· τὸ ιγ, ὅμοιον τῷ δευτέρῳ· τὸ ιδ, δακτυλικὸν τρίμετρον καταληκτικὸν εἰς δισύλλαβον· (εἴη δ᾽ ἂν ϗ προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐκ χοριάμβου, ϗ ἰωνικοῦ ἀπ᾽ ἐλάττονος) τὸ ιε, ἀντισπαστικὸν ἡμιόλιον ἐξ ἀναπαίστου ϗ ἰάμβου. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος· τῆς δὲ ἀντιστροφῆς, κορωνὶς μόνη.

521. Ανδρες πολῖται,] Αἱ μονοστροφικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ϛλδ. ὧν τελευτὴ, Επειτα κἀμὲ· τοὺς δέ θ᾽, οἳ πάρεισί σοι. ἐπὶ τῷ τέλει κορωνίς.

651. Πιθοῦ θελήσας] Τὰ παρόντα εἴδη ϗ αἱ περίοδοι καλοῦνται ἀλλοιόστροφα, ὡς εἴρηται. ἡ παροῦσα οὖν στροφὴ κώλων ἐστὶ ς. τὸ α, περίοδος, ἤτοι δύο ἴαμβοι ϗ δύο τροχαῖοι· τὸ β, ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον καθαρόν· τὸ γ. ἰαμβικὸν δίμετρον ἀκατάληκτον· τὸ δ, περίοδος καταληκτικὴ ἐξ ἰαμβικῆς συζυγίας ϗ τροχαϊκῆς καταληκτικῆς. τὸ ε, ἰωνικὸν ἀπ᾽ ἐλάττονος δίμετρον, ἤτοι ἡμιόλιον ἐκ τροχαϊκῆς συζυγίας, ἤτοι ἐπιτρίτου δευτέρου ϗ ἰωνικοῦ ἡμίσεος· τὸ ς, ἰαμβικὸν μονόμετρον. ἐπὶ τῷ τέλει παράγραφος ϗ διπλαῖ· ἡ μὲν, ἐν ἀρχῇ τοῦ κώλου· ἡ δὲ, κατὰ τὸ τέλος.

667. Οἶσθ᾽ οὖν] Σύστημα κατὰ περικοπὴν ὅμοιον τῷ μετὰ τὴν ἀντιστροφὴν συστήματι, οὗ ἡ ἀρχὴ, Αμφοῖν ἀπ᾽ αὐτοῖν· στίχων ϗ κώλων ε. ὁ πρῶτος, ἰαμβικὸς τρίμετρος ἀκατάληκτος· (ἴαμβον γὰρ ὁλόκληρον τὰ τρία ποιεῖ πρόσωπα.) ὁ β, ἀντισπαστικὸς τρίμετρος ἀκατάληκτος ἐκ παίωνος τετάρτου, ἀντισπάστου ϗ ἰαμβικῆς συζυγίας· (εἰ δὲ βούλει, ἰωνικὸς ἀπὸ μείζονος τρίμετρος καταληκτικὸς ἐκ τροχαϊκῆς συζυγίας πεντασυλλάβου, ἰωνικοῦ ϗ κρητικοῦ) ὁ γ, χοριαμβικὸς τρίμετρος καταληκτικὸς ἐκ χοριάμβου, ἰαμβικῆς συζυγίας ϗ κρητικοῦ· ὁ τέταρτος ϗ πέμπτος, ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι· ἐπὶ τῷ τέλει παράγραφος μόνη.

674. Οὐ τὸν πάντων θεῶν] Η παροῦσα στροφὴ κώλων ἐστὶ ι. τὸ α, ἀντισπαστικὸν ἡμιόλιον ἐκ δισπονδείου ϗ ἰάμβου. (τρέπεται γὰρ, ὥς φασιν, ὁ ἀντίσπαστος εἰς τὰ τέσσαρα τοῦ δισυλλάβου σχήματα) τὸ β, ἰωνικὸν ἀπὸ

μείζονος

Digitized by Google

μείζονος δίμετρον καταληκτικὸν ἐκ παίωνος δευτέρου ἀντὶ ἰωνικοῦ καὶ δακτύλου· τὸ γ, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον, τοῦ δευτέρου καὶ τρίτου ποδὸς τριβραχέος· τὸ δ, ὅμοιον, τοῦ πρώτου καὶ δευτέρου ποδὸς τριβραχέος· (εἰ δὲ βούλει, προκελευσματικὸν δίμετρον ἀκατάληκτον ἐκ προκελευσματικοῦ καὶ ἰωνικοῦ ἀπ' ἐλάττονος· τάττοιτο δ' ἂν ὡς ἰωνικόν) τὸ ε, περίοδος καταληκτικὴ ἐξ ἰαμβικῆς συζυγίας, καὶ τροχαϊκῆς καταληκτικῆς· τὸ ϛ, ἰωνικὸν ἀπ' ἐλάττονος ἡμιόλιον ἐκ τροχαϊκῆς συζυγίας, ἤτοι ἐπιτρίτου δευτέρου, καὶ ἰωνικοῦ ἡμίσεος, ἤτοι ἰάμβου· τὸ ζ, ὅμοιον· τὸ η, τροχαϊκὸν ἑφθημιμερὲς Εὐριπίδειον· τὸ θ, ἀντισπαστικὸν μονόμετρον, ὑπερκατάληκτον ἐξ ἐπιτρίτου πρώτου ἀντισπάστου καὶ συλλαβῆς· τὸ ι, τροχαϊκὸν ἰθυφαλλικὸν (τρεῖς γάρ εἰσι τροχαῖοι) ἐπὶ τῷ τέλει τῆς στροφῆς παράγραφος καὶ διπλαῖ, ὡς προείρηται.

684. Ὁ δ' οὖν ἴτω] Σύστημα κατὰ περικοπὴν ὅμοιον τῷ μετὰ τὴν ἀντιστροφὴν συστήματι, οὗ ἡ ἀρχὴ, Πρὸς θεῶν δίδαξον· στίχων ἰαμβικῶν τριμέτρων, θ. ἐπὶ τῷ τέλει μόνη παράγραφος.

694. Γύναι, τί μέλλεις] Ἡ ἀντιστροφὴ αὕτη τῆς πρώτης ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ, Πιθοῦ θελήσας. ἔστι δὲ κώλων ὁμοίων ἐκείνῃ, ϛ. ἐπὶ τῷ τέλει παράγραφος μόνη.

700. Ἀμφοῖν ἀπ' αὐτοῖν] Σύστημα κατὰ περικοπὴν ὅμοιον τῷ μετὰ τὴν πρώτην στροφὴν συστήματι, οὗ ἡ ἀρχὴ, Οἶσθ' οὖν ἃ χρῄζεις, στίχων καὶ κώλων ι. ἐπὶ τῷ τέλει μόνη παράγραφος.

707. Ἄναξ, εἶπον μὲν οὐ] Ἡ ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ, Οὐ, τὸν πάντων θεῶν. ἔστι δὲ κώλων ὁμοίων ἐκείνῃ ι. ἐπὶ τῷ τέλει, ὡς εἴρηται, διπλαῖ· ἡ μὲν, ἐν ἀρχῇ τοῦ τελευταίου κώλου· ἡ δὲ, κατὰ τὸ τέλος.

717. Πρὸς θεῶν δίδαξον] Σύστημα κατὰ περικοπὴν ὅμοιον τῷ μετὰ τὴν στροφὴν συστήματι, οὗ ἡ ἀρχὴ, Ὁ δ' οὖν ἴτω. στίχων ἰαμβικῶν θ. ἑξῆς παράγραφος.

726. Σὺ νῦν ἀφεὶς] Αἱ ἑξῆς αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ϙϛ. ὧν τελευτὴ, Οὐδὲν γὰρ ἂν πράξαιμ' ἂν, ὧν οὐ σοὶ φίλον. ἐπὶ τῷ τέλει κορωνὶς μόνη.

882. Εἴ μοι ξυνείη] Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται κατὰ σχέσιν, ὡς εἴρηται. ἔστι δὲ τὸ παρὸν ᾆσμα στροφῶν δύο. τῆς πρώτης δὲ στροφῆς τὰ κῶλα, ι, καὶ τὰ τῆς ἀντιστροφῆς, τοσαῦτα. τὸ α, ἀσυνάρτητον ἐξ ἰαμβικῆς συζυγίας καὶ τροχαϊκῆς ἑφθημιμεροῦς· τὸ β, ἰαμβικὸν δίμετρον ἀκατάληκτον καθαρόν· τὸ γ, ἰαμβικὸν τρίμετρον καταληκτικὸν καθαρόν· τὸ δ, χοριαμβικὸν τρίμετρον ἀκατάληκτον ἐκ δύο χοριάμβων καὶ ἰαμβικῆς συζυγίας, ἤτοι παίωνος δευτέρου· (τὸ μέντοι τῆς ἀντιστροφῆς κῶλον τέταρτον παίωνα ἐδέξατο) τὸ ε, ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐξ ἀντισπάστου, τροχαϊκῆς συζυγίας, ἢ ἐπιτρίτου ὡς συγγενοῦς· τὸ ϛ, ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ὑπερκατάληκτον ἐκ παίωνος δευτέρου ἀντὶ ἰωνικοῦ, τροχαϊκῆς συ-

ζυγίας, ἤτοι ἐπιτρίτου καὶ συλλαβῆς· τὸ ζ, ἰωνικὸν ἀπ᾽ ἐλάττονος τρίμετρον βραχυκατάληκτον ἐκ παίωνος τρίτου ἀντὶ ἰωνικοῦ, τροχαϊκῆς συζυγίας καὶ τροχαίου· (εἴη δ᾽ ἂν καὶ ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον τοῦ πρώτου ποδὸς ἀναπαίστου) τὸ η, χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον ἐκ δύο χοριάμβων καὶ σπονδείου· τὸ θ, ἰωνικὸν δίμετρον καταληκτικὸν ἐξ ἰωνικοῦ ἀπ᾽ ἐλάττονος καὶ δακτύλου· τὸ ι, τροχαϊκὸν πενθημιμερές. ἐπὶ τῷ τέλει τῆς στροφῆς καὶ ἀντιστροφῆς παράγραφος.

902. Εἰ δέ τις] Η δευτέρα στροφὴ κώλων ἐστὶ ιδ. τὸ α, παιωνικὸν δίμετρον ὑπερκατάληκτον ἐκ παίωνος πρώτου, ἰαμβικῆς συζυγίας καὶ συλλαβῆς· (εἰ δὲ βούλει, ἰωνικὸν ἀπ᾽ ἐλάττονος δίμετρον ἀκατάληκτον ἐξ ἰωνικοῦ πεντασυλλάβου καὶ τροχαϊκῆς συζυγίας) τὸ β, τροχαϊκὸν δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς Εὐριπίδειον· τὸ γ, ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον ἐξ ἰωνικοῦ καὶ τροχαϊκῆς συζυγίας· (ἐν τῷ κώλῳ δὲ τῆς στροφῆς παίωνα ἀντὶ ἰωνικοῦ ἐδέξατο) τὸ δ, ὅμοιον τῷ δευτέρῳ· τὸ ε, ὅμοιον τῷ τρίτῳ· τὸ ϛ, ὅμοιον τῷ β· τὸ ζ, ἰαμβικὸν τρίμετρον καταληκτικόν· τὸ η, ἰαμβικὸν δίμετρον ἀκατάληκτον· τὸ θ, ὅμοιον τῷ ζ· τὸ ι, ὅμοιον τῷ η· (ἔχει δὲ τὸν πρῶτον πόδα τρίβραχυν, τὸ τῆς στροφῆς φημὶ κῶλον· τὸ δὲ τῆς ἀντιστροφῆς, καθαρόν ἐστι. τὸ ια, περίοδος καταληκτικὴ ἐξ ἰαμβικῆς συζυγίας καὶ τροχαϊκῆς καταληκτικῆς) τὸ ιβ, ὅμοιον τῷ η· τὸ ιγ, ὅμοιον· τὸ ιδ, ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον ἐκ παίωνος δευτέρου ἢ ἰωνικοῦ, καὶ τροχαίου ἢ σπονδείου. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος, τῆς δὲ ἀντιστροφῆς, κορωνίς.

930. Χώρας ἄνακτες] Αἱ ἑξῆς αὗται περίοδοι καὶ οἱ λοιποὶ πάντες στίχοι ἰαμβικοί εἰσι τρίμετροι ἀκατάληκτοι ροε. ὧν τελευτὴ, Πότ᾽ ἄλλος ὥστε μὴ κμαθεῖν τοὐμὸν γένος. ἐπὶ τῷ τέλει μόνη κορωνίς.

1105. Εἴπερ ἐγὼ] Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται κατὰ σχέσιν, ὡς εἴρηται. ἔστι δὲ τὸ παρὸν ᾆσμα στροφῆς μιᾶς· τὰ κῶλα δὲ τῆς στροφῆς ιβ, καὶ τὰ τῆς ἀντιστροφῆς, τοσαῦτα. τὸ α, χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ χοριάμβου καὶ τροχαϊκῆς συζυγίας· τὸ β, ὅμοιον δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς ἐκ χοριάμβου καὶ ἰαμβικῆς συζυγίας καταληκτικῆς ἤτοι παλιμβακχείου· τὸ γ, ὅμοιον, τοῦ δευτέρου ποδὸς ἀναπαίστου· (εἴη δ᾽ ἂν τοῦτο καὶ ἀναπαιστικὸν πενθημιμερές) τὸ δ, τροχαϊκὸν δίμετρον καταληκτικὸν Εὐριπίδειον· τὸ ε, ὅμοιον τῷ πρώτῳ χοριαμβικόν· (ἔχει δὲ ἐν τῷ κώλῳ μὲν τῆς στροφῆς ἐπίτριτον τρίτον ἀντὶ χοριάμβου· ἐν δὲ τῷ τῆς ἀντιστροφῆς ἐπίτριτον δεύτερον ἀντὶ διτροχαίου) τὸ ϛ, προσοδιακὸν δίμετρον ἀκατάληκτον, ἐκ χοριάμβου καὶ ἰωνικοῦ ἀπ᾽ ἐλάττονος· (ἔχει δὲ ἐν τῷ τῆς στροφῆς κώλῳ συνίζησιν ὁ χορίαμβος) τὸ ζ, ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτων δύο συγκείμενον, δευτέρου τε καὶ πρώτου· (οἰκεῖοι γὰρ τῷ μέτρῳ) τὸ η, ὅμοιον ἐξ ἐπιτρίτων πρώτων· τὸ μέντοι τῆς ἀντιστροφῆς κῶλον διτροχαῖον ἔχει τὸν δεύτερον· τὸ θ, ὅμοιον, τρίμετρον βραχυκατάληκτον ἐξ ἐπιτρίτου πρώτου, ἀντισπάστου, ἢ παίωνος τρίτου, καὶ δύο συλλαβῶν· τὸ ι, ἰωνικὸν

νικὸν ἀπ᾽ ἐλάττονος δίμετρον ἀκατάληκτον ἐξ ἰαμβικῆς συζυγίας καὶ ἰωνικοῦ· εἴη δ᾽ ἂν τοῦτο καὶ ἰαμβικὸν ἑφθημιμερὲς τοῦ τρίτου ποδὸς ἀναπαίστου· τὸ ια, ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον ἐκ παίωνος δευτέρου ἀντὶ ἰωνικοῦ καὶ τροχαίου· (ἀλλὰ τὸ τῆς ἀντιστροφῆς οὐκ ἔστιν ὅμοιον· ἐκεῖνο γὰρ ἀναπαιστικόν ἐστι καθαρὸν μονόμετρον· εἴη δ᾽ ἂν καὶ ἰωνικὸν, ἀλλ᾽ ἀπ᾽ ἐλάττονος, ἐκ παίωνος τρίτου καὶ ἰάμβου) τὸ ιβ, τροχαϊκὸν Εὐριπίδειον ὅμοιον τῷ τετάρτῳ. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος, τῆς δὲ ἀντιστροφῆς, κορωνὶς μόνη.

1129. Εἰ χρή τι κἀμέ] Οἱ ἑξῆς οὗτοι στίχοι ἰαμβικοί εἰσιν ἀκατάληκτοι ος. ὧν τελευτή, Τ᾽ οὐ χρῆν μ᾽ ὁμιλῶν, οὕς τί μ᾽ οὐκ ἔδει κτανών. ἐπὶ τῷ τέλει κορωνὶς μόνη.

1210. Ω γυναὶ] Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται μονοστροφικὰ, ὡς εἴρηται. ἔστι δὲ ἡ παροῦσα μονόστροφος στροφὴ κώλων, λς. τὸ α, χοριαμβικὸν τετράμετρον καταληκτικὸν, ἐκ χοριάμβου, ἐπιτρίτου πρώτου, χοριάμβου αὖθις, καὶ ἀμφιβραχέος ἢ βακχείου· τὸ β, ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον· (εἴη δ᾽ ἂν καὶ ἰαμβικὸν πενθημιμερὲς, τοῦ δευτέρου ποδὸς ἀναπαίστου) τὸ γ, ὅμοιον, ἰωνικὸν δίμετρον καταληκτικὸν ἐξ ἰωνικοῦ καὶ δακτύλου· τὸ δ, ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον γλυκώνειον ἐξ ἐπιτρίτου τετάρτου ἀντὶ ἀντισπάστου καὶ ἰαμβικῆς συζυγίας· τὸ ε, περίοδος ἀντεστραμμένη· (σύγκειται γὰρ ἐκ δύο τροχαίων, καὶ δύο ἰάμβων) τὸ ς, τροχαϊκὸν δίμετρον καταληκτικὸν ἑφθημιμερὲς, Εὐριπίδειον· (εἴη δ᾽ ἂν καὶ ἀντισπαστικὸν φερεκράτειον ἐξ ἐπιτρίτου τετάρτου ἀντὶ ἀντισπάστου καὶ βακχείου) τὸ ζ, ἀντισπαστικὸν καθαρὸν ὅμοιον τῷ τετάρτῳ· τὸ η, ὅμοιον, τρίμετρον βραχυκατάληκτον ἐξ ἐπιτρίτου δ. ἰαμβικῆς συζυγίας καὶ τροχαίου· τὸ θ, χοριαμβικὸν τρίμετρον ἀκατάληκτον ἐκ χοριάμβου, ἀντισπάστου, καὶ ἐπιτρίτου δευτέρου πεντασυλλάβου, διαλελυμένης τῆς πρώτης μακρᾶς, ὃ καλεῖται πολυσχημάτιστον· τὸ ι, ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον βραχυκατάληκτον ἐξ ἰωνικοῦ, τροχαϊκῆς συζυγίας, ἤτοι ἐπιτρίτου δευτέρου καὶ σπονδείου· τὸ ια. ἰωνικὸν ἀπ᾽ ἐλάττονος τρίμετρον ἀκατάληκτον ἐξ ἰωνικοῦ, δισπονδείου, καὶ αὖθις ἰωνικοῦ· τὸ ιβ, χοριαμβικὸν τρίμετρον καταληκτικὸν, ἐκ χοριάμβου ἐπιτρίτου πρώτου καὶ δακτύλου· τὸ ιγ, τροχαϊκὸν ἰθυφαλλικὸν δίμετρον, ἤτοι δίμετρον βραχυκατάληκτον· τὸ ιδ, ἰωνικὸν τρίμετρον ἀκατάληκτον ἐκ παίωνος τρίτου ἀντὶ ἰωνικοῦ, δισπονδείου καὶ ἰωνικοῦ ἀπ᾽ ἐλάττονος· τὸ ιε, ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον ἐξ ἐπιτρίτου τετάρτου ἰαμβικῆς συζυγίας καὶ δύο συλλαβῶν, ἤτοι ἰάμβου· τὸ ις, χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ χοριάμβου καὶ ἐπιτρίτου πρώτου. τὸ δ᾽ αὐτὸ εἴη ἂν καὶ τροχαϊκὸν ἑφθημιμερὲς, τοῦ πρώτου ποδὸς δακτύλου· τὸ ιζ, ὅμοιον τῷ ιβ χοριαμβικὸν, ἐκ χοριάμβου, ἐπιτρίτου πρώτου καὶ βακχείου. τὸ ιη, ἀσυνάρτητον ἐξ ἰαμβικῆς συζυγίας καὶ τροχαϊκῆς ἑφθημιμεροῦς (εἰ βούλει δὲ, καὶ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν πολυσχημάτιστον ἐξ ἰαμβικῆς καὶ τροχαϊκῆς συζυγίας καὶ δακτύλου) τὸ ιθ, ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον ἐξ ἰαμβικῆς συζυγίας,

ἀντισπάςυ ϗ ἰάμβυ· τὸ κ, ἰαμβικὸν καθαρὸν δίμετρον ἀκατάληκτον· τὸ κα, ὅμοιον· τὸ κβ, ἀσυνάρτητον ἐκ δύο τροχαϊκῶν πενθημιμερῶν· τὸ κγ, ἀντισπαςικὸν τρίμετρον καταληκτικὸν ἐκ τροχαϊκῆς συζυγίας, ἐπιτρίτυ δευτέρυ, ἀντισπάςυ πεντασυλλάβυ ϗ ἀμφιμάκρυ· τὸ κδ, χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον ἐκ χοριάμβυ, ἰαμβικῆς συζυγίας ϗ συλλαβῆς. τὸ κε, ἀντισπαςικὸν δίμετρον καταληκτικὸν Φερεκράτειον ἐξ ἀντισπάςυ ϗ κρητικῦ· τὸ κς, χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ χοριάμβυ, τροχαϊκῆς συζυγίας ϗ τροχαίυ· τὸ κζ, ὅμοιον κατὰ πάντα τῷ ιη· τὸ κη, ἀντισπαςικὸν τρίμετρον καταληκτικὸν ἐξ ἀντισπάςυ, παίωνος τρίτυ ϗ κρητικῦ· τὸ κθ, ὅμοιον τῷ κ· τὸ λ, ὅμοιον, δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές· τὸ λα, τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον· τὸ λβ, ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον· τὸ λγ, ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ παίωνος τετάρτυ ϗ χοριάμβυ· τὸ λδ, ἰαμβικὸν πενθημιμερές· τὸ λε, ἀντισπαςικὸν δίμετρον ἀκατάληκτον ἐξ ἀντισπάςυ ϗ ἐπιτρίτυ δευτέρυ· τὸ λς, ἀναπαιςικὸν ἑφθημιμερὲς, τῦ τρίτυ ποδὸς ἰάμβυ. ἐπὶ τῷ τέλει μόνη κορωνίς.

1246. Ω γῆς μέγιςα] Αἱ περίοδοι αὗται ςίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων οδ. ὧν τελευτῆ, Τοιῦτον οἷον ϗ ςυγῆν' ἐποικτίσαι. ἐπὶ τῷ τέλει κορωνίς.

1320. Ω δειὼν] Σύςημα κατὰ περικοπὴν ἀνομοιομερές. ἔςι δὲ κώλων ἀναπαιςικῶν δέκα· ὧν τὰ μὲν θ, εἰσὶ δίμετρα ἀκατάληκτα· τὸ δὲ δέκατον, καταληκτικὸν, ἤτοι ἑφθημιμερές. ἐπὶ τῷ τέλει παράγραφος.

1330 Aἶ αἶ αἶ αἶ] Τὰ τοιαῦτα εἴδη καλῦται (ὡς εἴρηται) ἀλλοιόςροφα. ἔςι δὲ τὸ παρὸν σύςημα προῳδικὸν κώλων ς. τὸ α, ἀναπαιςικὸν μονόμετρον· τὸ β ϗ τὸ γ, ἀναπαιςικὰ δίμετρα ἀκατάληκτα· τὸ δ ϗ ε, ὅμοια, δίμετρα βραχυκατάληκτα· τὸ ς, ἴαμβος τρίμετρος ἀκατάληκτος. ἐπὶ τῷ τέλει παράγραφος μόνη.

1336. Ιὼ σκότυ νέφος] Η πρώτη αὕτη ςροφὴ κώλων ἐςὶ ς. τὸ α, ἀντισπαςικὸν δίμετρον καταληκτικὸν ἐξ ἰαμβικῆς συζυγίας ἔχον τὸν πρῶτον πόδα συγκείμενον· τὸν δὲ δεύτερον τετράβραχυν, ὃς κατὰ συνίζησιν γίνεται τρισύλλαβος δάκτυλος ἢ ἀνάπαιςος· τὸ β, ὅμοιον, τῦ πρώτυ ποδὸς ἑξασυλλάβυ· τὸ γ, ὅμοιον, τῦ πρώτυ ποδὸς πεντασυλλάβυ· τὸ δ, ὅμοιον καθαρόν· τὸ ε ϗ ς, ἴαμβοι τρίμετροι ἀκατάληκτοι. εἶτα ἡ παράγραφος, ϗ αἱ συνήθεις διπλαῖ.

1342. Καὶ θαῦμα] Σύςημα κατὰ περικοπὴν ςίχων ἰάμβων δύο. ἐπὶ τῷ τέλει παράγραφος.

1344. Ιὼ φίλος] Η ἀντιςροφὴ αὕτη τῆς ἐκθείσης ἐςὶ ςροφῆς· ἔςι δὲ ϗ αὕτη κώλων ς. ὧν τὰ μὲν δ, εἰσὶν ἀντισπαςικά. τὰ δὲ δύο, ςίχοι ἰαμβικοὶ τρίμετροι· ἐπὶ τῷ τέλει παράγραφος.



Digitized by Google

1350. Ω δεινὰ δράσας] Σύϛημα καλὰ περικοπὴν ἀνομοιομερὲς ϛίχων ἰάμβων δύο. εἶτα παράγραφος.

1352. Ἀπόλλων] Η δευτέρα αὕτη ϛροφὴ κώλων ἐϛὶ ε. τὸ α, ἀντισπαϛικὸν τρίμετρον βραχυκατάληκτον ἐξ ἀντισπάϛυ, ἐπιτρίτυ δευτέρυ ϗ ἰάμβυ· τὸ τῆς ἀντιϛροφῆς δὲ κῶλον πεντασύλλαβον ἔχει τὸν ἐπίτριτον γ. τὸ β, ὅμοιον, δίμετρον ακατάληκτον, ἐκ δύο διϊάμβων πεντασυλλάβων· τὸ τρίτον, ἴαμβος τρίμετρος ἀκατάληκτος· τὸ δ, ἀντισπαϛικὸν δίμετρον καταληκτικὸν, τῦ πρώτυ ποδὸς ἐπιτρίτυ πεντασυλλάβυ· τῦ δὲ δευτέρυ, κρητικῦ· (εἰ δὲ βύλει, ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον ἐξ ἰωνικῦ ϗ διϊάμβυ) τὸ ε, ἴαμβος ὅμοιος τῷ τρίτῳ. ἐπὶ τῷ τέλει παράγραφος ϗ διπλαῖ.

1357. Ην ταῦθ'] Σύϛημα καλὰ περικοπὴν κῶλον ἰαμβικὸν ἀκατάληκτον.

1358. Τί δῆτ'] Η τρίτη αὕτη ϛροφὴ κώλων ἐϛὶν ζ. τὸ α, ἀντισπαϛικὸν δίμετρον καταληκτικὸν, ἐξ ἰαμβικῆς συζυγίας ϗ κρητικῦ. τὸ β, ὅμοιον ἐκ τροχαϊκῆς συζυγίας ϗ δακτύλυ· (εἰ δὲ βύλει, τροχαϊκὸν ἑφθημιμερές) τὸ γ, ἀντισπαϛικὸν τρίμετρον βραχυκατάληκτον ἐξ ἰαμβικῆς συζυγίας, ἐπιτρίτυ τρίτυ ϗ ἰάμβυ· (εἰ δὲ βύλει, ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον) τὸ δ, ἀντισπαϛικὸν τρίμετρον καταληκτικὸν, τῦ πρώτυ ποδὸς διϊάμβυ πεντασυλλάβυ, τῦ δευτέρυ ἑξαβραχέος ϗ δακτύλυ· τὸ ε, ὅμοιον, τῶν δύο ποδῶν πεντασυλλάβων· τὸ ϛ, χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, τῦ δευτέρυ ποδὸς ἑξασυλλάβυ· τὸ ζ, ἀντισπαϛικὸν δίμετρον ἀκατάληκτον ἐξ ἀντισπάϛυ ϗ διϊάμβυ. ἐπὶ τῷ τέλει παράγραφος ϗ διπλαῖ.

1365. Δείλαιε] Σύϛημα καλὰ περικοπὴν ϛίχων ἰαμβικῶν β.

1367. Ολοιθ' ὅϛις] Η ἀντιϛροφὴ αὕτη τῆς δευτέρας ἐϛὶ ϛροφῆς, ἧς ἡ ἀρχὴ, Ἀπόλλων τάδ' ἦν. ἔϛι δὲ ϗ αὕτη κώλων ε, ὁμοίων ἐκείνῃ. τὸ μέντοι πρῶτον κῶλον πεντασύλλαβον ἔχει τὸν δεύτερον πόδα· τὸ δὲ δεύτερον κῶλον περισσὸν εἶχε τὸ νομάδας, διὸ ϗ ἐξεβλήθη παρ' ἡμῦ. ἐπὶ τῷ τέλει παράγραφος μόνη.

1372. Θέλοντι] Σύϛημα καλὰ περικοπὴν κώλυ ἰαμβικῦ διμέτρυ ἀκαταλήκτυ ὁμοίυ τῷ μελὰ τὴν δευτέραν ϛροφὴν κώλῳ.

1373. Οὔκυν πατρός γ'] Η ἀντιϛροφὴ αὕτη τῆς τρίτης ἐϛὶ ϛροφῆς, ἧς ἡ ἀρχὴ, Τί δῆτ' ἐμοί. ἔϛι δὲ ϗ αὕτη κώλων ζ. τὸ μέντοι πρῶτον κῶλον ἐπίτριτον ἔχει τὸν πρῶτον πόδα· τὸ τέταρτον, τὸν μὲν πρῶτον ἐπίτριτον τρίτον· τὸν δὲ δεύτερον, πεντασύλλαβον· τὸ πέμπτον, τὸν πρῶτον πόδα πεντασύλλαβον· τὸν δὲ δεύτερον, ἐπίτριτον τέταρτον· τὸ δὲ ἕκτον, τὸν δεύτερον πόδα πεντασύλλαβον. ἐπὶ τῷ τέλει δύο διπλαῖ.

1380. Οὐκ οἶδ'] Σύϛημα καλὰ περικοπὴν ϛίχων ἰαμβικῶν τριμέτρων δύο. εἶτα παράγραφος.

1382.

Digitized by Google

1382. Ὡς μὲν τάδ'] Αἱ μονοστροφικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ρμδ. ὧν τελευτὴ, Ὑμᾶς κυρῆσαι τοῦ φυτεύσαντος πατρός· μετὰ δὲ τὸν ϛθ, καὶ τὸν ρα, καὶ τὸν ρδ, κῶλα ἰαμβικὰ μονόμετρα καταληκτικὰ τρία. ἐπὶ τῷ τέλει παράγραφος.

1528. Αλις ἴν' ἐξήκεις] Εντεῦθεν ὁ ἐπίλογος ἄρχεται τοῦ δράματος. εἰσὶ δὲ οἱ μέχρι τοῦ τέλους τοῦ δράματος στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ ις· ὧν ὁ πρῶτος καὶ ἕβδομος ἀπὸ χορείου ἄρχονται. ἐπὶ τῷ τέλει τοῦ δράματος κορωνὶς ἡ περατοῦσα τὸ δρᾶμα.

---

ΔΗΜΗΤΡΙΟΥ

Digitized by Google

# ΔΗΜΗΤΡΙΟΥ ΤΟΥ ΤΡΙΚΛΙΝΙΟΥ

## ΠΕΡΙ

## Μέτρων οἷς ἐχρήσατο Σοφοκλῆς ἐν τῇ Αντιγόνῃ.

Verſ. 1. ΩΚΟΙΝΟΝ αὐτάδ.] Η εἴσθεσις τοῦ δράματος ἐκ συστηματικῶν ἐστι περιόδων· οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, ϟθ, ὧν τελευταῖος, Ανους μὲν ἔρχῃ, τοῖς φίλοις δ᾽ ὀρθῶς φίλη. ἑξῆς ἐξιόντων τῶν ὑποκριτῶν τίθεται κορωνίς.

100. Ακτὶς ἀελίου] Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται μεσῳδικά. μεσῳδικὰ δέ ἐστιν (ὡς Ηφαιστίων φησὶν) ἐν οἷς περιέχεται μὲν τὰ ὅμοια· μέσον δὲ τὸ ἀνόμοιον τέτακται. ἔστι δὲ τὸ παρὸν ᾆσμα στροφῶν δύο. τῆς πρώτης στροφῆς τὰ κῶλα ια᾽ καὶ τὰ τῆς ἀντιστροφῆς, τοσαῦτα. τὸ α, ἀντισπαστικὸν γλυκώνειον δίμετρον ἀκατάληκτον, ἐκ διτροχαίου καὶ διϊάμβου· τὸ β, ὅμοιον κατὰ πάντα· τὸ γ, ὅμοιον ἐξ ἐπιτρίτου τετάρτου καὶ διϊάμβου· τὸ δ, ὅμοιον, ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου τρίτου (ὃ καὶ καλεῖται γλυκώνειον, ὡς εἴρηται) τὸ ε, ἀντισπαστικὸν ἡμιόλιον ἐκ διτροχαίου καὶ ἰάμβου, ἢ πυρριχίου· τὸ ϛ, ἀντισπαστικὸν δοχμαϊκὸν μονόμετρον ὑπερκατάληκτον, ἐξ ἐπιτρίτου τετάρτου καὶ συλλαβῆς· τὸ ζ, ὅμοιον τῷ πέμπτῳ ἡμιόλιον ἐκ παίωνος τρίτου καὶ τροχαίου, ἢ σπονδείου· (εἰ δὲ βούλει, ἰαμβικὸν πενθημιμερὲς, τοῦ πρώτου ποδὸς ἀναπαίστου) τὸ η, ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐξ

ἐπιτρίτου

ἐπιτρίτου τετάρτου, ἢ δισπονδείου καὶ χοριάμβου· τὸ θ, ὅμοιον, ἐκ διτροχαίου καὶ χοριάμβου· τὸ ι, ἰωνικὸν ἀπ' ἐλάττονος τρίμετρον βραχυκατάληκτον ἐκ παίωνος τετάρτου καὶ δευτέρου ἀντὶ ἰωνικοῦ, καὶ δύο συλλαβῶν· (εἰ δὲ βούλει, ἀναπαιστικὸν ἑφθημιμερὲς ἐκ τριβραχέος καὶ δακτύλων· τὸ ια, ἀντισπαστικὸν δίμετρον καταληκτικὸν Φερεκράτειον, ἐξ ἐπιτρίτου τετάρτου καὶ βακχείου, ἢ ἀμφιβραχέος. εἶτα ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ διὰ τὴν ἀνταπόδοσιν.

111. Οι ἐφ' ἡμετέρῳ] Τοῦτο μεσῳδὸς καλεῖται· καὶ ἐστι κώλων ζ. τὸ α καὶ β καὶ γ καὶ ε, ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα· τὸ δ, ἀναπαιστικὸν μονόμετρον· τὸ ϛ, ὅμοιον· τὸ δὲ ζ, ὅμοιον δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς, ὃ καλεῖται παροιμιακόν. ἐπὶ τῷ τέλει κορωνὶς καὶ παράγραφος ὡς καὶ ἐν ταῖς ἐπῳδαῖς.

118. Στὰς δ' ὑπὲρ] Η ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ, Ἀκτὶς ἀελίου. ἐστι δὲ καὶ αὐτῆς τὰ κῶλα ια, καὶ ἰσόμετρα ἐκείνης, πλὴν ἐν τῷ πρώτῳ ἀντὶ διιάμβου ἔχει ἐπίτριτον, ἢ ἀντίσπαστον. ἐν δὲ ὀγδόῳ, ἀντὶ ἐπιτρίτου ἐδέξατο δισπόνδειον. ἐπὶ τῷ τέλει μόνη παράγραφος.

129. Ζεὺς γὰρ μεγάλης] Καὶ τοῦτο μεσῳδός ἐστιν, καὶ τοσούτων κώλων ὅσων καὶ ἡ ἄνω εἰρημένη, καὶ τοῦ αὐτοῦ μέτρου· ἀλλ' ἐνηλλαγμένα ἔχει τὰ κῶλα. τὸ α γὰρ, καὶ β καὶ γ καὶ δ καὶ ε, δίμετρά ἐστιν ἀκατάληκτα ὡς κἀκεῖνα· τὸ δὲ ϛ, μόνον μονόμετρον· καὶ τὸ ζ, ἑφθημιμερές. ἐπὶ τῷ τέλει ὁμοίως κορωνὶς καὶ παράγραφος.

136. Ἀντίτυπος] Τῆς δευτέρας ταύτης στροφῆς τὰ κῶλα θ· καὶ τὰ τῆς ἀντιστροφῆς, τοσαῦτα. τὸ α, χοριαμβικὸν δίμετρον καταληκτικὸν καθαρὸν ἐκ χοριάμβου καὶ ἀναπαίστου· τὸ β, ἰωνικὸν ἡμιόλιον ἐκ παίωνος τρίτου καὶ ἰωνικοῦ ἡμίσεος· (εἰ δὲ βούλει, ἰαμβικὸν πενθημιμερὲς, τοῦ πρώτου ποδὸς ἀναπαίστου· τὸ γ, χοριαμβικὸν ἡμιόλιον καθαρόν· (εἰ δὲ βούλει, δακτυλικὸν δίμετρον) τὸ δ, ὅμοιον τῷ πρώτῳ, τοῦ δευτέρου ποδὸς βακχείου· τὸ ε, ἀντισπαστικὸν ἡμιόλιον ἐξ ἐπιτρίτου τετάρτου καὶ ἰάμβου· τὸ ϛ, δακτυλικὸν ἑφθημιμερές· τὸ ζ, ἰωνικὸν τρίμετρον καταληκτικὸν ἐκ τροχαϊκῆς συζυγίας, ἤτοι ἐπιτρίτου δευτέρου, παίωνος τρίτου ἀντὶ ἰωνικοῦ ἀπ' ἐλάττονος καὶ βακχείου· τὸ η, ἰωνικὸν ἀπ' ἐλάττονος καθαρὸν δίμετρον ἀκατάληκτον· τὸ θ, προσοδιακὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἰωνικοῦ ἀπ' ἐλάττονος, χοριάμβου καὶ συλλαβῆς. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλῆ ἔσω νενευκυῖα διὰ τὴν ἀνταπόδοσιν.

145. Ἑπτὰ λοχαγοὶ] Καὶ τοῦτο μεσῳδός ἐστιν καὶ τοσούτων κώλων ὅσων καὶ αἱ προειρημέναι, καὶ τοῦ αὐτοῦ μέτρου· ἀναπαιστικὰ γὰρ καὶ ταῦτα. εἰσὶ δὲ ἐνηλλαγμένα· τὰ μὲν γὰρ ἓξ εἰσι δίμετρα ἀκατάληκτα· τὸ δὲ ζ, μόνον ἑφθημιμερές. ἐπὶ τῷ τέλει κορωνὶς καὶ παράγραφος.

152. Ἀλλὰ γὰρ ὁ] Η ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ, Ἀντίτυπος δ' ἐπὶ γᾶν. ἐστι δὲ καὶ αὐτῆς τὰ κῶλα θ, καὶ ἰσόμετρα ἐκείνοις. ἐπὶ τῷ τέλει μόνη παράγραφος.

161.

Digitized by Google

161. Ἀλλ' ἅδε γὰρ] Τοῦτο ἐπῳδός ἐστι, διὰ τὸ ἐπὶ τῷ τέλει τῶν στροφῶν καὶ ἀντιστροφῶν καὶ μεσῳδῶν ᾄδεσθαι. ἔστι δὲ ὅμοια ταῖς μεσῳδοῖς· τοσούτων γὰρ καὶ αὕτη κώλων ἐστίν, ἤγουν ζ· καὶ τοῦ αὐτοῦ ἰσομέτρου. εἰσὶ δὲ τά μὲν πέντε, δίμετρα ἀκατάληκτα. τὸ ς, μονόμετρον· (ὃ καὶ παρατέλευτον ὀνομάζεται) τὸ δὲ ζ, ἑφθημιμερές. ἐπὶ τῷ τέλει ἀστερίσκος, δηλῶν ὡς τὸ ᾆσμα τετέλεσται.

168. Ἄνδρες, τὰ μὲν δὴ πόλεως] Αἱ μονοστροφικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ρξη, ὧν τελευταῖος, Σωθεὶς, ὀφείλω τοῖς θεοῖς πολλὴν χάριν. μετὰ δὲ τὸν ρνθ, κόμμα μονοσύλλαβον Φεῦ. ἐπὶ ταῖς ἀκοθέσεσι παράγραφος. ἐπὶ τῷ τέλει κορωνίς.

338. Πολλὰ τὰ δεινὰ] Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται (ὡς εἴρηται) ἐπῳδικά. γίνεται δὲ ὥσπερ τριὰς ἐπῳδική, οὕτω καὶ τετρὰς καὶ πεντὰς, καὶ ἐπιπλεῖον. ἔστι γοῦν τὰ παρόντα πεντὰς ἐπῳδική. τῆς πρώτης οὖν στροφῆς, τὰ κῶλα ια, καὶ τὰ τῆς ἀντιστροφῆς, τοσαῦτα· τὸ πρῶτον, χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ χοριάμβου καὶ διϊάμβου. τὸ δεύτερον, ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου τετάρτου καὶ διϊάμβου· τὸ τρίτον, περίοδος· (ἐκ τροχαϊκῆς γὰρ καὶ ἰαμβικῆς συζυγίας σύγκειται) τὸ δ, ὅμοιον τῷ δευτέρῳ· τὸ ε, ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον ἀκατάληκτον ἐξ ἰωνικοῦ καὶ διτροχαίου· τὸ ς, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· τὸ ζ, ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον· τὸ η, χοριαμβικὸν δίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ ἀναπαίστου· (εἰ δὲ βούλει, δακτυλικὸν πενθημιμερές) τὸ θ, ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον· τὸ δέκατον, ὅμοιον, βραχυκατάληκτον εἰς δισύλλαβον· τὸ ια, ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου τετάρτου καὶ διτροχαίου, γλυκώνειον. ἐπὶ τῷ τέλει τῆς στροφῆς καὶ ἀντιστροφῆς παράγραφος μόνη.

360. Καὶ φθέγμα] Τῆς δευτέρας ταύτης στροφῆς τὰ κῶλα ια· καὶ τὰ τῆς ἀντιστροφῆς, τοσαῦτα. τὸ α, προσοδιακὸν δίμετρον ἀκατάληκτον, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου· τὸ δεύτερον ὅμοιον, ἐκ παίωνος δευτέρου ἀντὶ ἰωνικοῦ καὶ χοριάμβου· τὸ τρίτον, ὅμοιον τῷ πρώτῳ. τὸ τέταρτον, ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον γλυκώνειον, ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου τρίτου· ἐν τῷ πρώτῳ δὲ κώλῳ τὸν ἐπίτριτον πεντασύλλαβον ἔχει· τὸ ε, περίοδος, δίμετρον καταληκτικὸν ἐξ ἰαμβικῆς συζυγίας καὶ τροχαϊκῆς καταληκτικῆς· (εἰ δὲ βούλει, ἀντισπαστικὸν Φερεκράτειον δίμετρον καταληκτικὸν, ἐκ διϊάμβου καὶ κρητικοῦ· τὸ ς, παιωνικὸν δίμετρον καταληκτικὸν ἐκ παίωνος πρώτου καὶ χορείου· (εἰ δὲ βούλει, χοριαμβικὸν ἡμιόλιον ἐκ χοριάμβου πεντασυλλάβου καὶ δύο συλλαβῶν· τὸ ζ, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον καθαρόν· τὸ η, χοριαμβικὸν δίμετρον καταληκτικὸν, ἐξ ἰαμβικῆς συζυγίας καὶ χοριάμβου καταληκτικοῦ, ἤτοι δακτύλου· εἰ δὲ βούλει, ἰαμβικὸν ὅμοιον τῷ ἑβδόμῳ, τὸν τρίτον ἔχον πόδα δάκτυλον· (ἔχει δὲ καὶ ἐν τῷ πρώτῳ κώλῳ συνίζησιν) τὸ θ, τροχαϊκὸν δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς Εὐριπίδειον. τὸ ι, ὅμοιον τῷ ζ. τὸ ια, ἀντισπαστικὸν ἡμιόλιον

ἐξ ἀντισπάςυ ϗ σπονδείυ. ἐπὶ τῷ τέλει τῆς τε ςροφῆς ϗ ἀντιςροφῆς παράγραφος μόνη.

382. Ες δαίμονιον] Η ἐπῳδὸς αὕτη κώλων ἐςὶν η᾽ ὧν τὰ μὲν ς, ἀναπαιςικὰ δίμετρα ἀκατάληκτα. τὸ ζ, ὅμοιον μονόμετρον, ὃ ϗ παρατέλευτον ὀνομάζεται· τὸ δὲ η, ἐφθημιμερὲς, ὃ καλεῖται παροιμιακόν. ἐπὶ τῷ τέλει κορωνὶς ϗ παράγραφος, δηλῦσαι ὡς τὸ ᾆσμα τετέλεςαι.

390. Η δ᾽ ἐς᾽ ἐκείνη] Αἱ περίοδοι αὗται ςίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ϱμϐ. ὧν τελευτή, Κείνυς· ἐμῦ δὲ ζῶντος ὐκ ἄρξει γυνή. ἐπὶ τῷ τέλει κορωνίς.

532. Καὶ μὴν πρὸ πυλῶν] Σύςημα κατὰ περικοπὴν ἀνομοιομερὲς, κώλων ἀναπαιςικῶν ε. ὧν τὰ μὲν τρία δίμετρα ἀκατάληκτα· τὸ δὲ δ, μονόμετρον· τὸ δὲ ε, ἐφθημιμερὲς, ὃ ϗ παροιμιακὸν καλεῖται. ἐπὶ τῷ τέλει παράγραφος.

537. Σὺ δ᾽ ἡ κατ᾽ οἴκυς] Αἱ περίοδοι αὗται πᾶσαι ςίχων εἰσὶν ἰαμβικῶν τριμέτρων, να᾽ ὧν τελευταῖος, Ηδη τὸν ᾅδην εἰσορῶσι τῦ βίυ. ἐπὶ τῷ τέλει κορωνίς.

588. Εὐδαίμονες] Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται ἐπῳδικὰ, ὡς εἴρηται. ἔςι δὲ τὰ παρόντα, πεντὰς ἐπῳδική. τῆς πρώτης ὖν ςροφῆς τὰ κῶλα, ιϐ, ϗ τὰ τῆς ἀντιςροφῆς τοσαῦτα. τὸ α, προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐξ ἰωνικῦ ἀπὸ μείζονος ϗ χοριάμϐυ· (εἰ δὲ βύλει, ϗ ἀναπαιςικὸν δίμετρον βραχυκατάληκτον) τὸ β, ἰαμϐικὸν πενθημιμερές· τὸ τρίτον, ἰωνικὸν ἀπ᾽ ἐλάττονος ἡμιόλιον, ἐκ τροχαϊκῆς συζυγίας ϗ ἰωνικῦ ἡμίσεος· (εἰ δὲ βύλει, τροχαϊκὸν πενθημιμερὲς, τῦ δευτέρυ ποδὸς δακτύλυ) τὸ δ, ἰωνικὸν ἀπὸ μείζονος, ἡμιόλιον καθαρὸν τὸ πρῶτον· τὸ δὲ τῆς ἀντιςροφῆς, πεντασύλλαϐον ἔχει τὸν ἰωνικὸν, τῆς πρώτης συλλαϐῆς εἰς δύο βραχείας διῃρημένης. τὸ ε, χοριαμϐικὸν δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτυ δευτέρυ ϗ χοριάμϐυ· τὸ ς, ἰωνικὸν ἀπ᾽ ἐλάττονος ἡμιόλιον, ἔχον παίωνα τρίτον ἀντὶ ἰωνικῦ· (εἰ δὲ βύλει, ἰαμϐικὸν πενθημιμερὲς, τῦ πρώτυ ποδὸς ἀναπαίςυ) τὸ ζ, ἰαμϐικὸν καθαρὸν δίμετρον ἀκατάληκτον· τὸ η, ἰωνικὸν δίμετρον καταληκτικὸν, ἔχον ἐν τῷ πρώτῳ μὲν κώλῳ παίωνα τρίτον ἀντὶ ἰωνικῦ, ϗ κρητικὸν· ἐν δὲ τῷ δευτέρῳ ἤτοι τῷ τῆς ἀντιςροφῆς, τροχαϊκὴν συζυγίαν ϗ δάκτυλον. τὸ θ, ἰαμϐικὸς τρίμετρος ςίχος, τὸν τρίτον ἔχων πόδα τρίϐραχυν· τὸ ι, ἀντισπαςικὸν σαπφικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτυ πρώτυ, διϊάμϐυ ϗ συλλαϐῆς· τὸ ια, τροχαϊκὸν δίμετρον καταληκτικὸν, ἤτοι ἐφθημιμερὲς Εὐριπίδειον· τὸ ιϐ, ἰαμϐικὸν τρίμετρον καταληκτικόν· (μία γὰρ ἐλλείπει συλλαϐὴ πρὸς τὸ εἶναι τέλειον ἴαμϐον τρίμετρον) ἐπὶ τῷ τέλει τῆς τε ςροφῆς ϗ ἀντιςροφῆς παράγραφος μόνη.

612. Τὰν σὰν Ζεῦ] Τῆς δευτέρας ταύτης ςροφῆς τὰ κῶλα εἰσὶ ιγ, ϗ τὰ τῆς ἀντιςροφῆς, τοσαῦτα· τὸ α, ἀντισπαςικὸν δίμετρον ὑπερκατάληκτον σαπφικὸν ἐξ ἐπιτρίτυ τετάρτυ, διϊάμϐυ ϗ συλλαϐῆς· τὸ β, ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον κλεομάχειον, ἐξ ἰωνικῦ ϗ τροχαϊ-

κῆς



Digitized by Google

κῆς συζυγίας, ἤτοι ἐπιτρίτου δευτέρου· ἐν τῷ πρώτῳ δὲ κώλῳ παίωνα ἔχει δεύτερον ἀντὶ ἰωνικοῦ· (εἰ δὲ βούλει, ἰαμβικὸν ἑφθημιμερὲς, τοῦ δευτέρου ποδὸς ἀναπαίστου) τὸ τρίτον, ἰωνικὸν μονόμετρον ὑπερκατάληκτον ἀπὸ μείζονος καθαρόν· τὸ δ, χοριαμβικὸν καθαρὸν ἐκ χοριάμβου καὶ βακχείου· τὸ ε, ὅμοιον, χοριαμβικὸν, ἔχον ἐν τῷ πρώτῳ κώλῳ ἀνάπαιστον ἀντὶ βακχείου· τὸ ϛ, χοριαμβικὸν καθαρὸν τρίμετρον καταληκτικόν· τὸ ζ, ἰαμβικὸν πενθημιμερὲς τοῦ πρώτου ποδὸς ἀναπαίστου· τὸ η, ὅμοιον τῷ τετάρτῳ· τὸ θ, ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον ἀκατάληκτον, ἐκ παίωνος τρίτου ἀντὶ ἰωνικοῦ καὶ τροχαϊκῆς συζυγίας· τὸ ι, ἰωνικὸν ἀπὸ μείζονος δίμετρον καταληκτικὸν, ἐξ ἰωνικοῦ καὶ κρητικοῦ, ἢ δακτύλου· τὸ ια, παιωνικὸν δίμετρον ἀκατάληκτον, ἐκ παίωνος τετάρτου καὶ βακχείου· τὸ ιβ, ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον καθαρόν· τὸ ιγ, ὅμοιον τῷ τῆς πρώτης στροφῆς ἐσχάτῳ, ἤτοι ἰαμβικὸν πενθημιμερὲς, τοῦ πρώτου ποδὸς ἀναπαίστου. ἐπὶ τῷ τέλει τῆς τε στροφῆς καὶ ἀντιστροφῆς παράγραφος μόνη.

638. Ὦ παῖ μὴν Αἵμων] Η ἐπῳδὸς αὕτη κώλων ἐστὶν ἀναπαιστικῶν δ. ὧν τὰ γ, δίμετρα ἀκατάληκτα· τὸ δὲ δ, καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς, ὃ καλεῖται παροιμιακόν. ἐπὶ τῷ τέλει κορωνὶς καὶ παράγραφος συνήθως.

642. Τάχ' εἰσόμεσθα] Αἱ περίοδοι αὗται στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ρν' ὧν τελευτὴ, Πόνος περισσός ἐστι τὸν ᾅδου σέβειν. ἐπὶ τῷ τέλει κορωνὶς μόνη.

792. Ερως ἀνίκατε] Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται ἐπῳδικὰ, ὡς εἴρηται. ἔστι δὲ τὰ παρόντα, τριὰς ἐπῳδική· τῆς δὲ στροφῆς τὰ κῶλα ι, καὶ τὰ τῆς ἀντιστροφῆς, τοσαῦτα· τὸ α, χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἰαμβικῆς συζυγίας καὶ χοριάμβου· τὸ β, ὅμοιον, δίμετρον ὑπερκατάληκτον, ἐξ ὁμοίων ποδῶν καὶ συλλαβῆς· τὸ γ, ἰωνικὸν δίμετρον ἀκατάληκτον, ἐκ παίωνος δευτέρου ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος καὶ τροχαϊκῆς συζυγίας, ἤτοι ἐπιτρίτου δευτέρου· (εἰ δὲ βούλει, ἰαμβικὸν ἑφθημιμερὲς, τοῦ δευτέρου ποδὸς ἀναπαίστου) τὸ δ, ὅμοιον κατὰ πάντα· τὸ ε, ὅμοιον τῷ πρώτῳ ἐπίτριτον ἔχον τὸν πρῶτον πόδα, τρίτον· τὸ ϛ, χοριαμβικὸν ἡμιόλιον καθαρὸν, ἐκ χοριάμβου καὶ σπονδείου· τὸ ζ, ἀντισπαστικὸν ἡμιόλιον, ἐξ ἐπιτρίτου τετάρτου καὶ ἰάμβου· τὸ η, χοριαμβικὸν μονόμετρον ὑπερκατάληκτον, καθαρὸν ἐν τῷ πρώτῳ κώλῳ· ἐν δὲ τῷ τῆς ἀντιστροφῆς, πεντασύλλαβον ἔχει τὸν χορίαμβον. τὸ ἔνατον, ἰωνικὸν ἀπὸ μείζονος δίμετρον καταληκτικὸν, ἐξ ἰωνικοῦ καὶ ἀμφιμάκρου ἢ δακτύλου· τὸ ι, ὅμοιον, ἰωνικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἰωνικοῦ καὶ διτροχαίου ἢ ἐπιτρίτου δευτέρου· (εἰ δὲ βούλει, ἰαμβικὸν ἑφθημιμερὲς, τοῦ δευτέρου ποδὸς ἀναπαίστου) ἐπὶ τῷ τέλει τῆς τε στροφῆς καὶ ἀντιστροφῆς μόνη παράγραφος.

812. Νῦν δ' ἤδη 'γὼ] Η ἐπῳδὸς αὕτη κώλων ἐστὶν ἀναπαιστικῶν ε· ὧν τὰ μὲν δ, δίμετρα ἀκατάληκτα· τὸ δὲ ε, δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς παροιμιακόν. ἐπὶ τῷ τέλει κορωνὶς καὶ παράγραφος.

817. Ὁρᾶτέ μ' ὦ γᾶς] Τὰ τοιαῦτα εἴδη καὶ αἱ περίοδοι αὗται [illegible] καλοῦνται ἀλλοιόστροφα, ὡς εἴρηται. ἔστι δὲ τῆς παρούσης στροφῆς τὰ κῶλα, ια. τὸ α, χοριαμβικὸν τρίμετρον καταληκτικὸν, ἐξ ἰαμβικῆς συζυγίας, χοριάμβου καὶ βακχείου· τὸ β, ὅμοιον, δίμετρον βραχυκατάληκτον, ἤτοι ἡμιόλιον ἐκ χοριάμβου καὶ ἰάμβου διὰ τὴν ἀδιάφορον· τὸ τρίτον, σ[illegible] ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, ἐξ ἀντισπάστου, διϊάμβου καὶ συλλαβῆς· τὸ δ, ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον καταληκτικὸν, ἐξ ἐπιτρίτου τρίτου, καὶ ἰωνικοῦ καταληκτικοῦ, ἤτοι ἀναπαίστου· τὸ ε, χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ διτροχαίου, χοριάμβου καὶ σπονδείου· τὸ ϛ, ἀντισπαστικὸν ἡμιόλιον, ἐξ ἐπιτρίτου τετάρτου, διαλελυμένης τῆς πρώτης μακρᾶς καὶ ἰάμβου. ἐν μέντοι τῇ ἀντιστροφῇ καθαρόν ἐστι. τὸ ζ, χοριαμβικὸν μονόμετρον ὑπερκατάληκτον καθαρόν· τὸ η, ἀντισπαστικὸν δίμετρον καταληκτικὸν, ἐξ ἐπιτρίτου τετάρτου καὶ βακχείου φερεκράτειον· τὸ θ, ἰωνικὸν δίμετρον ὑπερκατάληκτον, ἐξ ἐπιτρίτου τρίτου, ἰωνικοῦ ἀπ' ἐλάττονος πεντασυλλάβου καὶ συλλαβῆς· ἐν δὲ τῇ ἀντιστροφῇ καθαρόν ἐστι. τὸ ι, χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ χοριάμβου καὶ ἐπιτρίτου πρώτου διὰ τὴν ἀδιάφορον, ἤτοι ἀντισπάστου· τὸ ια, χοριαμβικὸν ὅμοιον, ἔχον καθαρὸν τὸν ἐπίτριτον. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ συνήθως, ἡ μὲν κατ' ἀρχὰς τοῦ κώλου ἔξω νενευκυῖα. ἡ ἐπὶ τῷ τέλει δὲ, ἔσω.

828. Οὐκοῦν κλεινὴ] Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς, κώλων ἀναπαιστικῶν ϛ. ὧν τὰ μὲν ε, δίμετρα ἀκατάληκτα· τὸ δὲ ϛ, δίμετρον καταληκτικὸν παροιμιακόν. ἐπὶ τῷ τέλει μόνη παράγραφος.

834. Ἤκουσα δὴ] Ἡ ἀντιστροφὴ αὕτη τῆς στροφῆς ἐστιν, ἧς ἡ ἀρχή, Ὁρᾶτέ μ' ὦ γᾶς. κώλων γάρ ἐστι καὶ αὕτη ια, καὶ ἰσόμετρα ἔχει ταῦτα ἐκείνῃ· πλὴν ἐν μὲν τῷ πρώτῳ κώλῳ ἐπίτριτον τρίτον ἔχει ἀντὶ τοῦ διϊάμβου. ἐν τῷ τρίτῳ, διτρόχαιον ἀντὶ τοῦ ἀντισπάστου· ἐν δὲ τῷ πέμπτῳ, ἀντὶ τοῦ διτροχαίου, ἐπίτριτον πρῶτον. ἐπὶ τῷ τέλει μόνη παράγραφος.

845. Ἀλλὰ θεός τοι] Σύστημα ἕτερον κατὰ περικοπὴν ἀνομοιομερὲς κώλων ἀναπαιστικῶν ε· ὧν τὰ μὲν δ, δίμετρα ἀκατάληκτα· τὸ δὲ ε, καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς παροιμιακόν. ἐπὶ τῷ τέλει μόνη παράγραφος.

850. Οἴμοι, γελῶμαι] Ἡ δευτέρα αὕτη στροφὴ κώλων ἐστὶ ια. τὸ πρῶτον, χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἐπιτρίτου τρίτου καὶ χοριάμβου· τὸ δεύτερον, ἰαμβικὸν πενθημιμερὲς καθαρόν· τὸ τρίτον, ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον, ἐξ ἰωνικοῦ καὶ ἐπιτρίτου δευτέρου· (εἰ δὲ βούλει, καὶ ἰαμβικὸν ἑφθημιμερὲς ἔστω, τοῦ δευτέρου ποδὸς ἀναπαίστου) τὸ δ, χοριαμβικὸν μονόμετρον ὑπερκατάληκτον καθαρόν· (εἰ δὲ βούλει, καὶ δακτυλικὸν δίμετρον καταληκτικὸν εἰς δισύλλαβον) τὸ ε, χοριαμβικὸν ἡμιόλιον, ἐκ χοριάμβου καὶ ἰάμβου. ἐν τῷ πρώτῳ δὲ κώλῳ, ἤτοι τῷ τῆς στροφῆς, κατὰ συνίζησιν γίνεται ὁ ἴαμβος· τὸ ϛ, ἀντισπαστικὸν δίμετρον καταληκτικὸν, ἐξ

ἀντισπάστου

Digitized by Google

ἀντισπάστου ϗ ἀμφιβραχέος· (ἐν δὲ τῷ τῆς ἀντιστροφῆς κώλῳ ἐπίτριτον ἔχει τέταρτον. καλεῖται δὲ τοῦτο Φερεκράτειον) τὸ ζ, ὅμοιον, ἐξ ἐπιτρίτου πρώτου ϗ μολοσσοῦ· τὸ η, ὅμοιον, ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ δισπονδείου, ἀντισπάστου ϗ σπονδείου. ἐν δὲ τῷ τῆς ἀντιστροφῆς κώλῳ, διίαμβον ἀντὶ ἀντισπάστου ἔχει, ϗ τροχαῖον ἀντὶ σπονδείου· τὸ θ, ἰωνικὸν δίμετρον ὑπερκατάληκτον, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος ἐπιτρίτου δευτέρου ϗ συλλαβῆς· τὸ ι, ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν, ἐξ ἐπιτρίτου τρίτου διϊάμβου ϗ κρητικοῦ (τοῦτο δὲ Φαλαίκειον τὸ τρίμετρον καλοῦσιν· ἀλλ' οὐκ ἐσχηματίσθαι τοῦτο κατ' ἐκεῖνο. τοῦτο ϗ ἰαμβικόν ἐστι τρίμετρον καταληκτικὸν, τροχαῖον ἔχον τὸν παρατέλευτον πόδα· ὅ μοι δοκεῖ ἴδιον εἶναι τοῦ κώλου, κἂν ὁ τεχνικὸς οὐκ εἴρηκε) τὸ ια, ἰαμβικὸν δίμετρον ἀκατάληκτον· (ἐν μέντοι τῷ τῆς ἀντιστροφῆς κώλῳ τρίβραχυν ἔχει τὸν τρίτον πόδα) τὸ ιβ, ὅμοιον· τὸ ιγ, ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον, ὃ καλεῖται δοχμαϊκόν· τὸ ιδ, ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον σαπφικὸν καλούμενον, ἢ ἱππωνάκτειον· (ἀλλ' ἐν μὲν τῷ πρώτῳ κώλῳ, ἐπιτρίτους ἔχει τοὺς δύο πόδας· ἐν δὲ τῷ τῆς ἀντιστροφῆς, ἀντισπαστικὸν ϗ διίαμβον) τὸ ιε, σύνθετον ἐξ ἰαμβικῆς συζυγίας, ἤτοι μονομέτρου ϗ τροχαϊκοῦ ἰθυφαλλικοῦ, ἤτοι γ τροχαίων. ἐπὶ τῷ τέλει μόνη παράγραφος.

865. Προβᾶσ'] Σύστημα ἕτερον κατὰ περικοπὴν ἀνομοιομερὲς, κώλων ἰαμβικῶν δ. ὧν τὰ μὲν γ, δίμετρα ἀκατάληκτα, τοῦ τρίτου ἀνάπαιστον ἔχοντος τὸν πρῶτον πόδα· τὸ δὲ τέταρτον, δίμετρον ὑπερκατάληκτον. ἔχει γὰρ πλείονα συλλαβὴν τῶν ἄλλων. ἐπὶ τῷ τέλει μόνη παράγραφος.

869. Εψαυσας] Η ἀντιστροφὴ αὕτη ἐστὶ τῆς δευτέρας στροφῆς, ἧς ἡ ἀρχὴ, Οἴ μοι, γελῶμαι. ἔστι δὲ κώλων ὁμοίων ιε. πλὴν ἐν μὲν τῷ ἕκτῳ κώλῳ ἐπίτριτον τέταρτον ἔχει ἀντὶ τοῦ ἀντισπάστου· ἐν δὲ τῷ ὀγδόῳ, ἀντὶ τοῦ ἀντισπάστου διίαμβον, ϗ ἀντὶ τοῦ σπονδείου τροχαῖον· ἐν δὲ τῷ δεκάτῳ τὸν τρίτον πόδα τρίβραχυν· ἐν δὲ τῷ τεσσαρεσκαιδεκάτῳ, ἀντὶ τοῦ ἐπιτρίτου ἀντίσπαστον. ἐπὶ τῷ τέλει μόνη παράγραφος.

884. Σέβειν μὲν] Σύστημα ἕτερον κατὰ περικοπὴν ἀνομοιομερὲς, ὅμοιον τῷ μετὰ τὴν δευτέραν στροφὴν συστήματι, οὗ ἡ ἀρχὴ, Προβᾶσ' ἐπ' ἔσχατον θράσους, κώλων ὁμοίων ἰαμβικῶν διμέτρων δ. ἐπὶ τῷ τέλει μόνη παράγραφος.

888. Ακλαυτος] Σύστημα ἐπῳδικὸν ἐν ἐκθέσει κώλων ζ. τὸ α, ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον τὸν δεύτερον ϗ τρίτον ἔχον πόδα τρίβραχυν· τὸ β, ἀντισπαστικὸν ἡμιόλιον καθαρόν· τὸ γ, ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον ὑπερκατάληκτον, ἐκ τροχαϊκῆς συζυγίας, ἤτοι ἐπιτρίτου δευτέρου, παίωνος τρίτου ἀντὶ ἰωνικοῦ, ϗ συλλαβῆς· (εἰ δὲ βούλει, ἀκατάληκτον, τοῦ ἰωνικοῦ πεντασυλλάβου) τὸ δ, δακτυλικὸν τετράμετρον καταληκτικὸν εἰς δισύλλαβον. τὸ ε, χοριαμβικὸν δίμετρον καταληκτικὸν, ἐκ παίωνος τετάρτου ϗ βακχείου· τὸ ς, ὅμοιον τῷ τρίτῳ· τὸ ζ, ἰαμβικὸν ἑφθημιμερὲς καθαρόν.

ἐπὶ τῷ τελευταίῳ δύο διπλαῖ δηλοῦσαι τέλος ἔχειν τὰ τοιαῦτα εἴδη τὰ ἀνταποδιδόμενα.

895. Ἀρ' ἴσ' ἀοιδὰς] Αἱ μονοστροφικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων μϛ' ὧν τελευτὴ, Πάθοιεν ἢ καὶ δρῶσιν ἐκδίκως ἐμέ. ἐπὶ τῷ τέλει μόνη κορωνίς.

941. Ετι τῶν αὐτῶν] Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς ἐν εἰσθέσει κώλων ἀναπαιστικῶν ιε. ὧν τὸ ϛ, μονόμετρον. τὸ ι, πενθημιμερές. τὰ λοιπὰ, δίμετρα ἀκατάληκτα. τὸ δὲ ιε, δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς παροιμιακόν. ἐπὶ τῷ τέλει κορωνὶς μόνη, ἀναχωρησάντων τῶν ὑποκριτῶν.

956. Ετλα καὶ Δανάας] Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται κατὰ σχέσιν, ὡς εἴρηται. εἰσὶ δὲ τὰ παρόντα στροφῶν δύο. τῆς πρώτης στροφῆς τὰ κῶλα, ια, καὶ τὰ τῆς ἀντιστροφῆς, τοσαῦτα. τὸ α, ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν, ὃ καλεῖται Φαλαίκειον, ἐξ ἐπιτρίτου τετάρτου καὶ βακχείου· τὸ δεύτερον, ὅμοιον, τρίμετρον βραχυκατάληκτον, ἐξ ἐπιτρίτου τετάρτου, ἀντισπάστου καὶ ἰάμβου· τὸ γ, ὅμοιον δίμετρον καταληκτικὸν Φερεκράτειον, ἐξ ἐπιτρίτου τετάρτου, καὶ βακχείου, ἢ ἀμφιβραχέος· (εἰ δὲ βούλει, δακτυλικὸν τρίμετρον καταληκτικὸν εἰς δισύλλαβον) τὸ δ, ὅμοιον τῷ πρώτῳ, ἐξ ἐπιτρίτου τετάρτου, διϊάμβου καὶ σπονδείου· τὸ ε, ἰωνικὸν τρίμετρον καταληκτικὸν ἀπὸ μείζονος, ἐκ δύο ἰωνικῶν καὶ μολοσσοῦ· τὸ ϛ, ὅμοιον τῷ τρίτῳ· τὸ ἕβδομον, ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς ἐξ ἰωνικοῦ καὶ ἀναπαίστου· τὸ η, ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου τετάρτου, ἀντισπάστου καὶ ἐπιτρίτου πρώτου. ὃ καλεῖται ἀλκαϊκόν· (ἀλλ' οὐκ ἐνταῦθα κατ' ἐκεῖνο τὸ κῶλον συντίθεται) τὸ θ, ἰαμβικὸν δίμετρον ἀκατάληκτον καθαρόν· τὸ ι, ὅμοιον· τὸ ια, ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον· ὃ καλεῖται σαπφικὸν, ἢ ἱππωνάκτειον ἐξ ἐπιτρίτου πρώτου, διϊάμβου καὶ συλλαβῆς, πλὴν καὶ τοῦτο κατ' ἐκεῖνο τὸ κῶλον συντίθεται. ἐπὶ τέλει τῆς τε στροφῆς καὶ ἀντιστροφῆς μόνη παράγραφος.

978. Παρὰ δὲ κυανέων] Η δευτέρα αὕτη στροφὴ κώλων ἐστὶν ια, καὶ ἡ ἀντιστροφὴ, τοσούτων. τὸ α, ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου πεντασυλλάβου, διαλελυμένης τῆς πρώτης καὶ μακρᾶς, διϊάμβου καὶ συλλαβῆς· τὸ β, ἰωνικὸν ἀπ' ἐλάττονος τρίμετρον καταληκτικὸν ἐκ παίωνος τρίτου ἀντὶ ἰωνικοῦ, δισπονδείου καὶ ἀναπαίστου· τὸ γ, ἰωνικὸν ὅμοιον δίμετρον ἀκατάληκτον ἐξ ἰωνικοῦ ἀπ' ἐλάττονος καὶ ἐπιτρίτου δευτέρου ἢ τροχαϊκῆς συζυγίας· τὸ δ, ἀντισπαστικὸν δίμετρον καταληκτικὸν, ἑφθημιμερὲς Φερεκράτειον, ἐξ ἀντισπάστου καὶ ἀναπαίστου· (ἐν δὲ τῷ τῆς ἀντιστροφῆς ἐπίτριτον ἔχει δ, ἀντὶ τοῦ ἀντισπάστου) τὸ ε, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· (εἰ δὲ βούλει, ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον ἐξ ἐπιτρίτου τρίτου καὶ σπονδείου) τὸ ϛ, χοριαμβικὸν δίμετρον καταληκτικὸν ἑφθημιμερὲς, ἐκ χοριάμβου καὶ βακχείου, ἢ ἀμφιβραχέος· τὸ ζ, σύνθετον ἐξ ἰαμβικῆς συ-

ζυγίας,

ζυγίας, ἤτοι μονομέτρου καὶ ἰθυφαλλικοῦ, ἤτοι τριῶν τροχαίων· τὸ η, ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἰαμβικῆς συζυγίας πεντασυλλάβου, ἀντισπάστου καὶ συλλαβῆς· ἐν δὲ τῷ κώλῳ τῆς ἀντιστροφῆς παίωνα δεύτερον ἔχει ἀντὶ τοῦ ἀντισπάστου· τὸ θ, ὅμοιον δίμετρον ἀκατάληκτον ἐκ διϊάμβου καθαροῦ καὶ ἐπιτρίτου πρώτου· ἐν τῷ πρώτῳ κώλῳ συνίζησίς ἐστι· τὸ ι, τροχαϊκὸν δίμετρον ἀκατάληκτον· τὸ ια, ἀντισπαστικὸν δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς Φερεκράτειον ἐξ ἀντισπάστου καὶ μολοσσοῦ. ἐπὶ τῷ τέλει μὲν τῆς στροφῆς παράγραφος· ἐπὶ δὲ τῷ τῆς ἀντιστροφῆς κορωνὶς, δηλοῦσα ὡς τὸ ᾆσμα τετέλεσται, καὶ ὡς χορὸς ὑπεχώρησε.

1000. Θήβης ἀνακτες] Αἱ περίοδοι αὗται πᾶσαι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ρκζ· ὧν τελευτὴ, Αριστον ἢ σώζοντα τὸν βίον τελεῖν· ἐπὶ τῷ τέλει κορωνὶς μόνη.

1127. Πολυώνυμε] Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται κατὰ σχέσιν, ὡς εἴρηται. ἔστι δὲ τὰ παρόντα, στροφῶν δύο. τῆς πρώτης στροφῆς τὰ κῶλα, ιβ, καὶ τὰ τῆς ἀντιστροφῆς, τοσαῦτα. τὸ α, ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον· τὸ β, ἰαμβικὸν δίμετρον ἀκατάληκτον· τὸ γ, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον, τοῦ δευτέρου ποδὸς ἀναπαίστου· (εἰ δὲ βούλει, ἰωνικὸν δίμετρον καταληκτικὸν ἀπὸ μείζονος, ἐκ παίωνος δευτέρου ἀντὶ ἰωνικοῦ καὶ δακτύλου· ἐν δὲ τῷ τῆς ἀντιστροφῆς, μολοσσὸν ἔχει τὸν τελευταῖον) τὸ δ, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον καθαρόν· τὸ ε, χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ χοριάμβου καὶ διϊάμβου· (τοῦτο εἴη ἂν καὶ τροχαϊκὸν ἑφθημιμερὲς Εὐριπίδειον, τοῦ πρώτου ποδὸς δακτύλου) τὸ ἕκτον, περίοδος καταληκτική· (δύο γάρ εἰσιν ἴαμβοι, καὶ δύο τροχαῖοι καταληκτικοὶ, ἤτοι ἐλλιπεῖς μιᾷ συλλαβῇ) τὸ ζ, δακτυλικὸν πενθημιμερὲς ἐκ σπονδείων. τὸ ὄγδοον, δακτυλικὸν δίμετρον ἐκ σπονδείων· τὸ θ, χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ χοριάμβου καὶ δισπονδείου· (τὸ δὲ τῆς ἀντιστροφῆς κῶλον διτρόχαιον ἔχει ἀντὶ τοῦ χοριάμβου) τὸ ι, ἀναπαιστικὸν πενθημιμερές (ἀλλ' ἐν τῷ πρώτῳ κώλῳ σπονδεῖον ἔχει τὸν δεύτερον πόδα· ἐν δὲ τῷ τῆς ἀντιστροφῆς, καθαρόν ἐστι) τὸ ια, ἀντισπαστικὸν ἡμιόλιον ἐξ ἐπιτρίτου πρώτου καὶ ἰάμβου· (τὸ μέντοι τῆς ἀντιστροφῆς κῶλον δισπόνδειον ἔχει ἀντὶ τοῦ ἐπιτρίτου) τὸ ιβ, ἰαμβικὸν ἑφθημιμερὲς καθαρόν. ἐπὶ τῷ τέλει τῆς τε στροφῆς καὶ ἀντιστροφῆς παράγραφος μόνη.

1151. Τὰν ἐξ ἁπασᾶν] Η δευτέρα αὕτη στροφὴ κώλων ἐστὶ θ· καὶ ἀντιστροφὴ, τοσούτων. τὸ α, ἰαμβικὸν ἑφθημιμερὲς καθαρόν· τὸ β, ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον καταληκτικὸν ἑφθημιμερὲς ἐξ ἰαμβικῆς συζυγίας, καὶ ἰωνικοῦ καταληκτικοῦ, ἤτοι ἀναπαίστου· (τοῦτο καὶ ἰαμβικὸν εἴη ἂν δίμετρον βραχυκατάληκτον, τοῦ τρίτου ποδὸς ἀναπαίστου) τὸ γ, τροχαϊκὸν ἑφθημιμερὲς καθαρὸν, ὃ καλεῖται Εὐριπίδειον ἢ ληκύθειον· τὸ δ, ὅμοιον, δίμετρον βραχυκατάληκτον, ὃ καλεῖται ἰθυφαλλικόν· τὸ ε, ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον ἀκατάληκτον ἐξ ἰωνικοῦ, καὶ ἐπιτρίτου τρίτου· ἐν τῷ πρώτῳ δὲ κώλῳ ἰωνικὸν ἀπὸ μείζονος ἔχει τὸν δεύτερον, ἀδιαφόρου τῆς τελευταίας οὔσης·

τὸ

τὸ ϛ, χοριαμβικὸν δίμετρον καταληκτικὸν ἑφθημιμερὲς ἐκ χοριάμβου καὶ ἀμφιμάκρου· τὸ ζ, ὅμοιον τῷ δευτέρῳ· τὸ ὄγδοον, ὅμοιον τῷ τρίτῳ· τὸ θ, χοριαμβικὸν, ὅμοιον τῷ ἕκτῳ ἐκ χοριάμβου καὶ ἀμφιβραχέος. ἐπὶ τῷ τέλει μὲν τῆς στροφῆς παράγραφος· ἐπὶ δὲ τῷ τῆς ἀντιστροφῆς κορωνὶς δηλοῦσα ὡς τὸ ᾆσμα τετέλεσται.

1269. Κάδμου πάροικοι] Αἱ μονοστροφικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ρα. ὧν τελευτὴ, Καὶ τῆς ἀγρῶν γάρ ἐστι τοῦ στυγῆς βάρος. ἐπὶ τῷ τέλει κορωνίς.

1271. Καὶ μὴν οὐδ' ἄναξ] Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς προῳδικὸν κώλων ἀναπαιστικῶν δ' ὧν τὰ μὲν τρία δίμετρα ἀκατάληκτα. τὸ δὲ τέταρτον, καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς παροιμιακόν. ἐπὶ τῷ τέλει μόνη παράγραφος.

1275. Ἰὼ φρενῶν] Τὰ τοιαῦτα εἴδη καὶ αἱ περίοδοι πᾶσαι καλοῦνται ἀλλοιόστροφα, ὡς εἴρηται. ἔστι δὲ τῆς παρούσης στροφῆς τὰ κῶλα ζ. τὸ α, ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον· (ὃ καλεῖται ἀσκληπιάδειον, ἐξ ἰαμβικῆς καὶ τροχαϊκῆς συζυγίας καὶ ἐπιτρίτου τρίτου, ἢ ἰωνικοῦ συγκειμένων, διὰ τὴν ἀδιάφορον) τὸ β, ὅμοιον, τὸν πρῶτον ἔχον πόδα ἑξάβραχυν, διαλελυμένων τῶν μακρῶν τοῦ ἀντισπάστου συλλαβῶν· τοὺς δὲ λοιποὺς, ὁμοίους τῷ πρώτῳ. τὸ γ, τρίμετρον βραχυκατάληκτον, ἐξ ἀντισπάστου, ἐπιτρίτου δευτέρου καὶ ἰάμβου· τὸ δ, ὅμοιον, τρίμετρον καταληκτικὸν, ὃ καλεῖται φαλαίκειον ἐξ ἐπιτρίτου τρίτου, διϊάμβου καὶ κρητικοῦ· τὸ ε, ὅμοιον, ἐξ ἐπιτρίτου πρώτου, διϊάμβου καὶ κρητικοῦ· τὸ ϛ, δίμετρον ὑπερκατάληκτον, ἐξ ἐπιτρίτου τετάρτου, διϊάμβου πεντασυλλάβου, διαλελυμένης τῆς πρώτης μακρᾶς καὶ συλλαβῆς· τὸ ζ, ὅμοιον τῷ τρίτῳ κατὰ πάντα. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ μετὰ τὴν παράγραφον.

1288. Οἴ μ' ὡς ἔοικας] Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς μονόστιχον· ἴαμβος γάρ ἐστι τρίμετρος. ἐπὶ τῷ τέλει παράγραφος μόνη.

1283. Οἴ μοι] Η δευτέρα αὕτη στροφὴ κώλων ἐστὶν ζ. τὸ α, ἰαμβικὸν κόμμα μονόμετρον βραχυκατάληκτον. τὸ β, ἴαμβος τρίμετρος καθαρός· τὸ γ, ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν, τοῦ πρώτου ποδὸς διϊάμβου, τοῦ δὲ δευτέρου ἑξασυλλάβου· τὸ δ, ὅμοιον τῷ δευτέρῳ· τὸ ε, ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν, οἱ πόδες ὅμοιοι τοῖς ἐκτεθεῖσιν ἄνω· τὸ ϛ, τρίμετρον βραχυκατάληκτον, ἀντισπαστικὸν ἐκ ποδῶν ὁμοίων. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ, ὡς εἴρηται.

1289. Ω δέσποθ'] Σύστημα ἕτερον κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ἕξ. ἐπὶ τῷ τέλει παράγραφος μόνη. σύγκειται δὲ οἱ στίχοι οὗτοι ἐξ ἰάμβων, σπονδείων καὶ χορείων· ἐν τισὶ δὲ ἐν τῷ τέλει καὶ πυῤῥίχιος εἴληπται.

1295. Ἰὼ ἰώ] Ἡ ἀντιστροφὴ αὕτη τῆς πρώτης ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ, Ἰὼ φρενῶν. ἔστι δὲ καὶ αὕτη κώλων ὁμοίων ἐκείνῃ ζ, καὶ ἐξ ὁμοίων ποδῶν συγκεῖνται, καὶ τινὰς αὐτῶν διαλελυμένους ἔχουσιν ὡς ἐκεῖνα. ἐπὶ τῷ τέλει μόνη παράγραφος.

1302. Ὁρᾶν πάρεστιν] Σύστημα ἕτερον κατὰ περικοπὴν ὅμοιον τῷ μετὰ τὴν πρώτην στροφὴν συστήματι. ἔστι δὲ καὶ τοῦτο μονόστιχον ὡς ἐκεῖνο· ἴαμβος γάρ ἐστι τρίμετρος. ἐπὶ τῷ τέλει παράγραφος μόνη.

1303. Οἴ μοι] Ἡ ἀντιστροφὴ αὕτη τῆς δευτέρας ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ, Οἴ μοι. ἔστι δὲ κώλων ὁμοίων ἐκείνῃ κατὰ πάντα ϛ. ὧν τὰ μὲν ἐστιν ἰαμβικὰ, τὰ δὲ ἀντισπαστικά. ἐπὶ τῷ τέλει μόνη παράγραφος.

1309. Ἢ ὃ ὀξύθηκτος] Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς, στίχων ἰαμβικῶν τριμέτρων ε. σύγκειται δὲ ἔκ τε ἰάμβων καὶ σπονδείων καὶ χορείων καὶ δακτύλων. ἐπὶ τῷ τέλει παράγραφος.

1314. Αἶ αἶ αἶ αἶ] Ἡ τρίτη αὕτη στροφὴ κώλων ἐστὶ ε. τὸ α, ἰαμβικὸν μονόμετρον· τοιοῦτον γάρ ἐστι τὸ τῆς ἀντιστροφῆς· (χρὴ οὖν τὸ μὲν αἶ τὸ πρῶτον τοῦ ποδὸς ὀξύνειν· τὸ δὲ β, περισπᾶν, ἵν' ᾖ ἴαμβος ὁ πούς) τὸ β, ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον ἐξ ἀντισπάστου, ἐπιτρίτου δευτέρου καὶ ἰάμβου· τὸ γ, ὅμοιον κατὰ πάντα· τὸ δ, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον, τοῦ πρώτου ποδὸς χορείου· τὸ ε, ὅμοιον τῷ δευτέρῳ· (ἔχει δ' ἐν τῷ πρώτῳ κώλῳ ἀμφοτέρους τοὺς πόδας ἐπιτρίτους· ἐν δὲ τῷ δευτέρῳ, τὸν πρῶτον ἀντίσπαστον. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ, ὡς ἄνω εἴρηται.

1318. Ὡς αἰτίαν γε] Σύστημα ἕτερον κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ε. ἐπὶ τῷ τέλει παράγραφος μόνη.

1323. Ὦ μοι μοι] Ἡ τετάρτη αὕτη στροφὴ κώλων ἐστὶν ἀντισπαστικῶν ϛ. εἰσὶ δὲ πάντα τρίμετρα βραχυκατάληκτα, ἐξ ἀντισπάστων καὶ ἐπιτρίτων καὶ διτροχαίων συγκείμενα· τὸ μέντοι τέταρτον, τὸν δεύτερον ἔχει πόδα πεντασύλλαβον ἐπίτριτον· τὸ δὲ πέμπτον, τὸν μὲν πρῶτον πόδα ἑξασύλλαβον, ἤτοι ἑξάβραχυν· τὸν δὲ δεύτερον, πεντασύλλαβον, διΐαμβον. ὁ δέ γε τελευταῖος αὐτῶν πούς ἀδιάφορός ἐστι. ποτὲ μὲν γάρ ἴαμβός ἐστι, ποτὲ δὲ πυῤῥίχιος. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ, ὡς εἴρηται.

1329. Κέρδη παραινεῖς] Σύστημα ἕτερον κατὰ περικοπὴν ἀνομοιομερὲς, στίχων ἰαμβικῶν τριμέτρων δύο. ἐπὶ τῷ τέλει μόνη παράγραφος.

1331. Ἴτω ἴτω] Ἡ ἀντιστροφὴ αὕτη τῆς τρίτης ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ, Αἶ αἶ αἶ αἶ. ἔστι δὲ κώλων ὁμοίων ἐκείνῃ ε. ἐν μέντοι τῷ πέμπτῳ κώλῳ, ἀντίσπαστον ἔχει τὸν πρῶτον πόδα, οὐκ ἐπίτριτον. ἐπὶ τῷ τέλει μόνη παράγραφος.

1336. Μέλλοντα ταῦτα.] Σύστημα ἕτερον κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων πέντε καθαρῶν. ἐπὶ τῷ τέλει μόνη παράγραφος.

1341. Ἄγοιτ' ἂν] Ἡ ἀντιστροφὴ αὕτη τῆς τετάρτης ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ, Ὦ μοι μοι.] ἔστι δὲ κώλων ὁμοίων ἐκείνῃ ϛ. πλὴν ἐν μὲν τῷ πρώτῳ κώλῳ ἀντίσπαστον ἔχει ἀντὶ ἐπιτρίτου τὸν πρῶτον πόδα· ἐν δὲ τῷ τρίτῳ καὶ τετάρτῳ καὶ πέμπτῳ τὸν β πόδα πεντασύλλαβον ἐπίτριτον. ἐπὶ τελευταίῳ κώλῳ δύο διπλαῖ· ἡ μὲν ἐν ἀρχῇ, ἡ δὲ ἐπὶ τῷ τέλει, δηλοῦσαι ὅτι τετέλεσται τὰ ἀνταποδιδόμενα.

1348. Πολλῷ τὸ φρονεῖν] Σύστημα ἀνομοιομερὲς ἐπῳδικὸν ἐν ἐκθέσει τοῦ δράματος κώλων ἀναπαιστικῶν ϛ. ὧν τὰ μὲν δ, δίμετρα ἀκατάληκτα. τὸ δὲ ε, μονόμετρον, ὃ καὶ παρατέλευτον ὀνομάζεται· τὸ ϛ, δίμετρον καταληκτικὸν ἐφθημιμερὲς παροιμιακόν. ἐπὶ τῷ τέλει μόνη κορωνὶς τὸ δρᾶμα ἐπισφραγίζουσα.



Digitized by Google

# ΔΗΜΗΤΡΙΟΥ

## ΤΟΥ

# ΤΡΙΚΛΙΝΙΟΥ

## ΠΕΡΙ

## Μέτρων οἷς ἐχρήσατο Σοφοκλῆς ἐν τῷ Οἰδίποδι ἐπὶ Κολωνῷ.

Vers. 1. ΤΕΚΝΟΝ] Η εἴσθεσις τοῦ δράματος ἐκ μονοστροφικῶν ἐστὶ περιόδων· οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, ϙιϛ, ὧν τελευταῖος, Ενεστιν εὐλάβεια τῶν ποιουμένων. ἐπὶ τῷ τέλει κορωνίς.

118. Ορα, τίς] Τὰ τοιαῦτα εἴδη καὶ αἱ περίοδοι καλοῦνται ἑτερόστροφα. εἰ βούλει δὲ καὶ τίνος μέτρου τῶν κώλων ἐστὶν ἕκαστον εἰδέναι, τοῖς προτέροις ἀκολουθῶν δράμασι μάθοις ἂν καὶ ταῦτα. ἐπὶ τῷ τέλει τῆς στροφῆς παράγραφος καὶ διπλαῖ.

136. Οδ' ἐκεῖνος] Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς κώλων ἀναπαιστικῶν δέκα. ἐπὶ τῷ τέλει παράγραφος.

147. Ε ἒ] Η ἀντιστροφὴ αὕτη τῆς προῤῥηθείσης ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ, Ορα, τίς ἄρ' ἦν. ἔστι δὲ κώλων ὁμοίων ἐκείνῃ ιη. ἐπὶ τῷ τέλει μόνη παράγραφος.

165. Θύγατερ] Σύστημα κατὰ περικοπὴν κώλων ἀναπαιστικῶν η. ἐπὶ τῷ τέλει συνήθως αἱ δύο διπλαῖ.



Digitized by Google

174. Ετ' ὢν ἔτι] Τὰ ἐντεῦθεν κῶλα ἔοικε στροφῇ μονοστρόφῳ ἄλλον τρόπον ἐσχηματισμένη. εἰσὶ δὲ τὰ κῶλα πάντα νη, ὧν τελευταῖον, Εμᾶ πόλει προσάψης. ἐπὶ τῷ τέλει κορωνίς.

241. Ω ξένοι αἰδοφρ.] Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς κώλων ἀναπαιστικῶν ιζ· ἐπὶ τῷ τέλει παράγραφος.

258. Αλλ' ἴσθι] Αἱ συστηματικαὶ αὗται περίοδοι, στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων στδ, ὧν τελευταῖος, Οὐδ' εἰ πρεῖ της, δεῖ πόσε μ' ἔχειν. ἐπὶ τῷ τέλει κορωνίς.

523. Δεινὸν μὲν] Τὰ τοιαῦτα εἴδη καλεῖται μονοστροφικά. ἐσχημάτισται δὲ ἐνταῦθα ἄλλον τρόπον· ἡ γὰρ ἐξ ἑνὸς προσώπε σύγκειται ἡ στροφὴ, ἀλλ' ἐκ πολλῶν κατὰ τὸν ἀμοιβαῖον τρόπον. ἔστι δὲ πάντα τὰ κῶλα μ. ἐπὶ τῷ τέλει κορωνίς.

576. Καὶ μὴν ἄναξ] Αἱ μετὰ τὴν στροφὴν αὗται συστηματικαὶ περίοδοι, στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ριθ, ὧν τελευταῖος, Τοὐμὸν φυλάξει σ' ὄνομα μὴ πάσχειν κακῶς. ἐπὶ τῷ τέλει κορωνίς.

700. Εὐίππου ξένε] Τὰ τοιαῦτα εἴδη τῶν χορῶν, καλεῖται κατὰ σχέσιν, ὡς εἴρηται. ἔστι δὲ τὸ παρὸν ᾆσμα, στροφῶν δύο, τὰ δὲ κῶλα ἑκάστης στροφῆς καὶ ἀντιστροφῆς, ιγ, ἃ καὶ μετρήσεις τοῖς προτέροις ἑπόμενος. ἐπὶ τῷ τέλει κορωνίς.

752. Ω πλεῖστα] Αἱ συστηματικαὶ αὗται περίοδοί εἰσι στίχων ἰαμβικῶν τριμέτρων ριδ, ὧν τελευταῖος, Δίκαια. Πῶς δίκαια; Τοὺς ἐμοὺς ἄγω. ἐπὶ τῷ τέλει παράγραφος.

873. Ιὼ πόλις] Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς μὲν πρὸς τὰ ῥηθέντα, ὁμοιομερὲς δὲ τῷ ἑξῆς συστήματι, οὗ ἡ ἀρχὴ, Ιὼ τάλας, κώλων καὶ στίχων ια. εἰσὶ δὲ οἱ στίχοι ἰαμβικοὶ δ. ἐπὶ τῷ τέλει τοῦ πρώτου συστήματος, παράγραφος καὶ διπλαῖ διὰ τὴν ἀνταπόδοσιν· ἔστι δὲ καὶ τὸ πρῶτον καὶ τελευταῖον κῶλον, ἰαμβικά.

888. Αφίλκομαι] Κατὰ περικοπὴν αὐθις στίχοι ἰαμβικοὶ τρίμετροι λς, ὧν τελευταῖος, Καὶ μῦθός ἐστιν, τοῦδε καὶ χρόνῳ βραχύς. ἐπὶ τῷ τέλει παράγραφος μόνη.

927. Ιὼ τάλας] Σύστημα κατὰ περικοπὴν ὅμοιον τῷ προειρημένῳ συστήματι, οὗ ἡ ἀρχὴ, Ιὼ πόλις, κώλων καὶ στίχων ὁμοίως ια. ἐλλιπὴς δὲ ἐστιν ὁ εἷς τῶν ἰάμβων· ἐπὶ τῷ τέλει συνήθως αἱ δύο διπλαῖ.

941. Τίς ποθ' ἡ βοή] Αἱ συστηματικαὶ αὗται περίοδοί εἰσι στίχων ἰαμβικῶν τριμέτρων ρμα, ὧν τελευταῖος, Καὶ τῆς παρ' ἡμᾶς ἐλθεῖν προμηθίας. προτίθενται δὲ τούτων στίχοι τροχαϊκοὶ τετράμετροι ϛ. ἐπὶ τῷ τέλει κορωνίς.

1099. Εἴην ὅθι] Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται κατὰ σχέσιν, ὡς εἴρηται. ἔστι δὲ τὸ παρὸν ᾆσμα στροφῶν δύο· τὰ κῶλα δὲ τῆς μὲν πρώτης στροφῆς καὶ ἀντιστροφῆς ἀνὰ ιε, τῆς δὲ δευτέρας ἀνὰ ιδ. ἐπὶ τῷ τέλει, τὰ συνήθη σημεῖα, ἐφ' ἑκάστης μὲν στροφῆς καὶ ἀντιστροφῆς, παράγραφος. ἐπὶ δὲ τῷ τέλει τοῦ ᾄσματος κορωνίς.

1153. Ω ξεῖν' ἀλῆτα] Αἱ συϛηματικαὶ αὗται περίοδοι, ϛίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ρια, ὧν τελευταῖος, Σῶν ἴσθ' ἐάν περ κἀμέ τις σώζῃ θεῶν. ἐπὶ τῷ τέλει κορωνίς.

1275. Ορις τῦ] Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται μονοϛροφικὰ, ὡς εἴρηται. ἔϛι δὲ ἡ παρῦσα ϛροφὴ κώλων λη. ἐπὶ τῷ τέλει κορωνίς.

1313. Καὶ μὴν ὅδ' ἡμῖν] Αἱ συϛηματικαὶ αὗται περίοδοι ϛίχων εἰσὶν ἰαμβικῶν τριμέτρων σλζ, ὧν τελευταῖος, Ανάξιαι γὰρ πᾶσιν ἐϛὶ δυϛυχεῖν. ἐπὶ τῷ τέλει κορωνίς.

1517. Νέα τάδε] Τὰ τοιαῦτα εἴδη κ͵ αἱ περίοδοι καλῦνται ἀλλοιόϛροφα. εἰσὶ δὲ τὰ κῶλα τῆς παρέσης ϛροφῆς, δέκα. ἐπὶ τῷ τέλει παράγραφος κ͵ διπλαῖ συνήθως.

1527. Ω τέκνα] Σύϛημα κατὰ περικοπὴν ἀνομοιομερὲς ϛίχων ε. ἐπὶ τῷ τέλει παράγραφος.

1532. Ιδὲ μάλα] Η ἀντιϛροφὴ αὕτη τῆς ἄνω ἐϛὶ ϛροφῆς, ἧς ἡ ἀρχὴ, Νέα τάδε. ἔϛι δὲ κ͵ αὕτη κώλων ι. ἐπὶ τῷ τέλει παράγραφος μόνη.

1542. Ω παῖδες] Σύϛημα κατὰ περικοπὴν ὅμοιον τῷ ἄνω συϛήματι, ϛίχων ἰαμβικῶν ε. ἐπὶ τῷ τέλει παράγραφος.

1547. Εα, ἔα] Στροφὴ ἑτέρα κώλων θ. ἔχει δὲ ἀντιϛροφὴν, ἧς ἡ ἀρχὴ, Ιὼ, ἰώ. ἐπὶ τῷ τέλει παράγραφος κ͵ διπλαῖ κατὰ τὸ σύνηθες.

1556. Αρ' ἐγγὺς] Σύϛημα ἕτερον κατὰ περικοπὴν, ϛίχων ἰαμβικῶν ε. ἐπὶ τῷ τέλει παράγραφος.

1561. Ιὼ, ἰὼ] Η ἀντιϛροφὴ αὕτη τῆς ἄνω ἐϛὶ ϛροφῆς, ἧς ἡ ἀρχὴ, Εα, ἔα. ἔϛι δὲ κ͵ αὕτη κώλων θ. ἐπὶ τῷ τέλει αἱ δύο διπλαῖ. ἐλλιπὴς δὲ ἦν κατά τε τὸ πρῶτον κῶλον κ͵ τὸ τελευταῖον· διὸ κ͵ διωρθώθη παρ' ἐμῦ.

1570. Τίς αὖ] Σύϛημα κατὰ περικοπὴν, ὅμοιον τῷ ἄνω συϛήματι, ϛίχων ἰαμβικῶν ε. ἐπὶ τῷ τέλει παράγραφος.

1575. Αναξ] Οἱ μετὰ τὰς περιόδυς ταύτας ἦτοι ϛίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι να, ὧν τελευταῖος, Μέμνησθέ μυ θανόντος, εὐτυχεῖς ἀεί. ἐπὶ τῷ τέλει κορωνίς.

1626. Εἰ θέμις] Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται κατὰ σχέσιν, ὡς εἴρηται. ἔϛι δὲ τὸ παρὸν ᾆσμα μιᾶς ϛροφῆς· τὰ δὲ κῶλα αὐτῆς ιϚ, κ͵ τὰ τῆς ἀντιϛροφῆς, τοσαῦτα. ἐπὶ τῷ τέλει τῆς μὲν ϛροφῆς παράγραφος, τῆς ἀντιϛροφῆς δὲ κορωνίς.

1649.] Ανδρες] Αἱ περίοδοι αὗται ϛίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ζ, ὧν τελευταῖος, Φθόγγοις δὲ σημαίνυσι δεῦρ' ὁρμωμένας. ἐπὶ τῷ τέλει κορωνίς.

1741. Αἶ, αἶ, φεῦ] Σύϛημα κατὰ περικοπὴν προῳδικὸν ἀνομοιομερὲς ταῖς ϛροφαῖς, ὁμοιομερὲς δὲ τῷ μετὰ τὴν δευτέραν ϛροφὴν συϛήματι, ὗ ἡ ἀρχὴ, Πόθος κ͵ κακῶν, κώλων ζ· ἐπὶ τῷ τέλει παράγραφος. εἰσὶ δὲ τὰ τοιαῦτα εἴδη, (ὡς εἴρηται) ἀλλοιόϛροφα.

1748.

Digitized by Google

1748. Τί δ' ἐστίν] Η παροῦσα στροφὴ κώλων καὶ στίχων ἐστὶ ιϐ. εἰσὶ δὲ οἱ πρῶτοι δύο στίχοι, ἰαμβικοὶ τρίμετροι· ἡ δὲ ταύτης ἀντιστροφή ἐστι τὸ, Επραξεν οὖν. ἐπὶ τῷ τέλει παράγραφος, καὶ διπλαῖ συνήθως.

1762. Οὐ κάτοιδα] Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς κώλων ε. ἐπὶ τῷ τέλει παράγραφος.

1767. Ω διδύμα] Η στροφὴ αὕτη κώλων ἐστὶ ε. ἔχει δὲ ἀντιστροφὴν, τὸ, Αλλ' ἐπεὶ ὀλϐίως· ἐπὶ τῷ τέλει παράγραφος, καὶ διπλαῖ συνήθως.

1772. Πόθος καὶ κακῶν] Σύστημα κατὰ περικοπὴν ὅμοιον τῷ πρώτῳ συστήματι, οὗ ἡ ἀρχὴ, Αἶ, αἶ, φεῦ. καὶ ἔστι κώλων ὁμοίων ζ· ἐπὶ τῷ τέλει παράγραφος.

1779. Επραξεν οὖν] Η ἀντιστροφὴ αὕτη, τῆς πρώτης ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ, Τί δ' ἐστίν· ἔστι δὲ καὶ αὕτη κώλων καὶ στίχων ιϐ. ἐπὶ τῷ τέλει παράγραφος.

1793. Ω τάλαινα] Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς, κώλων δ. ἐπὶ τῷ τέλει παράγραφος.

1797. Αλλ' ἐπεὶ] Η ἀντιστροφὴ αὕτη τῆς δευτέρας ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ, Ω διδύμα· ἔστι δὲ καὶ αὕτη κώλων ὁμοίων ε. ἐπὶ τῷ τέλει, αἱ δύο διπλαῖ, ὡς εἴρηται.

1802. Πάλιν, φίλα] Σύστημα ἕτερον ἐν ἐκθέσει ἐξ ἀμοιϐαίων προσώπων συντεθειμένον, κώλων κϛ. ἐπὶ τῷ τέλει παράγραφος.

1834. Παύετε θρήνων] Αἱ συστηματικαὶ αὗται περίοδοι αἱ ἐν ἐκθέσει τοῦ δράματος, κώλων εἰσὶν ἀναπαιστικῶν κθ, ὧν τελευτὴ, καὶ παντὸς τοῦ δράματος, Πάντως γὰρ ἔχει τάδε κῦρος. ἐπὶ τῷ τέλει κορωνὶς ἡ περατοῦσα τὸ δρᾶμα, καὶ οἷον ἐπισφραγίζουσα.

1850. Αλλ' ἀποπαύετε] Σύστημα ἐπῳδικὸν κώλων ἀναπαιστικῶν τριῶν.

ΔΗΜΗΤΡΙΟΥ

Digitized by Google

# ΔΗΜΗΤΡΙΟΥ

## ΤΟΥ

# ΤΡΙΚΛΙΝΙΟΥ

## ΠΕΡΙ

## Μέτρων οἷς ἐχρήσατο Σοφοκλῆς ἐν ταῖς Τραχινίαις.

Vers. 1. ΛΟΓΟΣ] Η εἴσθεσις τοῦ δράματος ἐκ συστηματικῶν ἐστ περιόδων, οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, ϟγ, ὧν τελευταῖος, Πράσσειν, ἐπεὶ πύθοιτο, κέρδος ἐμπολᾷ. ἐπὶ τῷ τέλει κορωνίς.

94. Ον αἰόλα νὺξ] Τὰ τοιαυτα εἴδη τῶν χορῶν καλεῖται ἐπῳδικὰ, ὡς εἴρηται. ἔστι δὲ τὰ παρόντα, πεντὰς ἐπῳδικὴ, ἤτοι στροφαὶ δύο καὶ ἐπῳδός. εἰσὶ δὲ τὰ κῶλα ἑκάστης στροφῆς καὶ ἀντιστροφῆς ι, καὶ τῆς ἐπῳδοῦ, τοσαῦτα. ἐπὶ τῷ τέλει ἑκάστης στροφῆς καὶ ἀντιστροφῆς παράγραφος. ἐπὶ δὲ τῷ τέλει τῆς ἐπῳδοῦ κορωνὶς, καὶ παράγραφος.

144. Πεπυσμένη] Αἱ συστηματικαὶ αὗται περίοδοι πᾶσαι, στίχων εἰσὶν ἰαμβικων τριμέτρων ξδ, ὧν τελευταῖος, Φήμης ἀνασχὼν τῆσδε νῦν καρπώμεθα. ἐπὶ τῷ τέλει κορωνίς.

208. Ανολόλυξον] Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται ἐπῳδικὰ, ὡς εἴρηται. ἔστι δὲ τὰ παρόντα τριὰς ἐπῳδική· τὰ κῶλα δὲ τῆς μὲν στροφῆς ζ, καὶ τῆς ἀντιστροφῆς, τοσαῦτα, τῆς δὲ ἐπῳδοῦ, ὁμοίως ζ. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς καὶ ἀντιστροφῆς παράγραφος, τῆς δὲ ἐπῳδοῦ, κορωνὶς καὶ παράγραφος.



Digitized by Google

229. Ορῶ φίλαι] Αἱ συστηματικαὶ αὗται περίοδοι. στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων σοα, ὧν τελευταῖος, Χωρεῖν προσελθόνθ' ὧδε σὺν πολλῷ στόλῳ. ἐπὶ τῷ τέλει κορωνίς.

504. Μέγα τι σθένος] Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται ἐπῳδικὰ, ὡς εἴρηται. ἔστι δὲ τὰ παρόντα, τριὰς ἐπῳδική· τὰ κῶλα δὲ τῆς μὲν στροφῆς ια, καὶ τῆς ἀντιστροφῆς, τοσαῦτα· τῆς δ' ἐπῳδοῦ ιδ. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς καὶ ἀντιστροφῆς παράγραφος, τῆς δ' ἐπῳδοῦ κορωνίς. εἶτα παράγραφος.

540. Ημος φίλαι] Αἱ συστηματικαὶ αὗται περίοδοι, στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ϛϛ, ὧν τελευταῖος, Πρὶν εἰδέναι τἀκεῖθεν, εἰ σφαλοῦμεθα. ἐπὶ τῷ τέλει κορωνὶς συνήθως.

642. Ω ναύλοχα] Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται κατὰ σχέσιν, ὡς εἴρηται. εἰσὶ δὲ τὰ παρόντα στροφῶν δύο. τὰ δὲ κῶλα τῆς μὲν προτέρας στροφῆς, η, καὶ τὰ τῆς αντιστροφῆς, τοσαῦτα· τῆς δὲ δευτέρας θ, καὶ τῆς ἀντιστροφῆς, ὁμοίως τοσαῦτα. ἐπὶ τῷ τέλει ἑκάστης στροφῆς καὶ ἀντιστροφῆς παράγραφος. ἐπὶ δὲ τῷ τέλει τοῦ ᾄσματος κορωνίς.

676. Γυναῖκες] Αἱ συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ϛτη, ὧν τελευταῖος, Τῷ μῷ δίδωσι πατρὶ, τοῦ αὐτὴ λάβοι. ἐπὶ τῷ τέλει κορωνίς.

834. Ιδ' οἷον] Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται κατὰ σχέσιν, ὡς εἴρηται. ἔστι δὲ τὰ παρόντα στροφῶν δύο· τῆς μὲν πρώτης στροφῆς τὰ κῶλα ι, καὶ τῆς ἀντιστροφῆς, τοσαῦτα· τῆς δὲ δευτέρας ια, καὶ τῆς ἀντιστροφῆς, τοσαῦτα. ἐπὶ τῷ τέλει ἑκάστης στροφῆς καὶ ἀντιστροφῆς παράγραφος· ἐπὶ τῷ τέλει τοῦ ᾄσματος κορωνίς.

876. Πότερον] Σύστημα κατὰ περικοπὴν στίχων ἰαμβικῶν τριμέτρων ϛ, καὶ κώλων δύο μεταξὺ κειμένων μονομέτρων καταληκτικῶν. ἐπὶ τῷ τέλει παράγραφος.

884. Ω παῖδες] Κατὰ περικοπὴν ἕτεροι στίχοι ἰαμβικοὶ τρίμετροι η. ἐπὶ τῷ τέλει παράγραφος.

894. Σχετλιώτατα] Κατὰ περικοπὴν εὐθὺς κῶλα ἀμοιβαῖα ιζ. ἐπὶ τῷ τέλει κορωνίς. μεταξὺ τούτων εἰσὶ καὶ δύο ἴαμβοι τρίμετροι.

913. Αγαν γε μᾶλλον] Οἱ ἑξῆς οὗτοι στίχοι ἰαμβικοί εἰσι τρίμετροι ἀκατάληκτοι, ὧν τελευταῖος, Πρὶν εὖ πάθῃ, τὶς τὴν παροῦσαν ἡμέραν. ἐπὶ τῷ τέλει κορωνίς.

964. Πότερα] Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται προῳδικά· προῳδικὰ δέ ἐστιν (ὡς Ηφαιστίων φησὶν) ἐν οἷς τὸ ἀνόμοιον προτίθεται τῶν ὁμοίων. ἔστιν οὖν ἡ μὲν προῳδὸς αὕτη, κώλων ϛ' ἡ δὲ στροφὴ, κώλων θ, καὶ ἡ ἀντιστροφὴ τοσούτων. ἐπὶ τῷ τέλει τῆς μὲν προῳδοῦ καὶ τῆς στροφῆς, παράγραφος· τῆς δὲ ἀντιστροφῆς, κορωνὶς, διὰ τὸ ἐξιέναι τοὺς χορευτάς.

988. Ω μοι ἐγὼ] Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς κώλων ἀναπαιστικῶν ιθ. ἐπὶ τῷ τέλει παράγραφος.

1001.

1001. Ω Ζεῦ ποῖ γῆς] Αἱ συστηματικαὶ αὗται περίοδοι κώλων εἰσὶν ἀναπαιστικῶν κι. μετὰ δὲ ταῦτα, ἐν εἰσθέσει στίχοι δακτυλικοὶ ἑξάμετροι ε, καὶ ἐν ἐκθέσει κῶλα τρία. τὸ πρῶτον ἀναπαιστικὸν, τὰ δὲ δύο ἰαμβικά. ἐπὶ τῷ τέλει παράγραφος.

1035. Ω παῖ τοῦδ᾽ ἀνδρὸς] Σύστημα ἕτερον κατὰ περικοπὴν, στίχων ὁμοίων τοῖς ἄνω δακτυλικῶν ἑξαμέτρων ε. ἐπὶ τῷ τέλει παράγραφος.

1041. Ω παῖ παῖ] Η μονοστροφικὴ αὕτη περίοδος, κώλων ἐστὶν ἀναπαιστικῶν κ. ἐπὶ τῷ τέλει κορωνίς.

1061. Κλύεσ᾽ ἔφριξα] Αἱ συστηματικαὶ αὗται περίοδοι, στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων σιγ, ὧν τελευταῖος, Ἐπεὶ κελεύεις κἀξαναγκάζεις πάτερ. μετὰ δὲ τὸν λζ, κῶλον δίμετρον καταληκτικὸν ἀντισπαστικόν. ἐπὶ τῷ τέλει κορωνίς.

1275. Ἄγε νῦν,] Αἱ περίοδοι αὗται πᾶσαι εἰσὶν ἀναπαιστικῶν διμέτρων ἀκαταλήκτων καὶ καταληκτικῶν κ᾽ τὸ ιδ, μόνον ἐστὶ μονόμετρον. ἐπὶ τῷ τέλει τοῦ δράματος κορωνὶς, τὸ δρᾶμα ἐπισφραγίζουσα.

1291. Λεῖπε μὴ] Σύστημα ἐπῳδικὸν ἐν ἐκθέσει τοῦ δράματος, κώλων ἀναπαιστικῶν δ. ἐπὶ τῷ τέλει κορωνίς.



Digitized by Google

# ΔΗΜΗΤΡΙΟΥ

## ΤΟΥ

# ΤΡΙΚΛΙΝΙΟΥ

## ΠΕΡΙ

## Μέτρων οἷς ἐχρήσατο Σοφοκλῆς ἐν τῷ Φιλοκτήτῃ.

Vers. 1. ΑΚΤΗ μὲν] Ἡ εἴσθεσις τοῦ δράματος ἐκ συστηματικῶν ἐστὶ περιόδων· οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρλδ, ὧν τελευταῖος, Νίκη τ' Ἀθηνᾶ πολιάς, ἣ σώζει μ' ἀεί. ἐπὶ τῷ τέλει κορωνίς.

136. Τί χρή, τί χρή] Τὰ τοιαῦτα εἴδη καὶ αἱ περίοδοι καλοῦνται ἑτερόστροφα, ὡς εἴρηται. εἰσὶ δὲ τῆς παρούσης στροφῆς τὰ κῶλα θ. τὸ πρῶτον καὶ τελευταῖον ἰαμβικά. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ συνήθως.

145. Νῦν μέν, ἴσως γὰρ] Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς κώλων ἀναπαιστικῶν ϛ. ἐπὶ τῷ τέλει παράγραφος.

151. Μέλον πάλαι] Ἡ ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφῆς, ἧς ἡ ἀρχή, Τί χρή, τί χρή· ἔστι δὲ καὶ αὕτη κώλων θ. ἐπὶ τῷ τέλει παράγραφος.

160. Οἶκον μὲν] Σύστημα ἕτερον κατὰ περικοπὴν ἀνομοιομερὲς κώλων ἀναπαιστικῶν ι. ἐπὶ τῷ τέλει παράγραφος.

170. Οἰκτείρω νιν] Ἡ στροφὴ αὕτη κώλων ἐστὶν ια. ἔχει δὲ καὶ τὴν ἀντιστροφὴν αὐτῆς ὁμοῦ συνεκφωνουμένην, καὶ οὐ μετὰ τὸ σύστημα, ὡς ἡ προειρημένη,

Digitized by Google

μένη, κώλων ϰ̀ αὐτὴν ὅσαν ια. ἐπὶ τῷ τέλει τῆς τε ϛροφῆς ϰ̀ τῆς ἀντιϛροφῆς παράγραφος.

192. Οὐδὲν τούτων]. Σύϛημα κατὰ περικοπὴν ἀνομοιομερὲς κώλων ἀναπαιϛικῶν ι. ἐπὶ τῷ τέλει παράγραφος.

. 202. Εὔϛομ' ἔχε] Η ϛροφὴ αὕτη κώλων ἐϛὶν θ. ἔχει δὲ ϰ̀ αὕτη τὴν ἀντιϛροφὴν αὐτῆς συνεκφωνουμένην, ὡς ϰ̀ ἡ προῤῥηθεῖσα, κώλων οὖσαν ϰ̀ αὐτὴν θ. ἐπὶ τῷ τέλει τῆς μὲν ϛροφῆς παράγραφος, τῆς δὲ ἀντιϛροφῆς, δύο διπλαῖ, ὡς πολλάκις εἴρηται.

222. Ἰὼ ξένοι] Αἱ συϛηματικαὶ αὗται περίοδοι ϛίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ϙα, ὧν τελευταῖος, Εμοί θ' ὁμοίως ϰ̀ θεοῖς εἴη φίλος. τούτων δὲ προτίθεται κῶλον ἰαμβικὸν μονόμετρον ἀκατάληκτον. ἐπὶ τῷ τέλει πάντων κορωνίς.

. 395. Ορεϛέρα] Η παροῦσα ϛροφὴ κώλων ἐϛὶ ιγ, ἔχει δ' ἀντιϛροφὴν τὴν μετὰ τοὺς προκειμένους ϛίχους, ἧς ἡ ἀρχὴ, Οἴκτειρ' ἄναξ, τοσούτων ϰ̀ αὐτὴν κώλων. ἐπὶ τῷ τέλει ταύτης παράγραφος ϰ̀ διπλαῖ.

408. Εχοντες] Οἱ μεταξὺ τῆς ϛροφῆς ταύτης ϰ̀ τῆς ἀντιϛροφῆς αὐτῆς ϛίχοι ἰαμβικοὶ τρίμετροι ϙδ, ὧν τελευταῖος, Σκοπεῖν μάλιϛα, μὴ διαφθαρεὶς λάθη. ἐπὶ τῷ τέλει κορωνίς.

513. Οἴκτειρ' ἄναξ] Η ἀντιϛροφὴ αὕτη, τῆς προῤῥηθείσης ἐϛὶ ϛροφῆς, ἧς ἡ ἀρχὴ, Ορεϛέρα παμβῶτι γα. ἔϛι δὲ ϰ̀ αὕτη κώλων ὁμοίων ιγ. ἐπὶ τῷ τέλει ταύτης παράγραφος.

326. Ορα σὺ] Οἱ μετὰ τὴν ἀντιϛροφὴν ταύτην ϛίχοι ἰαμβικοὶ τρίμετροι ϙνζ, ὧν τελευταῖος, Νοσοῦν ποθεῖ σε ξυμπαραϛάτην λαβεῖν. ἐπὶ τῷ τέλει κορωνίς.

686. Λόγῳ μὲν] Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται κατὰ σχέσιν, ὡς εἴρηται. ἔϛι δὲ τὰ παρόντα δύο ϛροφῶν. τὰ κῶλα δὲ τῆς μὲν πρώτης ϛροφῆς ια, ϰ̀ τῆς ἀντιϛροφῆς, τοσαῦτα· τῆς δὲ δευτέρας, ι, ϰ̀ τῆς ἀντιϛροφῆς αὐτῆς, τοσαῦτα. ἐπὶ τῷ τέλει ἑκάϛης ϛροφῆς ϰ̀ ἀντιϛροφῆς παράγραφος. ἐπὶ δὲ τῷ τέλει τοῦ ᾄσματος κορωνίς. ὅτι ἡ πρώτη ϛροφὴ ϰ̀ ἀντιϛροφὴ ἴαμβον τρίμετρον ἔχει τὸν πρῶτον ϛίχον.

736. Ερπ' εἰ θέλεις] Αἱ συϛηματικαὶ αὗται περίοδοι, ϛίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ϙνζ, ὧν τελευταῖος, Εκηλον αὐτὸν, ὡς ἂν εἰς ὕπνον πέσῃ. μεταξὺ δὲ τούτων κῶλά εἰσιν ἰαμβικὰ μονόμετρα, καταληκτικὰ, βραχυκατάληκτα, ϰ̀ ἀκατάληκτα θ. ἐπὶ τῷ τέλει πάντων κορωνίς.

848. Υπν' ὀδύνας] Τὰ τοιαῦτα εἴδη ϰ̀ αἱ περίοδοι, καλοῦνται ἑτερόϛροφα, ὡς εἴρηται. ἔϛι δὲ τὰ κῶλα τῆς παρούσης ϛροφῆς, ιϐ. ἐπὶ τῷ τέλει παράγραφος συνήθως ϰ̀ διπλαῖ.

860. Αλλ' ὅδε] Σύϛημα κατὰ περικοπὴν ϛίχων δακτυλικῶν ἑξαμέτρων δ. ἐπὶ τῷ τέλει παράγραφος.

864. Αλλὰ τέκνον] Η ἀντιϛροφὴ αὕτη τῆς ἄνω ἐϛὶ ϛροφῆς, ἧς ἡ ἀρχὴ, Υπν' ὀδύνας, ϰ̀ ἔϛι κώλων ὁμοίων ιϐ. ἐπὶ τῷ τέλει παράγραφος.

876.

Digitized by Google

876. Οὗρός τοι] Τὸ παρὸν σύστημα ἐπῳδός ἐστιν, ὡς ἐμοὶ δοκεῖ, εἰ καὶ ἄλλον τρόπον ἐσχημάτισται. οὐ γὰρ ἐν τοῖς προειρημένοις εὕρηται τοιοῦτό τι. ἔστι δὲ κώλων ι. ἐπὶ τῷ τέλει κορωνὶς καὶ παράγραφος.

886. Σιγᾷν κελεύω] Αἱ συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων στιζ, ὧν τελευταῖος, Τρεῖς δ' ὄντες καθ' ἕκαστον, ἑρμηνεία ταχεῖς. ἐπὶ τῷ τέλει κορωνίς.

1109. Ω κοίλας] Τὰ τοιαῦτα εἴδη καὶ αἱ περίοδοι, καλοῦνται ἐπιστρόφα, ὡς εἴρηται. ἔστι δὲ ἡ παροῦσα στροφὴ κώλων ιδ. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ συνήθως.

1123. Σύ τοι, σύ τοι] Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὴς κώλων ζ. ἐπὶ τῷ τέλει παράγραφος.

1130. Ω τλάμων] Η ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ Ω κοίλας πέτρας. ἔστι δὲ καὶ αὕτη κώλων ιδ. ἐπὶ τῷ τέλει παράγραφος. ὅτι τὸ πρῶτον κῶλον, τὸ ι, τὸ ια καὶ τὸ ιδ, δακτυλικά ἐστι καθαρά.

1144. Πότμος σε] Σύστημα ἕτερον κατὰ περικοπὴν ἀνομοιομερὲς κώλων ζ. ἐπὶ τῷ τέλει παράγραφος.

1151. Οἴ μοι μοι] Η παροῦσα στροφὴ κώλων ἐστὶν ιζ. ἔχει δὲ ἀντιστροφὴν, ἧς ἡ ἀρχή ἐστιν, Ω πλαναὶ θῆραι. ἐπὶ τῷ τέλει τῆς στροφῆς ταύτης παράγραφος καὶ διπλαῖ. ὅτι τὸ πρῶτον κῶλον, τὸ β, τὸ η, τὸ ια, δακτυλικά ἐστιν· ἔστι δὲ ἐν τούτοις καὶ ἀναπαιστικά.

1168. Ανδρός τοι] Σύστημα ἕτερον κατὰ περικοπὴν ἀνομοιομερὲς κώλων ζ. ἐπὶ τῷ τέλει παράγραφος.

1175. Ω πλαναὶ] Η ἀντιστροφὴ αὕτη τῆς δευτέρας ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ, Οἴ μοι μοι. ἔστι δὲ καὶ αὕτη κώλων ιζ. ἐπὶ τῷ τέλει δύο διπλαῖ συνήθως.

1192. Πρὸς θεῶν] Αἱ συστηματικαὶ αὗται περίοδοι, κώλων εἰσὶ ια, ὧν τὰ μέν εἰσιν ἀναπαιστικὰ, τὰ δὲ ἰαμβικὰ, τὰ δὲ δακτυλικὰ, τὰ δὲ ἑτέρων μέτρων. ἐπὶ τῷ τέλει κορωνίς.

1247. Εγὼ μὲν ἤδη] Οἱ ἀμοιβαῖοι οὗτοι στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι, ὧν τελευταῖος, Τροίαν· ὅλως γάρ μοι τεθρήνηται λόγος. ἐν ἐκθέσει δὲ στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ ζ. ἐπὶ τῷ τέλει κορωνίς.

1455. Μήπω γε] Η μονοστροφικὴ αὕτη περίοδος, κώλων καὶ στίχων ἐστὶ λς, ὧν τὰ μὲν ἐννέα κῶλα εἰσὶν ἀναπαιστικά· οἱ δὲ κζ, στίχοι ἰαμβικοὶ τρίμετροι. ἐν ἐκθέσει δὲ, κῶλα ἀναπαιστικὰ ζ. ἐπὶ τῷ τέλει παράγραφος.

1491. Ω φθέγμα] Σύστημα κατὰ περικοπὴν κώλων ἀναπαιστικῶν ζ. ἐπὶ τῷ τέλει παράγραφος.

1498. Φέρε νῦν] Η μονοστροφικὴ αὕτη περίοδος κώλων ἐστὶν ἀναπαιστικῶν ιζ. ἡ δὲ ἐπῳδὸς, κώλων ὁμοίων γ. ἐπὶ τῷ τέλει τοῦ δράματος κορωνὶς ἡ τὸ δρᾶμα ἐπισφραγίζουσα.

1515. Καρῶμαι] Σύστημα ἐπῳδικὸν κώλων γα

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

OCT 12 1880

Digitized by Google

Digitized by Google